FREDO FAR BI ★ Libri
ROMA

πίδος, ὀπίου θηβαϊκοῦ δραχμὰς ις, ὄξους δριμέος τὸ ἀρκοῦν.

Ἔμπλαστρος ἢ ἀνώδυνος, τὰ ὑπερβάλλοντα τῶν φλεγμονῶν διαφοροῦσα.

Ἀσφοδέλου χυλοῦ, πεδικίου χυλοῦ ἀνὰ γο δ, κηροῦ, βουτύρου νεαροῦ, ἀξουγγίου, ἀσβέστου, μυελοῦ μοσχίου ἀνὰ γο γ, νίτρου ἀφροῦ, κιμωλίας ξηρᾶς, οἴνου κεκαυμένης, νίτρου ἀνὰ δραχμὰς ιβ, κόλλης ἀργυρείου ἢ ἑψημένης δραχμὰς ιβ, μελανθίου σπέρματος κοπέντος καὶ ἑψηθέντος δραχμὰς ιβ, ἐλαίου καλοῦ λίτρας γ, σκεύαζε καὶ χρῶ.

Ἄλλη ποιοῦσα πρὸς τὰ εἰρημένα.

Κηροῦ, κολοφωνίας, στέατος χοιρείου, ψιμμυθίου ἀνὰ δραχμὰς ις, πίσσης δραχμὰς δ, χυλοῦ κράμβης κοχλιάριον ς, λινοσπέρμου τὸ ἴσον, στρατιώτου χυλοῦ κοχλιάριον ἕνα, μελιλώτου χυλοῦ τὸ ἴσον, γάλακτος βοείου, τὸ ἴσον, ὠὰ δ, ἐλαίου λίτ. β.

Τροχίσκος δυσεντερικὸς γρηγορείου.

Ἀμύλου, ἀκακίας, ἀνὰ γο α, λυκίου γο αϛ, κρόκου, σμύρνης, λιβάνου ἀνὰ γο ς, ὀπίου γο γ, πάντα λειώσας ἐπιμελῶς ἰδίᾳ ἕκαστον, ἔπειτα ἑνώσας. πάλιν λέαινε μετὰ ἀποζέματος ῥόδων, ἢ ἰτέας, ἢ μυρσίνης χλωρᾶς ἐπὶ ἡμέρας δύο εἰς θυΐαν, ἔπειτα ξηράνας χρῶ, ἐπιβάλλων ἐκ τοῦ εἰρημένου ἀποζέματος. καὶ ἐὰν μὲν ἔστι τὸ πάθος χρόνιον, πρῶτον δεῖ κλύζειν τὸ ἔντερον χυλῷ ἰτέας. εἰ δὲ ὕφαιμά εἰσι τὰ φερόμενα, προσπλέκειν τὴν αἱματίτην λίθον μετὰ τροχίσκου, δυνατοῦ τις ποιῆσαι, καὶ ὑποθέματα ἐπιμήκη. ποιεῖ δὲ κατὰ χριόμενος, ἐπὶ ὀμφαλῷ, καὶ στομάχῳ καὶ κοιλίᾳ.

Ἐπίθεμα κοιλιακόν.

Χαμαιδρυφάνου, κόκκων κνίδης, μαστίχης, κηροῦ ἀνὰ γο β, μέλιτος γο α, ἀσκαμωνίας γο β. τὸν κηρὸν μετὰ τοῦ μέλιτος λύσας, καὶ τὰ λοιπὰ ποιήσας ξηρία, ἐπίπασσε καὶ ἐπίχριε, καὶ κίνει τὴν γαστέρα.

Ἐν κύρνῳ τῇ νήσῳ ἀποτέμνουσι τῶν ἵππων τὰς γλώττας, ἵνα μὴ χρεμετίζωσιν. ἄλλοι δὲ ἱμάσι περισφίγγουσιν.

ΤΕΛΟΣ.

BIBLIOTECA ... ROMA ... VITTORIO EMANUELE

Ἔμπλαστρος πρὸς πάντα τὰ κακοήθη τραύματα, καὶ φαγεδαινώματα, καὶ χρόνια ἀντικνήμια, καὶ ἀποστήματα καὶ μάλιστα τὰ παρὰ τὴν δακτύλιον.

Ψιμμυθίου, λιθαργύρου, μαστίχης, χυλοῦ ὑοσκυάμου, μυρσινελαίου, πάντα ἴσα. τὸ ψιμμύθιον, καὶ τὴν λιθάργυρον ἅμα τῇ μαστίχῃ προλειῶν, ἐπιβάλλων τοῦ μυρσινελαίου, καὶ τοῦ χυλοῦ τοῦ ὑοσκυάμου σταγόνα πρὸς σταγόνα, ἀναλάμβανε, καὶ ποιῶν ἔμπλαστρον, ἀπόθου ἐν μολυβδίῳ ἀγγείῳ. εἰ δὲ καὶ ἀποσκληρωθῇ τῷ χρόνῳ, ἅμα τῷ μυρσινελαίῳ καὶ ὀλίγῳ οἴνῳ ἀναμαλάσσων χρῶ.

Πρὸς κριθιάσαντα ἵππον καὶ πεπτωκότα, καὶ μὴ δυνάμενον περιπατῆσαι, ἢ ἐγερθῆναι.

Συκῆς ἀγρίας φύλλα συλλέξας, κόψον ἐπιμελῶς, καὶ βάλε εἰς χλιαρὸν, καὶ ἠθμῷ διηθήσας, εἰς κέρας τε βαλὼν, δὸς πιεῖν δὶς, ἢ καὶ τρὶς, καὶ μετὰ βίας διακίνησον, καὶ ἕξεις αὐτὴν ὑγιᾶ.

Ἔμπλαστρος ἡ διὰ δικταμνίου.

Λιθαργύρου δραχμὰς ξ̄, κολοφωνίας δραχμὰς ν̄, κηροῦ δραχμὰς κε̄, ἀμμωνιακοῦ θυμιάματος, ἀριστολοχείας, ἀνὰ δραχμὰς ιϛ̄, μάννης, χαλβάνης ἀνὰ δραχμὰς ιβ̄, ἰοῦ, χαλκοῦ κεκαυμένου, δικτάμνου, ἀλόης, προπόλεως ἀνὰ δραχμὰς η̄, λεπίδος χαλκοῦ, διφρυγοῦς, γεντιανῆς ἀνὰ δραχμὰς ἕξ, ἐλαίου γο ιδ̄. ἕψε τὴν λιθάργυρον, καὶ τὸ ἔλαιον, ἕως ἀμολύντου. εἶτα ἐπίβαλλε ἰὸν, καὶ ἕψει ὡσαύτως. εἶτα ῥητίνην, ἀμμωνιακὸν σεσησμένον, καὶ ἕψε. εἶτα διφρυγὲς, καὶ πάλιν ἕψει, καὶ τότε ἐπίβαλλε τὸν κηρὸν, καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίβαλλε χαλβάνην μετὰ τῆς προπόλεως μαλαχθεῖσαν, καὶ ἕψε ὀλίγον. ὕστερον δὲ χλιάνας, ἐπίβαλλε ἀλόην, μάνναν, ἀριστολόχειαν, γεντιανὴν, καὶ μολύνητε, ἐπὶ κούφῳ πυρὶ ἕψε, καλὸν δέ ἐστι καὶ ὀλίγον ὕδωρ ἐπιβάλλειν, ἵνα μὴ καῇ ἡ λιθάργυρος.

Ἔμπλαστρος πρὸς πᾶν πάθος διαφόρως μεθοδευομένη, καὶ ἐνεργοῦσα πρὸς παλαιὰ ἕλκη καὶ πρόσφατα.

Ἐλαίου χλωροῦ γο θ̄, ἀσφάλτου ἰουδαϊκῆς, κηροῦ λιπαροῦ, ῥητίνης φρυκτῆς, πίσσης καθαρᾶς ἀνὰ λίτ. μίαν, λιθαργύρου, ψιμμυθίου, ἰοῦ ξυστοῦ ἀνὰ δραχμὰς ῑ, στυπτηρίας σχιστῆς, χαλκάνθης, χαλκίτεως, κρόκου ἀνὰ δραχμὰς δ̄, ἀμμωνιακοῦ θυμιάματος, λιβάνου ἄρρενος, ἀλόης ἠπατικῆς, σμύρνης τρωγλίτιδος,

ἕψησον ἐπιμελῶς τὸ λάχανον, καὶ ποίει ὡς κολλύρας, βαλὼν ἔλαιον καὶ ἅλας λελειωμένον, καὶ πετροσέλινον, καὶ κύμινον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. τῇ δὲ ἑξῆς, ξηροτέραν τὴν ἄρτυσιν ποίει, ἀξούγγιον προστιθεὶς, καὶ δίδου.

Περὶ ἀξουγγιασμοῦ.

Κάλλιστον βοήθημα χειμῶνος ὥρα διδόναι τῷ ζώῳ πρὸς τὰ ἐν τοῖς ἐπιγινόμενα πάθη, ἀξούγγιον μετὰ πίσσης ὑγρᾶς καὶ ἐλαίου. θερείας δὲ ἀξούγγιον μετὰ μέλιτος, καὶ βουτύρου, καὶ πράσων, καὶ ἐλαίου ῥοδίνου. τοῦτο δὲ πολλάκις λαμβανέτω τὸ ζῶον.

Κατασκευὴ τεθρίππου τοῦ λεγομένου κυδριγαρίου.

Νάρδου συριακῆς, ἤτοι ἰνδικῆς, κρόκου σικελοῦ, σμύρνης τρωγλίτιδος, σχοινάνθης, πεπέρεως μέλανος, πεπέρεως λευκοῦ, κασίας μελαίνης, χαμαίδρυος, νάρδου κελτικῆς, κινναμώμου, κρομμίων ἰνδικῶν, ἀγρίου ποντικοῦ, λιβάνου ἄρρενος, ἴρεως λευκῆς, καλαμίνθης, λασάρου ποντικοῦ, γεντιανῆς, πετροσελίνου ξηροῦ, κασίας, σύριγγος. πάντα ἐπίσης σταθμῷ τῷ δ' ἰσοποιοῦντι σοι κόψας, καὶ σείσας χρῶ.

Σημεῖα πάθους παραλυτικοῦ.

Σημεῖα ἐν τοῖς παραλυτικοῖς ἐστι ταῦτα. χείλη δύσμορφα, καὶ παρειμένα γλῶσσα τοῦ πάθους νενεκρωμένη, ὁ εἷς τῶν ὀφθαλμῶν μικρότερος, ἡ μία ἀκοὴ καθημένη. θεραπεύσεις οὖν οὕτως. πρότερον τὰ χείλη διαξέσας, ἀλοιφῇ χρῆσαι τοιαύτῃ. ἐλαίου παλαιοῦ, ἀσφάλτου, ῥητίνης πιτυΐνης, ἀνὰ γο̄ ἕξ, ἀμμωνιακοῦ λίτραν μίαν, χαλβάνης γο̄ α̅, προπόλεως τὸ ἴσον, μάννης γο̄ ἕξ, μυελοῦ ἐλαφείου γο̄ α̅, πάντα ἑψήσας ἐν ταὐτῷ, χρῶ.

Κατάπλασμα ἰσχιατικόν.

Ὄξος καὶ ὕδωρ ἐπίσης μετὰ ῥητίνης ἕψησον, καὶ ἐπίβαλλε κρίθινον ἄλευρον ὥστε σύστασιν ἔχειν καταπλάσματος. τοῦτο θερμὸν τοῖς πάσχουσι πρόσαγε τόποις.

Πρὸς πᾶν οἴδημα εἰ μὴ ποιεῖ θερμὸν, ἢ ἔχει πυράκτωσιν. ποιεῖ δὲ καὶ πρὸς ἀνθρώπους.

Κηροῦ, πίσσης, ῥητίνης κολοφωνίας, ἀμμωνιακοῦ ἀνὰ γο̄ ἕξ, στέατος χοιρείου γο̄ β̅, νίτρου, ἀσβέστου, βόλβου, κόπρου περιστερῶν ἀνὰ γο̄ μίαν, κεδρέας γο̄ ϛ̅, ὕδατος καὶ στακτῆς ὀλίγης.

Ἔμπλα-

Ἱεροκλέους ἀνακολλητικόν.

Λιβάνου γο γ̄, ἢ δύο, μαστίχης γο β̄, κυμίνου γο γ̄, ἑψήματος ξε. αϛ, ῥοδίνου ξε. ᾱ, βολβῶν ξε. αϛ, ὠὰ ιε.

Τοῦ αὐτοῦ σκευασία παραφαρμάκου. (γο ϛ̄.

Ἀριστολοχείας, στρογγύλου, γεντιανῆς, βδελλίου, δαφνίδων

Λεύκην θεραπεῦσαι ἄνευ σμίλης.

Φλόμου κόψας, κατάπλασσε τὸν ἀλγοῦντα τόπον. εἶτα χαμαιλεύκην κόψας, τὸν λοιπὸν τόπον κατάπλασσε καὶ ἐπιδέσμει.

Ὁ ἠριγέρων ποιῶν πρὸς σκευάσματα, ἔστι μάλιστα πρὸς νευροτρώτους.

Χαλβάνης γο γ̄, ἀποχύματος γο ιξ, φρυκτῆς γο ϛ̄, τερεβινθίνης γο γ̄, κηροῦ, ἐλαίου, χυλοῦ ἠριγέροντος ἀνὰ λίτ. μίαν, ἕψει τὸ ἔλαιον μετὰ τοῦ χυλοῦ, ἕως ἂν ἑνωθῶσιν. εἶτα τὰ τηκτά, τάξας καὶ μίξας χρῶ.

Σκευασία λιπαρᾶς.

Λιθαργύρου γο ε̄, μολυβδαίνης λίτ. γ̄, ψιμμυθίου λίτ. ζ. σαρκοκόλλης γο η̄, μάννης γο δ̄, κηροῦ λευκοῦ λίτ. ιγ̄, ἀξουγγίου νεαροῦ λίτ. ῑ, ῥοδίνου λίτ. ζ, ὠὰ ν̄. οἴνου παλαιοῦ τὸ ἀρκοῦν.

Πελαγωνίου κατασκευὴ λιπαρᾶς.

Λιθάργυρον, ψιμμύθιον, λίβανον ἄῤῥενα, ἐπίσης λαβὼν, τρίψον, καὶ προσβαλὼν κηροῦ, ἐλαίου, μέλιτος τὸ ἀρκοῦν χρῶ.

Εἰ τὸ τραγανὸν τῶν ῥινῶν σχισθῇ.

Ὅταν τὸν τραγανὸν τῶν ῥινῶν σχισθῇ, καὶ πλῆθος αἵματος ἀποπέμπηται μὴ δαπανώμενον εἶναι, σπογγάριον μετὰ ὄξους καὶ ἀλεύρου λιβανωτοῦ ἐπιθεὶς, δῆσον ἕως οὗ τραῦμα γένηται. τὸ δὲ τραῦμα θεραπεύσεις, ἐμπλάστρῳ τραυματικῷ.

Ἐὰν ἵππος τὸν ἑαυτοῦ πόδα μασᾶσθαι ἄρξηται.

Κόπρον ὑγρὰν κυνὸς μετὰ ὄξους δριμυτάτου συμμίξας, ἐπίπλασσε συνεχῶς.

Ξήριον περιθείππου.

Ἀκόρου ποντικοῦ γο ᾱ, σμύρνης γο γ̄, πεπέρεως γο ϛ̄, κροκομάγματος γο β̄, ἴρεως ἰλλυρικῆς γο γ̄, ὑσσώπου γο ᾱ, μαλάγματος, σκορόδου, ἅλατος ποντικοῦ ἀνὰ γο β̄.

Περὶ λαχανισμοῦ.

Ἐὰν χειμῶνος ὥρᾳ λαχανίσαι θέλῃς ζῶον, πρὸ μιᾶς ἡμέρας,

ἕψυσον

Νίτρον καύσας, ἢ στυβίον, ἢ πέπερι λευκὸν, καὶ ἶριν ἰλλυρικὴν, καὶ μελάμπυρον κόψας, καὶ σείσας, ἐμφύσα εἰς τὰς ῥῖνας.

Σηπτική.

Ἀρσενικοῦ γο δ΄, λεπίδος γο γ΄, ἐλλεβόρου μέλανος γο β΄. ταῦτα μετὰ ἰσχάδων κόψας, καὶ σὺν ἐλαίῳ μίξας χρῶ.

Ἀρωματική.

Κασίας, κινναμώμου ἀνὰ γο γ΄, ζιγγιβέρεως γο δ΄, κόστου λίτ. α΄, ἀμμώμου γο γ΄, καλάμου ἀρωματικοῦ γο ς΄, σχοινάνθης γο ς΄, κροκομάγματος λίτ. μίαν, κρόκου γο μίαν, σμύρνης τρωγλίτιδος γο δ΄, ξυλοκινναμώμου γο δ΄, πεπέρεως γο ς΄, ὀποπάνακος, γεντιανῆς, ἴρεως ἰλλυρικῆς ἀνὰ λίτ. α΄, ἀριστολοχείας, παιονίας ἀνὰ γο ἕξ.

Ἱεροκλέους ἀρωματικὴ σκευασία.

Φύλλου, κόστου, ἀμώμου, ναρδοστάχυος, κασίας, σχοινάνθης ἀνὰ γο η΄, ἴρεως, καρδαμώμου ἀνὰ γο ς΄, μελιλώτου ξε. α΄, ὑσσώπου ξε. α΄, νάρδου κελτικῆς, πετροσελίνου, ξυλοβαλσάμου ἀνὰ γο η΄, λασάρου, καλάμου ἀρωματικοῦ, κόκκου κνιδίου ἀνὰ γο ς΄, σαμψύχου ξε. α΄, ῥόδων ξηρῶν τὸ ἴσον, ἀριστολοχείας, γεντιανῆς, γλυκορίζου, πευκεδάνου, κενταυρείου, κρόκου, πεπέρεως, τραγακάνθης ἀνὰ γο ς΄, φοίνικας ξ΄, μέλιτος ξε. α΄, ἐλαίου ξε. ι΄, ᾠὰ ιε΄, οἴνου πρωτείου μεγαρικὸν α΄.

Σκευασία ἱππακόπου.

Μέλιτος, κηροῦ ἀνὰ γο α΄, μολυβδαίνης γο α΄, χαλκοῦ μέλανος γο ς΄. ταῦτα ἔγχει ἐπὶ ῥίτην κινῶν ἕως φοινικοῦ γένηται, προσβάλλων ὄξους κύαθον ἕνα. τὸ δ᾽ αὐτὸ ποιεῖ ἐπ᾽ ἀνθρώπων.

Ἱεροκλέους σκευασία ἱππακόπου.

Ὀποπάνακος, χαλβάνης, καστορίου, ἀμμωνιακοῦ, εὐφορβίου, πυρέθρου, τερεβινθίνης ἀνὰ γο δ΄, σαμψύχου, ἐλαφείου μυελοῦ ἀνὰ γο ς΄, σμύρνης, πομφόλυγος ἀνὰ γο δ΄, κηροῦ λίτ. ι΄, ἐλαίου ξε. η΄.

Ἱππασίου ἠλείου σύνταγμα.

Ἀξούγγιον προβάτειον, λιθάργυρον, ἔλαιον, οἶνον. ταῦτα πάντα ἀναλαμβάνων, χρῶ πρὸς ἑλκώσεις ἢ οἰδημάτων προσφάτων θεραπείαν. ποιεῖ δὲ τοῦτο ἐξαίρετε καὶ ἐπὶ σπονδύλων βοῶν.

Ἱπποκράτους ἀνακόλλημα.

Ἑψήματος, τραγακάνθης, κρόκου, στροβίλου, χαλκίτεως, ὠῶν τὰ ἀρκοῦντα, μίξας ξῶ.

λέστερον κέχρησο μέχρις οὗ τὸ βοήθημα τὰ ἐν τοῖς πάντα δρᾷ μὲν, καὶ περὶ ταῦτα τέως οὗ καθαρθῇ τὴν γαστέρα. εἰς δὲ τὸ στόμα, μελικράτου δίδου, προσβαλὼν νίτρου καὶ ἐλλεβόρου.

Θεομνήστου καθαρτικῶν φαρμάκων ἔκθεσις.

Σκύλακα ἀρξάμενον ἐσθίειν σφάξας, μαδίσας καὶ καθεψήσας. ἔπειτα ῥίψας αὐτοῦ πάντα τὰ ἔγκατα, καὶ τῷ ζωμῷ μίξας οἴνου εὐώδους ξε. α̅, μέλιτος ξε. α̅, ποίει τὸν πάντα ζωμὸν διηθήσας ὀθονίῳ, ἵνα τὸ ὅσα μείνῃ ἐν τῷ λέβητι, κοτυλῶν ἓξ μέτρῳ, καὶ τούτου ἑνὶ ζώῳ ἐγχυμάτιζε ἐπὶ τρισὶν ἡμέραις ἀνὰ κοτύλας β̅, νίτρου προσβάλλων χεῖρα. εἰ δὲ μὴ εἴη σκύλαξ, χοῖρον πιστάτω ἀκρωνάριον ἐν σὺν τῷ μηρῷ καθέψησον, καὶ αὐτὰ προσβάλλων χρῶ. ἡμεῖς δὲ ἐχρησάμεθα, καὶ τιθυμάλλῳ λευκῷ καὶ ἀριστολοχείᾳ λεπτῇ, καὶ κενταυρείῳ λεπτῷ. καθέψοντες ταῦτα καὶ διηθοῦντες, καὶ μέλιτι συμμιγνύοντες ἐγχυματίζομεν.

Περὶ καθάρσεως.

Ἐὰν τεκοῦσα φορὰς μὴ καθαίρηται, ἤτινα ἄλλην νόσον, ἔγχει εἰς τὴν κοιλίαν οἰνελαίῳ διαλύσας τιθύμαλλον, καὶ ἀξούγγιον ἐγχυμάτιζε διὰ τοῦ στόματος, ἢ κράμβης φύλλον κόψας ἐπιτίθει.

Εὐμήλου πρὸς νώτων παρακίνησιν.

Ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ δεύσας, ἐπιτίθει. εἰ δὲ πυνδύμονα ποιῇ, τέμνε ἐκ βάθους, ἔπειτα ἀφόδευμα ἵππου μετ' ὄξους καὶ ἐλαίου, καὶ ἁλὸς αὐτόφθου λελειωμένου, μίξας ἐπιτίθει τῷ τραύματι καὶ θερα(πευε.

Πρὸς τὸ κονδύλου ἆραι

Χαλκάνθεως, αἴθους ἰοῦ, στέρκλου, νίτρου, ἁλός, ὄξους, τὸ ἴσον μίξας ἐν ταὐτῷ καὶ λειώσας, χρῶ.

Εὐμήλου πρὸς τὸ ἀποθέσθαι ζῷα τὴν ἀγριότητα.

Πτερὸν ὀρνιθίου οἴνῳ βουλβ ῥόπῳ δίδου καταπιεῖν.

Πρὸς λαιμὸν τετραχυμμένων.

Ἐὰν τὴν φάρυγγα τετραχυμμένην ἔχῃ τὸ ζῷον, καὶ μὴ φέρει πύον, τραγάκανθαν ἐν ὕδατι λύσας, καὶ κόλλης ῥοδιακῆς γο α̅, ἐν οἴνου λίτρας ϛ̅ λειώσας ἐγχυμάτιζε.

Φάρμακον λαλακτικόν.

Κηροῦ στατῆρ. ἕξ, ἐλαίου κοτύλην α̅, ῥητίνης κολοφωνίας στατῆρας γ̅, ἐν ταὐτῷ μίξας καὶ ἑψήσας εἰς ἄγγος ἀποτίθει, χρῶ.

Πταρμικόν.

Νίτρον

τὴν φλέβα τὴν ὑπὸ τὴν γλῶσσαν κατακέντει καὶ κατάπλασσε ὄξει σὺν λασάρῳ καὶ πιτύραις, ῥοφεῖν δὲ δίδου καὶ πόμα, χλιαρὸν ὕδωρ.

Ἱπποκράτους περὶ γλώσσης διακοπῆς.

Γλῶσσα ἐὰν διακοπῇ, κηκῖδα ἀφέψησον μετὰ οἴνου μέλανος, καὶ αὐλούμενος χρῶ, ἢ κενταύριον κόψας ἔμπλασσε.

Πελαγωνίου.

Ἶριν μετὰ μέλιτος μαλάξας, ἐπίθες τῇ γλώσσῃ καὶ οἴνῳ ταύτην ἀποπλύνας. μετὰ μιᾶς ἡμέρας πάλιν, τῇ αὐτῇ κέχρησο μεθόδῳ, ἄχρι τῆς τελείας ἰάσεως.

Εὐμήλου πρὸς τοὺς ἀπὸ τῶν χαλινῶν κάμνοντας.

Αἷμα ἀπὸ τῆς αὐτοτόμου τῆς πορείας μέρους λάμβανε, καὶ τὰ ὅλα κεντεῖσθαι κέλευε, οὕτω τε ἅλατι ἀπότριβε, ἄχρις οὗ ὑγιαίνοι.

Εἰ δακτύλιος πρόπτωσιν ὑπομένοι

Ἐὰν ὁ δακτύλιος πρόπτωσιν σχῇ, πυριάσας αὐτὸν ἐλαίῳ, καὶ στέατι προβατείῳ, καὶ ὕδατι χλιαρῷ κατ᾽ ὀλίγον ἄθει εἴσω τὰ ἔσω, καὶ τότε ῥητίνην φρυκτὴν λειώσας μετὰ τῶν προειρημένων εἰδῶν, δακτυλίῳ ἐπίβαλλε.

Πρὸς τὰ ἐν ἕδρᾳ πάθη.

Εἰ δὲ τὸ περὶ τὴν ἕδραν πάθος πολὺ εὑρεθείη ἐκ πολλῆς δριμύτητος ἤτοι κνησμοῦ, θεραπεύσεις οὕτως. βοτάνην κεντάφυλλον λαβὼν καὶ σκορόδου κεφαλὰς κ̄, ταῦτα λειώσας, ποίει πασίλους, οὕσπερ ἀναλάμβανε μέλιτος γο̄ ἕξ, καὶ ἐλαίου ξέ. ἕν. ἔπειτα διὰ μυκτῆρος ἔμβαλλε ἀριστεροῦ, ἢ καὶ κονίας στακτῆς ξέ. β̄, μετὰ οἴνου ἡμίνας μιᾶς προπότιζε.

Περὶ ἀφοδεύσεως.

Ἐὰν ἀφοδεῦσαι μὴ δύνηται ἵππος, λαβὼν νίτρον καὶ ὠὰ δ̄, καὶ ἐλαίου κοτύλας δ̄, καὶ ὕδατος θερμοῦ κοτύλας δ̄, ἔγχει εἰς τὴν ἕδραν κλυστῆρι.

Περὶ ἕδρας κεκομμένης.

Ἕψων τὸ λιβανωτὸν ἐν οἴνῳ θειώδει, ἐπίθες. ἔπειτα ἡψημένης ἴρεως τὴν σποδὸν ῥίψας λίαν, ἐπαλείφων ἐλαίῳ ἐπίπασσε.

Εὐμήλου κοιλίας κάθαρσις.

Κοιλίαν κάθαιρε οὕτω. σικύου ἀγρίου ῥίζης τὸ ἐρκῦμ. λασάρου γράμ. ς̄, μέλιτος ξέ. δ̄, ὕδατος θερμοῦ ξέ. η̄. ταῦτα λειώσας καὶ θερμάνας, διὰ τοῦ δακτυλίου ἔμβαλλε, καὶ τούτῳ δαψι-

ἔμβαλλε εἰς θυΐαν ἀναλαμβάνων, ἐπίβαλλε τὰ ξηρὰ, καὶ ποίει ζύμην. ἐὰν δὲ βούλῃ ἀναλῦσαι ποιήσεις οὕτως. τοῦ φαρμάκου λίτ. μίαν, κηροῦ λίτ. μίαν, πίσσης βρυττίας λίτ. α̅, ἐλαίου κοινοῦ λίτ. ἓξ.

Ἱεροκλέους βαρβάρα σκευασία τε θυμιασμένη.

Ἀσφάλτου ἰουδαϊκῆς, πίσσης ξηρᾶς, κηροῦ, ῥητίνης ἀνὰ λίτ. α̅, τερεβινθίνης γο̅ β̅, λιθαργύρου γο̅ α̅, ψιμμυθίου γο̅ α ς̅, μάννης γο̅ β̅, ὀποπάνακος γο̅ β̅, σμύρνης γο̅ α̅, ἐλαίου γο̅ γ̅, ὄξους τὸ ἀρκοῦν.

Ἀψύρτου βρεκτῶν σκευασία, ὧν διδόασιν οἱ καππαδόκαι τοῖς λεπτοῖς ἵπποις.

Κριθῆς μοδίους γ̅, φάβατος ξέ. γ̅, ἐρεβίνθου ξέ. η̅, φασήλου ξέ. η̅ ὀρόβου ξέ. β̅, οἴνου ξό. β̅. ταῦτα ἐμβρέξας ἑσπέρας, καὶ ἕωθεν συμμίξας, καὶ ὀλίγον ἀποξηράνας, δίδου ἡμιμόδιον καστρίσιον ἑσπέρας, καὶ ἡμιμόδιον ἕωθεν, ἵνα καθ' ἡμέραν μόδιον καστρίσιον ἐσθίῃ τὸ κτῆνος. ἐὰν οὖν ᾖ κάτισχον τὸ κτῆνος, φάγεται τὰ προγεγραμμένα ἡμέρας ἑξῆς κ̅, καὶ α̅. εἰ δὲ μὴ, ιε̅, ἢ ζ̅. ἐν αἷς δὲ ἡμέραις τρώγει μὴ ἐξερχέσθω ἐκ τῆς ἱπποστασίας, ἀλλ' ἐκεῖ πινέτω. οἱ δὲ σύροι προσβάλλουσι τῇ μίξει ταύτῃ, στροβύλων ξέ. ἐννέα, σταφίδων ξέ. α̅, διδοῦσι δὲ ταῖς ἡμέραις ἑπτὰ, ἔστω τι ἐν τῇ ἱπποστασίᾳ σκοτεινῇ, κατάξηρον ἐχοῦσι τὸ ἔδαφος.

Βοήθημα εἰς πάθη διάφορα, καὶ πρὸς τὸ σκιῶν ὑπὸ ἐκ τῶν στάυλων διώξαι.

Μαγνίτου λίθου γο̅ α̅, σολομωνιακοῦ λίθου γο̅ β̅, πάνακος γο̅ α̅, ἀσφάλτου γο̅ ς̅, θείου γο̅ α̅, πευκεδανίου γο̅ ἓξ, μίξας ἐν ταυτῷ ῥητίνῃ καὶ τερεβινθίνῃ ἀναλάμβανε καὶ χρῶ.

Πρὸς ναυτιασμόν.

Ναυτιασμὸν παύει, μελάνθειον λελειωμένον ὡς δύο κύαθοι μιγέντες μετὰ ἐλαίου ξέ. γ̅, καὶ οἴνου ξέ. α̅, καὶ διδόμενον. ἢ σκορόδου κεφαλὴν μίαν λειώσας μετὰ οἴνου ἡμίνης μιᾶς, διὰ κέρατος δίδου.

Εὐμήλου πρὸς πόνον ἄρθρων.

Αἵματος ἀφαίρεσις ἐξαιρέτως ὠφελεῖ. εἰ δὲ τὰς διαβολὰς ἀλγήσει, ἢ καὶ ὑπὸ πύου ἔχει, θεράπευε οὕτως. ἴρεως κεκομμένης, λιβάνου ἀλεύρου, κνίδος ἐρυθρᾶς, ὀποπάνακος ῥίζης, ἀριστολοχείας ἀνὰ γο̅ α̅, ἀνακόψας χρῶ.

Πρὸς γλωσσίδα.

τὴν

λιθαργύρου γο̄ ἓξ, κηροῦ λίτρας β̄, ψιμμυθίου γο̄ γ̄, λιβάνου ἄῤῥενος γο̄ δ̄, μυελοῦ ἐλαφείου γο̄ β̄, ἐλαίου λίτρας β̄. ταῦτα πάντα ἐν οἴνῳ μίξας καὶ ἑψήσας, χρῶ.

Ἀψύρτου ἡ πιοστηρά.

Φρυκτῆς λίτρας ας´, πίσσης ξηρᾶς λίτρας β̄, κηροῦ λίτραν ᾱ, ἐλαίου λίτρας β̄, μελιλώτου γο̄ β̄, οἴνου γο̄ ἥμισυ.

Ἡ τοῦ ἀζανίτου.

Πίσσης ξηρᾶς γο̄ β̄, κηροῦ γο̄ γ̄, στέατος χοιρείου γο̄ ς̄, οἰσύπου γο̄ γ̄, ῥητίνης πιτυΐνης γο̄ ε̄, στέατος ταυρείου γο̄ ς̄.

Πρὸς τὰ κακοήθη πάντα ὁ ἀζανίτας μέγας.

Πίσσης ξηρᾶς γο̄ ε̄, στέατος ταυρείου λίτραν ᾱ, στέατος χοιρείου παλαιοῦ γο̄ ς̄, κηροῦ λίτ. βς´, οἰσύπου γο̄ ἓξ, ῥητίνης πιτυΐνης λίτ. β̄, μυελοῦ ἐλαφείου γο̄ γ̄, στέατος ὀρνιθίου γο̄ ς̄, τερεβινθίνης γο̄ ς̄, στέατος χηνείου γο̄ γ̄, χαλβάνης γο̄ γ̄, βουτύρου γο̄ ς̄.

Ἡ χλωρά.

Ἰοῦ γο̄ β̄, ῥητίνης λίτ. β̄, ἐλαίου χειμῶνος γο̄ γ̄, θέρους γο̄ μίαν, κηροῦ γο̄ γ̄, ὕδατος τὸ ἀρκοῦν.

Ἡ ἐξωμηλίνη.

Κηροῦ λίτ. μίαν, στέατος χοιρείου ἀνάλου λίτ. β̄, ῥητίνης φρυκτῆς λίτ. ᾱ, λιβάνου γο̄ δ̄, σμύρνης γο̄ δ̄, λαπάθου ὀπτοῦ λίτ. β̄. τὸ λάπαθον εἰς χάρτην εἱλήσας, ἕψε ἐν θερμοσποδιᾷ, καὶ λειώσας αὐτὸ ἔμβαλλε εἰς τὴν κηρωτήν.

Τὸ ἀφροδιτάκειον.

Στέατος ταυρείου λίτ. μίαν, στέατος χοιρείου νεαροῦ λίτ. ᾱ, στέατος τραγείου γο̄ ἓξ, στέατος προβατείου γο̄ ς̄, ῥητίνης πιτυΐνης λίτ. μίαν, κηροῦ λίτ. μίαν, τήξας καὶ διυλήσας χρῶ.

Τὸ πυρῶδες / Τὸ πύρρον.

Κηροῦ λίτ. β̄, ψιμμυθίου γο̄ δ̄, ἀμήλου γο̄ δ̄, λιθαργύρου γο̄ γ̄, τήξας χρῶ.

Ἡ διὰ χυλοῦ μανδραγόρου.

Στέατος χοιρείου παλαιοῦ, πίσσης βρυττίας, κηροῦ φρυκτῆς, ἐλαίου κοινοῦ ἀνὰ λίτ. β̄, λιθαργύρου, ψιμμυθίου, συντηρείας χιστῆς ἀνὰ γο̄ γ̄, μίσυος κνιδίων, χαλκίτεως ἀνὰ γο̄ β̄, ὀπίου, ὀποπάνακος, ἀλόης ἡπατικῆς, σμύρνης, λιβάνου ἀνὰ γο̄ ᾱ, μανδραγόρου χυλοῦ γο̄ γ̄, ὄξους δριμυτάτου τὸ ἀρκοῦν. τὰ τηκτὰ

ρεῖς ἔσονται, καθημερινῆς δεῖ συνηθείας, καὶ οὐδὲν ἔξουσι φαῦλον. εἰ δὲ παχύτεραι ἔσονται, καὶ λευκότεραι ἐκ τοῦ ἐγκεφάλου κατάγονται. πυῤῥίζουσαι δὲ καὶ λεπταὶ ἀπὸ ψύξεως παλαιᾶς, καὶ διὰ τοῦτο πυρετοὺς προσημαίνονται, λιπαρώτεραι δὲ καὶ ἀφρώδεις ἐκ τοῦ πνεύμονος ἀναπέμπονται. πυκνότεραι δὲ ἐκ τῶν γλανδουλῶν κατέρχονται. ταῦτα ἐστὶν ἅπερ δεῖ παρατηρεῖν, καὶ μνήμῃ παραδιδόναι.

Προς τοὺς διὰ μυκτήρων πυρὸν ἀναφέροντας.

Λιβάνου ἄῤῥενος γο μίαν, μετὰ οἴνου κοτύλου ἀττικῆς μιᾶς λέαινσον, καὶ χλιάνας διὰ ἀμφοτέρων μυκτήρων ἐγχυμάτιζε, καὶ μετὰ ταῦτα δαφνοφύλλοις ὑποκάπνιζε.

Ἀψύρτου πρὸς σειριασμόν

Ἰοῦ γο ς̄, ἀσβέστου τὸ ἀρκοῦν.

Κατάπλασμα πρησμονῆς.

Ἄλευρα κρίθινα, ἀξούγγιον, ὄξους τὸ ἀρκοῦν.

Προς φαζάναν.

Φαζάναν οὕτως σκορπίσεις. ἀσβέστου λίτραν μίαν, κισσοῦ ἄνθους λίτραν μίαν, λεπτοκαρύων ξε. γ̄ ἥμισυ α, ἐλαίου χοινίνου λίτραν μίαν, ἀξουγγίου παλαιοῦ λίτραν β̄, κυάμου ἄνθους λίτραν ᾱ. ταῦτα εἰς γ̄ συντρίψας, τὸ τόπον ἐπίχριε.

Ἄλλο συπτικόν.

Ἰοῦ γο ς̄, χαλκίτιδος, μύσυος, ἀκακίας ἀνὰ λίτραν β̄. σιδίων ξε. γ̄ ἥμισυ α, ὄξους ξε. γ̄.

Πρὸς δρακοντίαν.

Δρακοντίαν οὕτω νοήσας. φλύκταιναι γίνονται εἰς ὅλον τὸ σῶμα αὐτοῦ καὶ διακωλακῶσιν, ὅπερ θεράπευσεις οὕτως. λήψῃ ἀπὸ ῥυπῆς, καὶ ῥόδου, καὶ κασσορίου, καὶ εἰς γ̄ μίξας. πρῶτον τὰς φλυκταίνας αὐτοῦ κατάκαυσον, καὶ οὕτω σύγχριε μέχρις οὗ ὑγιὴς γίνεται.

Σύνθεσις τραυματικοῦ.

Χαλκίτιδος κεκαυμένης, σμύρνης τρωγλήτιδος, σμύρνης προσπνεούσης, ἀλόης ἀνὰ γο γ̄, μέλιτος λίτραν ᾱ. ταῦτα εἰς θρύψας, τῷ τραύματι ἐπίχριε.

Ἱεροκλέους σύνθεσις ἀνακολλήματος

Λιβάνου γο β̄, ἑψήματος ξε. ας̄, μαστίχης γο γ̄, ῥοδίνου ξε. ᾱ, γύρεως ξε. ας̄, βόλβων ξε. ᾱ, ὠὰ ιε̄, κοχλίας κε̄.

Πελαγωνίου σύνθεσις λιπαρῶν.

Λιθαργύρου

γο ϛ΄, πίσσης ὑγρᾶς ξε. ϛ΄, στέατος χοιρείου παλαιοῦ λίτραν β΄ καὶ πάντα συνεψήσας ἱκανῶς, χρῶ, ἀλείφων τὴν ὁπλήν. τοῦτο δὲ ποιήσας ἐπὶ τὸ ἐγχωροῦν σκληρότερον τῶν ζώων τοὺς πόδας.

Ἱπποκράτους.

Ζύμην, ἅλας, μίλτον, ᾠόν, ὄξει ταῦτα λειοτριβήσας χρῶ.

Ῥητίνης γο γ΄, κηροῦ γο γ΄, τερεβινθίνης γο α΄, ἀξουγγίου λίτρας β΄, ὀρόβου ξε. δ΄, ὄξους κρᾶμα, κονίας γο β΄, πίσσης κοτύλης τὸ ἥμισυ, ταρίχου παλαιοῦ λίτρας β΄, μέλιτος κοτύλην μίαν. τὸ τάριχον λειοτριβήσας μετ᾽ αὐτῶν, καὶ εἰς θυίαν ἐμβαλὼν χρῶ.

Ἀμόργης, καὶ παλαιᾶς κέδρου τὸ αὔταρκες, καὶ ἀξουγγίου παλαιοῦ μετὰ οἴνου καὶ κονίας ἀσβέστου, λειοτριβήσας ἕκαστον αὐτῶν καὶ ἑψήσας αὐτάρκως, μετὰ τῆς ἀμόργης χρῶ.

Σκορόδων γο ἕξ, θείου γο δ΄, ἴρεως γο τρεῖς, ἀξουγγίου χοιρείου λίτρας β΄, ὄξει ἑψήσας χρῶ.

Ἱεροκλέους εἰς τὸ αὐτό.

Εὐφορβίου γο ϛ΄, καστορίου γο α΄, βδελλίου γο β΄, χαλβάνης, ὀποπάνακος, λιθαργύρου ἀνὰ γο β΄, ἀσφάλτου γο ἕξ, μάννης γο δ΄, φρυκτῆς γο ϛ΄, ἀμμωνιακοῦ θυμιάματος γο β΄.

Ἀψύρτου πρὸς τοὺς ἐκ ῥινῶν ὑγρῶν φέροντας.

Βούτυρον ἢ ἔλαιον γάρῳ καὶ μέλιτι μίξας, διὰ ῥινῶν ἐγχυμάτιζε. εἶτα προσδήσας τὴν κεφαλὴν πρὸς τοὺς πόδας ἔα νέμεσθαι.

Θεομνήστου πρὸς τὰ διὰ ῥινῶν ἀπὸ ψύξεως φερόμενα ὑγρά.

Αἷμα ἄφελε ἀπὸ τῶν κροτάφων ἵνα τῇ τούτῳ διεξόδῳ τοὺς περὶ τῆς κεφαλῆς τόπους χαλάσῃς, καὶ πᾶν τὸ ὑπὸ ἐν τῇ κεφαλῇ πεπηγὸς ὑπὸ τῆς ψύξεως φλέγμα λυθὲν, κατολισθήσῃ διὰ τῶν μυκτήρων. μετὰ δὲ τὴν τοῦ αἵματος ἀφαιρέσεως, ἐλαίῳ θερμῷ καταιονᾶν δεῖ τοὺς περὶ τὸ βρέγμα τοῦ ζώου τόπους. συνεργήσει γὰρ τὸ τοιοῦτον τῷ χαλασμῷ. ἐγχυματιζέσθω δὲ κονδύτου ἔντρυγον διὰ τοῦ στόματος καὶ μυκτήρων, ἵνα ἡ τοῦ πεπέρεως θέρμη λύσῃ τὴν ἔμφραξιν, χρέμψεις ἐμποιήσῃ, δι᾽ ὧν ἀνάγκη διεξοδευτήσεσθαι τὸ λυποῦν. εἰ δὲ τούτων προσαγομένων μὴ λυθῇ τὸ πάθος, ὀποπάνακος δραχμὴν μίαν, οἴνου μέλανος, ἢ κονδύτου ξε. α΄, ἰταλικὸν μίξας, ἐγχυμάτισον ἅπαξ.

Ἄλλο Πελαγωνίου

Ἡ ὑγρότης τῶν ῥινῶν διάφορός ἐστιν, εἰ μὲν αἱ μύξαι διαυ-

τὰ μέτωπα καὶ τοὺς νεφροὺς ἀπότριβε.

Ἀψύρου σύγχρισμα πρὸς νεύρων ψῦξιν.

Κηροῦ γο α̅, ῥητίνης τερεβινθίνης γο δ̅, ὀποπάνακος, μυελοῦ ἐλαφείου ἀνὰ γο β̅, συρακίνου ἐλαίου γο γ̅, κυπρίνου ἐλαίου γο α̅, πάντα ταῦτα εἰς ἓν ἑψήσας, χρῆσαι εἰς τοὺς περιεσφυρμένους τόπους χειμῶνος ἐν θερμῷ τόπῳ, θερείας δὲ ἐν αἰθρίᾳ.

Σύγχρισμα ἐπὶ ὤμων καὶ ψυῶν καὶ κοξῶν πεπηγμένων δι' ἐγερὸν ἢ διογκοῦν τὰ οἰδήματα.

τὸ αὐτὸ ἢ καὶ τετανικοὺς θεραπεύει.

Δαφνίδων, σαμψύχου ἀνὰ ξε. ϛ̅ α, θείου ἀπύρου γο γ̅, νίτρου, μάννης καθαρᾶς, ῥητίνης πιτυΐνης ἀνὰ λίτραν α̅, κυμίνου αἰθιοπικοῦ γο γ̅, ἐλαίου κοινοῦ γο γ̅, οἴνου χρηστοῦ ξε. γ̅, καθεψήσας αὐτὸ ἄχρις οὗ γλοιῶδες γένηται, ἀποτίθει ἐν ἀγγείῳ, καὶ ἐν τῇ χρείᾳ ὑποθερμαίνων, χρῶ.

Ἀψύρτου συγχρίσματος ἐμβροχὸν πρὸς ὀπισθοτονικούς.

Δαφνίδων, κυμίνου ἀνὰ ξε. α̅, θείου ἀπύρου, χαλβάνης, ἀνὰ γο γ̅, ῥητίνης τερεβινθίνης λίτραν α̅, ἐλαίου ξε. γ̅, συνεψήσας, συγχρισον ὅλον τὸ κτῆνος. βρωτοῖς δὲ ξηροῖς, χρῶ κλήμασιν ἀμπελίνοις.

Τοῦ αὐτοῦ πρὸς τὰς συνδέσεις ἐμβροχή.

Κηροῦ, πίσσης, ῥητίνης φρυκτῆς ἀνὰ λίτραν μίαν, ὀποπάνακος γο α̅, ἐλαίου ξε. α̅, ὅταν τακῇ ταῦτα διηθήσας ὡς ἔτι θερμὰ, πρόσβαλλε ὄξος καὶ μάλασσε καὶ χρῶ.

Συναλειμμὸς χαλαστικός.

Κηροῦ γο ϛ̅, προπόλεως γο γ̅, ὀποπάνακος γο α̅, χαλβάνης γο α̅, κασορείου γο ϛ̅, στέατος ταυρείου γο ϛ̅, ἀποχύματος γο δ̅, πιτυΐνης ξηρᾶς γο δ̅, τερεβινθίνης γο β̅, σαμψύχου γο β̅, ἐλαίου ξε. ϛ̅ α, τὸ κασόρειον κόψας καὶ σείσας. εἶτα μετὰ τῶν λοιπῶν ἑνώσας χρῶ.

Θεραπεία κτηνῶν ποδῶν.

Εἰς χύτραν καινὸν ἔμβαλλε ἐλαίου ξε. γ̅, καὶ σαύρας τὰς χλωρὰς καθεὶς εἰς τὸ ἔλαιον, δύο που, ἢ καὶ τρεῖς, καὶ πωμάσας τὴν χύτραν καθέψησον ὡς κατακαυθῆναι τὰς σαύρας εἰς τὸ ἔλαιον, καὶ ἐξελῶν τὰ ὀστᾶ αὐτῶν, ἐπίβαλλε ἀσφάλτου λείας γο ϛ̅,

ἁλὸς, καὶ νίτρου τὸ ἀρκοῦν, καὶ ἐπιτίθει. Ἄλλο.

Σῦκα καὶ σίνηπι κόψας, ὄξος τε μετὰ συνηθείας ὑγρᾶς προσβαλὼν ἐπιτίθει. τῇ δὲ τρίτῃ λύσας. εἰ μὲν ἔστι βοηθηθῇ, ἐναντίον τὸ βοήθημα, καὶ πάλιν μετὰ τρεῖς ἡμέρας λῦε καὶ ἡνίκα βελτιωθῇ τὰ ἄρθρα, οἴνῳ κατάπλυνε, καὶ λελυμένον τὸν ἵππον ἀπόλυε. Ἄλλο.

Ὀποπάνακα μετὰ κριθίνου ἀλεύρου συνεψήσας ὥστε ἐμπλαστρώδη γενέσθαι, ἐπίθες.

Περὶ τοῦ τί δεῖν ὠμὴ λύσις.

Ὠμὴ λύσις ἐστὶ, μίξις τήλεως, λινοσπέρμου, κριθίνου ἀλεύρου ἐξ ἴσου.

Πουβὲλ κουδριγάριον.

Ἀμώμου, κινναμώμου, μόλυος, λινοσπέρμου, ἀριστολοχείας ἀνὰ γο α, κρόκου, σχοίνου ἄνθους, ῥόδων ἀνὰ γο ξ, ἴρεως ἰλλυρικῆς λίτραν α, ἀσάρου γο θ, πετροσελίνου, ἀννήσου ἀνὰ ξε. α, κροκομάγματος λίτραν β, ῥέου ποντικοῦ, κασσίας, λιβάνου ἄρρενος, καλαμίνθης ἀνὰ γο γ, ναρδοστάχυος, νάρδου κελτικῆς, πεπέρεως μέλανος, κόστου, πάνακος, πεπέρεως μακροῦ, πεπέρεως λευκοῦ ἀνὰ γο δ.

Ἄλειμμα κουδριγάριον.

Ταυρείου στέατος, αἰγείου, ἐλαφείου ἀνὰ λίτραν β, χηνείου, κηροῦ τυῤῥηνικοῦ, ῥητίνης τερεβινθίνης ἀνὰ λίτραν α, ἐλαίου παλαιοῦ ξε. α,

Ἄλειμμα θερμαντικόν,

Κηροῦ, ῥητίνης πιτυΐνης, ῥητίνης τερεβινθίνης ἀνὰ λίτραν μίαν, ἀξουγγίου λίτραν β, χαλβάνης, νίτρου, θείου ἀπύρου, δαφνίδων, κυπέρου ἀνὰ γο α.

Πελαγωνίου ἄλειμμα θερμαντικόν.

Ῥητίνης τερεβινθίνης, ῥητίνης φρυκτῆς, ῥητίνης κολοφωνίας, ῥητίνης πιτυΐνης, κηροῦ, μυελοῦ ἐλαφείου, ἐλαίου δαφνίνου, χαλβάνης, ὀποπάνακος. ταῦτα πάντα ἐξ ἴσου σταθμοῦ εἰς χύτραν ἐμβαλὼν, ἕψε ἐπ' ἀνθρακιᾶς ἐλαφρῶς, καὶ ἀνελόμενος μετὰ τὸ ἑνωθῆναι, καὶ ἐᾶ ψύξει πυκνωθῆναι τὸ τηνικαῦτα τῶν ζώων τὰ μέ-

γο α΄. ταῦτα σύμπαντα μαλακωτέρῳ πυρὶ καθεψήσας, χρῶ καιροῦ κατεπείγοντος.

Ἔμπλαστρος ἄλλη.

Ἰοῦ, χαλκοῦ κεκαυμένου, νίτρου κεκαυμένου, ἁλὸς ἀμμωνιακοῦ, φαίκλης, ἐλλεβόρου μέλανος ἀνὰ γο ἕξ, ἀξουγγίου λίτραν μίαν, χαλβάνης, κηροῦ ἀνὰ γο ἕξ.

Σύνθεσις ἐμπλάστρου.

Καδμίας, ἀσφάλτου ἰουδαϊκῆς, χαλκοῦ κεκαυμένου, χαλκάνθης, νίτρου καὶ ἀξουγγίου.

Κατέχρισμα ξυφερῶν πλαστικόν.

Ἰλύος οἴνου, ἢ ἑψήματος ξε. γ΄, σαμψύχου, δαφνίδων, λινοσπέρμου, νίτρου θαλασσίου, λυγοσπέρμου, ἐλαίου τὰ ἀρκοῦντα.

Ἀψύρτου πρὸς ὀζαίνας.

Ἰξοῦ γο γ΄, στυπτηρίας λίτραν α΄, γο γ΄, σιδηρίτιδος βοτάνης γο ἕξ, ὄξους τὸ ἀρκοῦν.

Ἱεροκλέους εἰς τὸ αὐτό.

Τὸ σάρον ᾧ καταμάσσεται ὁ φοῦρνος ἀποπλύνας ἐν σκεύει, καὶ συλλέξας τὸ ὕδωρ ἐν ἡλίῳ ἐπίχει, πρότερον ἀποπλύνας τὸν τόπον καὶ ἀποτρίψας ὄξει.

Εὐμύλου εἰς τὸ αὐτό.

Ἰσχάδας λιπαρὰς ἐν ὄξει σκιλλητικῷ ἀπόβρεξον ἐπὶ ἡμέραις τέσσαρσιν. εἶτα λαβὼν λέαινον ἐπιτοσοῦτον, ὥστε αὐτῶν τὰς κέγχρους συλλειωθῆναι. ἐπίβαλλε δὲ καὶ τῶν κρομμύων τὸ λευκὸν κατὰ ἀναλογίαν. εἶτα μίξον ταρίχου κεκαθαρμένου σάρκας δίχα τῶν ἀκανθῶν καὶ τοῦ δέρματος, καὶ λειώσας πάντα ἐπιμελῶς, καὶ ποιήσας κατάπλασμα εἰς ῥάκος, ἐπίπλασσε καὶ δέσμει τοὺς πόδας. οὕτω μέντοι ὥστε πρότερον τριχίνῳ ῥάκει σφοδρότερον ἀποτριβῆναι, καὶ ὄξει ἀποσμηχθῆναι, καὶ οὕτως ἐπιτίθει τὸ ἔμπλαστρον ἐπὶ ἡμέραις δυσί. τὸ μέντοι ζῶον θεραπευόμενον, μενέτω ἀκίνδυνον, ὥστε ἐν τῇ ἱπποστασίᾳ, καὶ ἐσθίειν καὶ πίνειν. μετὰ δὲ τρίτῃ λύσας, εὑρήσει ὑγιές.

Πελαγονίου εἰς τὸ αὐτό.

Μέλαν καλλιγραφικόν, κηκίδας, στυπτηρίαν, ἐξ ἴσου κόψας μετὰ ἀξουγγίου, μίξον καὶ μήλου φλοιοῦ καὶ ὄξους καὶ

ἁλὸς

Κέδρου καὶ ἀσφάλτου ἴσον, ἑκάτερον ἀναζέσας χρίε.

Λιθαργύρου γο ἕξ, ψιμμυθίου λίτραν α, ὄξους ἰταλικοῦ ξε. α, ἰρίνου γο δ, λέαν τὴν λιθάργυρον, καὶ ψιμμύθιον, καὶ ἐπέμβαλλε μέρος τοῦ ὄξους μετ' ἐλαίου καὶ οἴνου, καὶ ἀποθέμενος τὸν δοίδυκα λέαν τῇ χειρί, ἕως γλοιοῦ πάχος γένηται, καὶ οὕτως χρῶ. ποιεῖ δὲ τοῦτο καὶ πρὸς ἀποσύρματα καὶ ἁπαλὰ ἕλκη.

Ἀναιμὴς λευκὴ ποιοῦσα πρὸς ῥεύματα, καὶ κατακαύματα, καὶ ἀποσύρματα, καὶ πρὸς τὰ αὐτομάτως γινόμενα ἕλκη.

Λιθαργύρου, ψιμμυθίου ἀνὰ λίτρας μιᾶς, ἐλαίου κοινοῦ τὸ ἱκανόν, ὄξους τὸ ἀρκοῦν.

Σάνδυκος, ψιμμυθίου ἀνὰ λίτρας μιᾶς, λιθαργύρου γο ἕξ, ῥοδίνου τὸ ἀρκοῦν, ὄξους δριμέος τὸ ἀρκοῦν.

Σάνδυκος γο ἕξ, ψιμμυθίου, ῥοδίνου ἐλαίου τὸ ἴσον.

Λιπαρὰ ἀναιμὴς, ἀποσύφουσα.

Λιθαργύρου γο ἕξ, ψιμμυθίου λίτραν μίαν, οἴνου παλαιοῦ ξε. α ἰταλικοῦ, ἐλαίου κοινοῦ ξε. α ἰταλικόν, ἐλαίου μυρσίνου γο δ.

Λιπαρὰ ποιοῦσα πρὸς κατακαύματα.

Ψιμμυθίου γο ἕξ, σάνδυκος τὸ ἴσον, ὠῶν τὰ λευκὰ ι, ῥοδίνου τὸ ἱκανόν, στρύχνου χυλοῦ ὡσαύτως.

Πελαγωνίου ἔμπλαστρος, ἡ χλωρά.

Κηροῦ λίτραν μίαν, ἐλαίου μυρσίνου λίτραν βς, στέατος χηνείου γο β, οἰσύπου γο β, ἰοῦ, χαλβάνης ἀνὰ γο γ, ῥητίνης τερεβινθίνης γο β, λιβάνου ἄλευρον τὸ ἀρκοῦν. ταῦτα πάντα ἐν χαλκείῳ ἀφεψήσας, καὶ ἀνελόμενος χρῶ.

Κατασκευὴ ἐμπλάστρου.

Νίτρου, χαλκοῦ κεκαυμένου, ἀξουγγίου ἀνὰ λίτρας β, ἀσφάλτου ἰουδαϊκῆς λίτρας γ, χαλκάνθης, σιλφίου ἀνὰ λίτρας μιᾶς.

Κατασκευὴ φαρμάκου.

Πίσσης ξηρᾶς, ῥητίνης πιτυΐνης, πίσσης βρυττίας, ὀποπάνακος ἀνὰ λίτρας μιᾶς, χαλβάνης, προπόλεως, θείου ἀπύρου, μάννης, κρόκου, σταγόνος ἀμμωνιακοῦ, σμύρνης τρωγλίτιδος, στύρακος ἀνὰ γο μιᾶς, ἀσφάλτου ἰουδαϊκῆς γο ἕξ, κηροῦ γο ἕξ, μυελοῦ ἐλαφείου γο β, κολοφωνίας, πάνακος ῥίζης ἀνὰ

γο̄ τρεῖς, κηροῦ γο̄ β̄, ῥητίνης γο̄ β̄, τερεβινθίνης γο̄ τρεῖς. ἀσφάλτου, πίσσης, ἰοῦ ἀνὰ γο̄ ἕξ, προεψήσας τὸ ὄξος καὶ τὸ ἔλαιον, καὶ τὴν λιθάργυρον, ἐν τῷ μέλλειν συστρέφεσθαι, ἐπίβαλλε τὴν πίσσαν ἕως ἂν καὶ αὕτη λυθῇ, καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπέμβαλε τὴν ἄσφαλτον μὴ κινῶν αὐτήν. ὅταν δὲ καὶ αὕτη λυθῇ, πρόσμιγε τὰ λοιπὰ, καὶ ἕψει. καὶ εἶτα μετὰ τὸ συστραφῆναι, ἄρας ἀπὸ τοῦ πυρὸς, δίηθε εἰς ὕδωρ.

Ἄλλη ἔμπλαστρος τηκτικὴ, διαμαλάσσουσα, καὶ διαχαλῶσα.

Πίσσης, κηροῦ, ῥητίνης, ἑκάστου ἀνὰ δραχμὴν μίαν, ἀμμωνιακοῦ γο̄ δ̄, ὀποπάνακος ὄξει προλελειωμένου τὸ αὔταρκες.

Ἄλλη ξηρὸν ποιοῦσα καὶ προσφορὰν αἵματος, καὶ πρὸς κολπώματα καὶ ἀναξηραίνουσα, καὶ παρακολλῶσα.

Μολυβδαίνης λίτραν ᾱ, ὄξους δριμέος λίτραν ᾱ, ἐλαίου κοινοῦ λίτραν μίαν, ἀποχύματος ἰοῦ γο ᾱ, ἑψήσας τὸ ὄξος καὶ τὸ ἔλαιον καὶ τὴν μολυβδαίνην ἕως ἂν ἄρχηται μεταβάλλειν, ἐπίβαλλε τὸ ἀπόχυμα καὶ ἕψει πάλιν, καὶ λειώσας τὸν ἰὸν, ἐν θυείᾳ ἰδίον μετὰ ὄξους, καὶ ἐπιβαλὼν χρῶ.

Ἔμπλαστρος ξυφερά.

Λιθαργύρου λίτραν ᾱ, ἐλαίου τὸ ἴσον, ἀμμωνιακοῦ λίτρας γ̄, κηροῦ γο γ̄, ἕψει τὸ ἔλαιον καὶ τὴν λιθάργυρον. εἶτα ὅταν μέλλῃ συστρέφεσθαι, ἐπέμβαλλε τὸ ἀμμωνιακὸν καὶ τὸν κηρόν.

Ἄλλη μηλίνη χρηστὴ ποιοῦσα πρὸς νεῦρα, πρὸς ἄρθρα, πρὸς ψυγμόν. ποιεῖ δὲ καλῶς ἀνειμένη μετὰ ἰρίνου καὶ κυπρίνου.

Κηροῦ, ῥητίνης φρυκτῆς ἀνὰ γο̄ ἕξ, ῥητίνης τερεβινθίνης, ὀποπάνακος γο̄ ᾱ, τὸ ἥμισυ, χαλβάνης, σμύρνης στακτῆς, ἀμμωνιακοῦ γο̄ ᾱ, λιβανωτοῦ τὸ ἴσον, ταυρείου στέατος γο̄ ᾱ, ἁλὸς ἄνθους γο̄ γ̄, τὰ τηκτὰ τήξας ἐφ᾽ ἑκάτερα τὸν ὀποπάνακα λελειωμένον ἐν οἴνῳ σὺν τῇ σμύρνῃ καὶ τῷ ἄνθει τοῦ ἁλὸς, καὶ τῷ λιβάνῳ τῷ ἐπικοσοῦ τον λειῶν ἕως ἂν μιχθῇ, πάντα ἀνελόμενος χρῶ.

Ἄλλη ἀνειμένη λιπαρὰ τονωτικὴ, ἐκαλουμένη πελματική.

Κίσσου

Τραυματικὴ κατασκευὴ
ἐμπλάστρου.

Ψιμμυθίου, λιθαργύρου τὸ ἴσον, ῥίψας ἐν ἡλίῳ, καὶ μίξας ὄξει, καὶ ῥοδίνῳ χρῶ. εἰ δὲ μὴ ἔστι ῥόδινον, ἔλαιον μόνον σύμμισγε.

Ἱεροκλέους ἐμπλάστρων
σκευασία.

Ἀπόχυμα, κηρὸν, ῥητίνην φρυκτὴν, ὁμοῦ πάντα βαλὼν ἐν ἴγδει κίνει. εἶτα προσεπίβαλλε ψιμμύθιον ὀλίγον προλελειωμένον μετὰ ὕδατος καὶ ἐλαίου, ἐπεμβάλλων ἅμα τὰ τηκτά. εἰ δὲ θέλεις αὐτὸ εὔπνουν γενέσθαι, ὀλίγον ὀποπάνακα λυθεὶς οἴνῳ πρόσμιγε.

Ἄλλο ἁπλοῦν.

Κηροῦ λίτραν μίαν, ῥητίνης φρυκτῆς λίτρας δ, ῥητίνης τερεβινθίνης γο. ἑξ. ταῦτα ἀναζέσας, ἔξελε ἀπὸ τοῦ πυρὸς, καὶ ἐπίβαλλε ἀσφάλτου ἰουδαϊκῆς λελειωμένης γο. γ, καὶ ἔασον λυθῆναι. εἶτα προσεπίβαλλε ἀμμωνιακοῦ κεκομμένου καὶ σεσεσμένου γο. β, καὶ αὖθις ἐπὶ τὸ πυρὶ ἐπίθες, καὶ κινῶν τῇ σπάθῃ, ἐπίπασσε μάννης γο. β, καὶ χαλβάνης τὸ ἴσον. πάλιν δὲ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπιβαλὼν τε ὀποπάνακος προλελειωμένου γο. β, χρῶ.

Ἄλλο.

Λιθαργύρου λίτραν μίαν, γλοιοῦ νεαροῦ διυλισμένου λίτρας β, ῥητίνης τερεβινθίνης γο. α.

Ἄλλη ἡ διὰ γλοιοῦ.

Γλοιοῦ λίτρας β, λιθαργύρου, ἢ μολυβδαίνης γο. α, ἀποχύματος γο. γ, ῥητίνης φρυκτῆς γο. γ. ἑψήσας οὖν τὸν γλοιὸν, καὶ τὴν λιθάργυρον, ὅταν συστραφῇ, ἐπίβαλλε καὶ τὰ λοιπά.

Ἄλλη ἡ μηλίνη.

Κηροῦ λίτραν μίαν, πευκίνης ῥητίνης λίτραν μίαν, τερεβινθίνης γο. β, ἀμμωνιακοῦ γο. γ, χαλβάνης γο. μίαν, ὀποπάνακος γο. α.

Ἔμπλαστρον ἡ ἔναιμος.

Ὄξους, λιθαργύρου, ἐλαίου ἀνὰ λίτραν μίαν, ἕψει ὁμοῦ πάντα, καὶ χρῶ.

Ἔμπλαστρος πρὸς κατάγματα

Λιθαργύρου, ὄξους ἀνὰ λίτρας ε, ἐλαίου ∫ ας', ἀμμωνιακοῦ

ματα δ´, πάντα καθεψήσας, ἐπὶ τὰ οἰδαίνοντα μέρη ἐπιτίθει. εἰ δὲ ἐπιμένοι ὁ πόνος ἐν τοῖς ἄρμοις, καὶ ἡ κακοχυμία, συμβάλλεται κόπρος βοεία καταπλασσομένη τοῖς ἄρθροις.

Ἀνακόλλημα πρὸς ἄρμοὺς καὶ σκέλη
καὶ ὑδατίδας.

Χαλβάνης, στύρακος, μήκωνος, βδελλίου, ῥητίνης τερεβινθίνης, μήκων, ἀνὰ λίτραν μίαν, σεμιδάλεως ξε. β´. ταῦτα πάντα ἑψήσας, καὶ ἑνώσας, πρὸς τὰ προειρημένα πάθη χρῶ.

Ἀνακόλλημα πρὸς ἄρμούς.

Κρόκου, λιβάνου ἀλεύρου, σινωπίδος ἄφρου ἀνὰ γο ϛ´, σεμιδάλεως ἡμίναν α´, βολβοὺς ἄφρους λελεπισμένους κ´, ἡδυόσμου γο ἕξ. ταῦτα πάντα συγκόψας ὄξει τε συμμίξας χρῶ.

Ἀψύρτου ἔμπλαστρος περὶ σφυρῶν.

Καδμίας γο ἕξ, ἐλλεβόρου μέλανος γο γ´, χαλκοῦ ἄνθους, ἀσφάλτου ἰουδαϊκῆς, χαλκοῦ κεκαυμένου, ἁλὸς ἀμμωνιακοῦ, χαλκάνθης κεκαυμένης, τρυγὸς κεκαυμένης, ἰοῦ, ἀφρονίτρου ἀνὰ γο γ´, ἀξουγγίου παλαιοῦ, ἐλαίου τοῦ ἐξ ἀγκώνης ἀνὰ γο ἕξ.

Σύνθεσις ἐμπλάστρου διὰ βοτανῶν.

Χαλβάνης, σμύρνης, ἀλόης, κηρύστης, ἰοῦ, μάννης, προπόλεως ἀττικῆς, ἀμμωνιακοῦ, ῥητίνης βιθυνιακῆς ἀνὰ γο β´, κηροῦ γο ϛ´, ἀποχύματος ἀργύρου λίτρας β´, ἐλαίου παλαιοῦ λίτρας β´, ἀριστολοχείας γο δύο, πρασίου γο β´, κέδρου γο γ´, πίσσης βρυττίας γο β´, κυπέρου γο ἕξ, κύφης γο γ´, κενταυρείου, ἴρεως ἰλλυρικῆς, ξιφύλλου ῥίζης, ἀρτεμισίας ἀνὰ γο γ´, ἀφρονίτρου γο δ´, πεπέρεως λευκοῦ γο δ´, δαφνίδος τὸ ἴσον, πάντα ταῦτα τὰ προγεγραμμένα συντρίψας καὶ σείσας. εἶτα βαλὼν εἰς ὅλμον μετὰ ἐλαίου παλαιοῦ, κόπτε μέχρι ὅταν μάλαγμα γένηται, καὶ οὕτως χρῶ. ἐν δὲ χειμῶνι προσεπίβαλλε οἶνον καὶ ἔλαιον, καὶ θερμάνας σύγχριε. ἐπικείσθω δὲ ἐν τόπῳ θερμῷ κεκαλυμμένος σκεπάσμασιν.

Ἔμπλαστρος πρὸς τὰ ὠτειλὰς ἀναπληροῦσθαι ταχύ.

Κηροῦ, βουτύρου, ῥητίνης, ἀνὰ λίτραν μίαν, ῥόδων λίτρας δύο.

τραυμα-

νοκόκκου γο α, ὀποπάνακος γο τὸ ἥμισυ, ἐλαίου δαφνίνου γο ἑξ.

Μάλαγμα πρὸς ἀρθρῶν καὶ νεύρων χαλάσ-
ματα καὶ πόνους.

Ἡδυόσμου σπέρματος γο ἑξ, ῥητίνης τερεβινθίνης, στύρακος,
βδελλίου, χαλβάνης, πίσσης ξηρᾶς ἀνὰ γο ἑξ, μέλιτος γο τὸ ἥ-
μισυ. ταῦτα πάντα ἑψήσας, ἐπίβαλλε ὠὰ δ, καὶ οἴνου τὸ ἀρ-
κοῦν. εἶτα ἐπιπλάσας ἐν ὀθονίῳ χρῶ.

Ἀμμωνιακοῦ, πίσσης, ἀσφάλτου, χαλβάνης, ἀνὰ λιτρῶν
ἑξ, βδελλίου, τερεβινθίνης, προπόλεως ἀνὰ λιτρῶν β, στύ-
ρακος, ἰξοῦ ἀνὰ λίτραν α.

Κατάπλασμα ἐκ πληγῆς, ἢ οἱασδήποτε
αἰτίας ἀγκυλῶν.

Ἄσφαλτον, κηρόν, καὶ ὄξος ψυράσας, ἐπίπαττε.

Πρὸς τὰ ἐν ἄρθροις οἰδήματα.

Ἀμμωνιακὸν θυμίαμα λειώσας πάνυ καὶ μίξας ὄξει, καὶ
κηρωτὴν ποιήσας, χρῶ.

Ἀνακόλλημα πρὸς πάντα πάθη ἀρθρῶν.

Ἀκακίας γο ἑξ, πίσσης λίτραν μίαν, κρήσσης κιμωλίας λί-
τρας β, βολβίτου λίτραν α. ταῦτα πάντα ὁμοῦ λειώσας, καὶ
θερμάνας, ἐπιτίθει. προκαταντλεῖ δὲ ὕδατι χλιαρῷ θαλαττίῳ.

Εὐμύλου πρὸς πόνον ἰσχιάδος.

Οὐρανίσκου πόνον ἰᾶται αἷμα τοῦ τόπου λαμβανόμενον,
ἢ λιβάνου ἄῤῥενος γο μίαν, σελινοσπέρμου ὀξύβαφον ἕν, λειω-
θέντα καὶ μιγέντα ὕδατι χλιαρῷ, καὶ διὰ μυκτήρων διδό-
μενα. τοῦ δὲ ἐπὶ πολὺ κάμνοντος, χρὴ δὲ ἑκατέρου μέρους πλη-
σίον τῶν πλευρῶν τοὺς ὠμοπλάτας καίειν ἐλαφροτέρῳ καυ-
τηρίῳ, ὥστε μὴ πλέον δακτύλου καθικέσθαι βάθος.

Ἱεροκλέους πρὸς γονάτων πόνον.

Ῥήγανον ἐν ἐλαίῳ ζέσας, ἐνάλειφε.

Πελαγωνίου ἐὰν ἀπὸ τροχῶν πληγῇ τὸν πόδα.

Βόλβον ἐρυθρόν, καὶ μάνναν λιβάνου συλλειώσας, ἐπίθες,
καὶ μετὰ τρεῖς ἡμέρας λύσας, πάλιν τῷ αὐτῷ βοηθήματι ἐ-
πίχρισον. εἶτα χρῶ μαλάγματι.

Πρὸς οἰδήματα ποδῶν.

Εὐφορβίου γο β, ἁλῶν κοινῶν γο δ, πίσσης ὑγρᾶς γράμ-

 ματα

Μάλαγμα τὸ διὰ ἀξουγγίου.

Ἀξουγγίου παλαιοῦ λίτραν α΄, κατακόψας καὶ ἐπιβαλὼν ἄσβεστον τὸ ἀρκοῦν, ἀπόθου ἐπὶ ἡμέραις τισὶ, καὶ ἐπίδησον.

Μάλαγμα τριφάρμακον.

Ἀμμωνιακοῦ, κηροῦ, ἀνὰ λίτραν α΄, ὄξους τὸ ἀρκοῦν.

ἈΨΎΡΤΟΥ ΜΆΛΑΓΜΑ.

Κηροῦ λίτραν μίαν, σάγματος ἀμμωνιακοῦ γο ἕξ, ἐλαίου κυπρίνου, ἐλαίου ἰρίνου, ἐλαίου δαφνίνου τὸ ἴσον, στέατος ταυρείου γο γ΄, μυελοῦ ἐλαφείου γο δ΄, στύρακος γο αϛ΄, λασάρου γο μίαν, χαλβάνης γο μίαν, ῥητίνης τερεβινθίνης γο ϛ΄, λιβάνου ἄῤῥενος γο ϛ΄, πεπέρεως μέλανος γο α΄, ὀποπάνακος γο β΄.

Ἄλλο μάλαγμα.

Κηροῦ λίτραν μίαν, βδελλίου, ἀμμωνιακοῦ θυμιάματος, μάννης λιβάνου, γαστρικῆς ἀνὰ γο β΄, τερεβινθίνης, χαλβάνης, ὀποπάνακος, ἀνὰ γο ϛ΄, ῥητίνης λίτραν μίαν. πάντα γοῦν ὁλμῷ κατακόψας χρῶ. Ἄλλο.

Κηροῦ, ἀμμωνιακοῦ ἀνὰ λίτραν μίαν, χαλβάνης, τερεβινθίνης ἀνὰ γο β΄, ἐλαίου κυπρίνου τὸ ἀρκοῦν, πάντα ἕψε ἐκτὸς τοῦ ἀμμωνιακοῦ. τοῦτο δὲ λειώσας, ἐπίβαλλε τὰ λοιπὰ, καὶ μετὰ τὸ ἑψηθῆναι εἰς ὕδωρ ψυχέσθω. εἶτα τῇ χειρὶ μάλασσε καὶ χρῶ.

Μάλαγμα κοπτόν.

Κηροῦ λίτρας γ΄, χαλβάνης γο β΄, τερεβινθίνης γο δ΄, στέατος ταυρείου γο γ΄, οἰσύπου γο β΄, βδελλίου γο γ΄, ἀμμωνιακοῦ γο ϛ΄, πεπέρεως λευκοῦ γο αϛ΄, ἀφρονίτρου γο αϛ΄, ἴρεως ἰλλυρικῆς γο β΄, στέατος χηνείου γο β΄, μυελοῦ ἐλαφείου γο β΄.

Μάλαγμα σκληρόν.

Κηροῦ γο ε΄, στύρακος γο γ΄, οἰσύπου γο ἕξ, ὀποπάνακος γο δ΄, ἐλαίου δαφνίνου γο δ΄, μήκωνος τὸ ἴσον, μυελοῦ ἐλαφείου γο γ΄, βδελλίου γο β΄.

Μάλαγμα πρὸς νεῦρα.

Χαλβάνης γο β΄, ὀποπάνακος, βδελλίου, ἰξοῦ δρυΐνου τὸ ἴσον, χοίνου, ῥητίνης τερεβινθίνης ἀνὰ γο α΄.

Ἄλλο μάλαγμα.

Λιθαργύρου γο δ΄, ὀποπάνακος γο β΄, μήκωνος γο γ΄, δαφνοκόκκου

Μάλαγμα ἕτερον.

Στέατος διηθημένου, ῥητίνης τερεβινθίνης, ἐλαίου ἀνὰ λίτρας β̄, μολυβδαίνης λίτρας δ̄, χαλβάνης, ἰοῦ ἀνὰ γο ᾱ.

Πρὸς νεύρων πόνους.

Κηροῦ, λευκοΐων ἀνὰ λίτραν ᾱ, στύρακος, προπόλεως, κηροῦ λευκοῦ, μήκωνος, δαφνοκόκκων ἀνὰ λίτρας ας´.

Μάλαγμα ἄλλο.

Κηροῦ λίτρας τέσσαρας, ὀποπάνακος, στύρακος, δαφνοκόκκων, στέατος αἰγείου, ῥητίνης, μήκωνος σπέρματος, ἀνὰ λίτραν ᾱ, χαλβάνης γο β̄, ῥητίνης κολοφωνίας γο ς̄, ἐλαίου ἰρίνου γο ξ.

Μάλαγμα πρὸς διάφορα πάθη, καὶ πρὸς συμβολὰς πεπληγμένας.

Κηροῦ ξανθοῦ γο ρ̄, χαλβάνης λίτρας β̄, στύρακος, ῥητίνης κολοφωνίας, ἐλαίου ἰρίνου ἀνὰ γο ξ, λευκοΐων δαφνίδων, στέατος αἰγείου, ῥητίνης φρυκτῆς, μήκωνος σπέρματος ἀνὰ λίτραν μίαν. Ἄλλο.

Στέατος ταυρείου λίτρας β̄, λευκοΐων, ἀμμωνιακοῦ, ἴρεως ἰλλυρικῆς, ἀφρονίτρου, στέατος χηνείου, στέατος ἐλαφείου ἀνὰ λίτραν μίαν, πεπέρεως λευκοῦ γο ε̄.

Μάλαγμα πρὸς τοὺς ἀλγοῦντας τὰς ὠμοπλάτας.

Λιθαργύρου, χαλβάνης, λευκοΐων, μάννης, λιβάνου ἀνὰ λίτρας δύο, ῥητίνης τερεβινθίνης, ῥητίνης κολοφωνίας, ὀποπάνακος ἄφρου, προπόλεως ἀττικῆς, ἴρεως ἰλλυρικῆς, ὀπίου ἀττικοῦ, ἀμμωνιακοῦ ἀνὰ λίτραν ᾱ, ἰξοῦ λίτρας βς´, καρδαμώμου λίτρας ας´, στέατος ταυρείου λίτρας δ̄, κηροῦ λίτρας τρεῖς.

Μάλαγμα σκληρόν.

Κηροῦ ξανθοῦ γο τὸ ἥμισυ, ὑσσώπου ἀττικοῦ λίτρας β̄, μήκωνος λίτρας ας´, στύρακος, προπόλεως, μυελοῦ ἐλαφείου, λευκοΐων ἀνὰ γο ξ. Μάλαγμα κρητικόν.

Κηροῦ ῥάκτου, ἀμμωνιακοῦ ἀνὰ λίτραν ᾱ, πίσσης ξηρᾶς, ἴρεως ἰλλυρικῆς ἀνὰ γο ξ, ῥητίνης λίτραν ας´, χαλβάνης γο ιᾱ, τερεβινθίνης γο ε̄, ὄξους τὸ ἀρκοῦν.

Μάλαγμα τὸ διὰ σύκων.

Σύκων γλυκέων λίτρας β̄, νίτρου γο δ̄, τὰ σύκα τρίψας ἐπιμελῶς, ἐπίβαλλε τὸ νίτρον, καὶ λέαν.

Μάλαγμα

Σκευασία μαλάγματος.

Εὐφορβίου, ὀποπάνακος, κασορίου, χαλβάνης ἀνὰ γο β, σαγαπίνης, στύρακος, ἀνὰ γο α, ἀμμωνιακοῦ θυμιάματος λίβανου α, σισύφυ, τερεβινθίνης, λίτραν ας, ἀποχύματος λίτρας τρεῖς, προπόλεως γο γ, βδελλίου γο πέντε, μάννης γο τρεῖς, κηροῦ λίτρας β, ῥητίνης φρυκτῆς λίτρας δύο, ἀσφάλτου λίτρας ἕξ, ἰξοῦ λίτραν μίαν.

Πελαγωνίου κατασκευὴ μαλάγματος.

Κηροῦ, ῥητίνης ἄφρας, ἐλαίου, λιθαργύρου ἀνὰ λίτρας τρεῖς. πάντα ἐν ταυτῷ μίξας χρῶ.

Πρὸς κατάκαυμα.

Μύλου φλοιὸν ὕδατι ἀφεψήσας, χρῶ.

Ἄλλη κατασκευὴ ἀλείμματος.

Κηροῦ γο ἕξ, ζιζύφου μέλανος κεκαθαρμένου γο δ, πίσσης ξηρᾶς λίτραν α, δαφνοκόκκων γο δ, ῥητίνης φρυκτῆς γο ἕξ, πεπέρεως γο μίαν, λασάρου γο β, λιβάνου ἄῤῥενος γο β, ἐλαίου καλοῦ γο ζ, ἐλαίου κυπρίνου γο β. ταῦτα πάντα ἑψήσας μετὰ ὕδατος ψυχροῦ καταχρίωσον ὥστε ἑνωθῆναι. ἡνίκα δὲ γένηται κηρωτῆς σύστασις, ἀναλώμενος χρῶ.

Ἀνακόλλημα ψυκτικόν.

Κρόκου γο ἕξ, λιβάνου ἀλεύρου, μίλτου, κοχλιῶν ἄφρων, βόλβων ἄφρων ἀνὰ γο ἕξ, σεμιδάλεως ἡμίναν, ὄξους τὸ ἀρκοῦν.

Ἀνακόλλημα πρὸς ἀρμοὺς ἵππων καὶ ψύας.

Σεμιδάλεως γράμ. δύο, λιβάνου ἀλεύρου γο α, ὠῶν τὰ ὠχρὰ δύο, ποιήσας ἀνακόλλημα χρῶ, ἐντιθεὶς τοῖς ἀρμοῖς ἐπὶ ταῖς ψύαις.

Μάλαγμα πρὸς νεύρων πόνους.

Κηροῦ λίτραν α, μυελοῦ ἐλαφείου γο ἕξ, σμύρνης γο γ, καὶ τὸ ξηρίου αὐτῆς κοχλιάρια β. ταῦτα μίξας καὶ ἑψήσας χρῶ.

Ἄλλη κατασκευὴ μαλάγματος.

Κηροῦ γο ἕξ, λιθαργύρου λίτραν μίαν, ἐλαίου λίτρας ε, ῥητίνης λίτρας δύο, χαλβάνης γο β, ὀποπάνακος γο β, σμύρνης γο β, λιβάνου γο β, οἴνου τὸ ἀρκοῦν. Ἄλλο.

Χαλβάνης, λιβάνου ἀλεύρου, μυελοῦ ἐλαφείου, λευκοΐων, ῥητίνης τερεβινθίνης ἀνὰ λίτρας ας, στέατος ταυρείου, ὀπίου, ἴρεως ἰλλυρικῆς ἀνὰ λίτραν α, ἀριστολοχείας γο τὸ ς.

Μάλαγμα

Μάλαγμα πρὸς ἄρθρα.

Χαλβάνης, στύρακος, ὀποπάνακος, μάννης, ἀνὰ λίτραν μίαν, σινωπίδος λίτρας ἕξ.

Μάλαγμα Ἱπποκράτους.

Ὄξους φυσήματος, κονίας πιτυΐνης, ἐπίσης ἀμφότερα, ὁμοῦ ἐμβαλὼν, χρῶ.

Σκευασία μαλάγματος ἡ διὰ βδελλίου.

Βδελλίου, χαλβάνης, ἀμμωνιακοῦ, ἀσφάλτου, ταυροκόλλης, ῥητίνης ποντικῆς ἀνὰ γο α, μυελοῦ ἐλαφείου τὸ ἴσον, κονίας γο ἕξ, μαστίχης γο β, λιβάνου γο α, κηροῦ, ὀποπάνακος, ἀλόης, σμύρνης, ἀνὰ γο α.

ΙΕΡΟΚΛΕΟΥΣ ΜΑΛΑΓΜΑ ΤΡΥΦΕΡΟΝ.

Κηροῦ, προπόλεως ἀνὰ γο ἕξ, λιβανωτοῦ, στύρακος, κυπρείου χαλκοῦ κεκαυμένου, μυελοῦ ἐλαφείου, χαλβάνης ἀνὰ γο δ, ῥητίνης κολοφωνίας λίτραν α, ὀποπάνακος γο α, ἐλαίου παλαιοῦ λίτραν μίαν, λιθαργύρου λίτραν α. τὴν λιθάργυρον λειώσας μετὰ ἐλαίου, ἔμβαλε εἰς χύτραν ἕως ἂν λυθῇ, ἔπειτα τὸν ὀποπάνακα λειώσας σὺν οἴνῳ, καὶ τοῖς λοιποῖς προσμίξας χρῶ.

Ἄλλο μάλαγμα.

Ἀμμωνιακοῦ θυμιάματος γο γ, πίσσης ξηρᾶς λίτραν α, κηροῦ γο ἕξ, ῥητίνης τερεβινθίνης γο δ, μάννης, χαλβάνης ἀνὰ γο ης. τὸ ἀμμωνιακὸν καὶ τὴν μάνναν σὺν ὀξελαίου, καὶ τὰ τηκτὰ κατάπλασσε.

Ἔμπλαστρον ἀξουγγίου.

Ἀξουγγίου, κηροῦ, ῥητίνης κολοφωνίας, σὺν ἴσῳ πάντα λειώσας χρῶ.

Ἄλλο μάλαγμα.

Ἐλαίου ξε. α, ἐπιχύματος λίτραν μίαν, ὀποπάνακος, χαλβάνης, ῥητίνης τερεβινθίνης, ἀσφάλτου ἰουδαϊκῆς ἀνὰ γο ἕξ, ῥητίνης κολοφωνίας λίτραν α, κηροῦ λίτραν τὸ ἥμισυ.

Μάλαγμα σωτῆνον καὶ λεπτυντικὸν ἐκθετόν.

Ἀσφάλτου γράμματα δ, κηροῦ λίτραν α, ῥητίνης γο ἕξ, κόνης γο ἕξ. δεῖ δὲ ἄκρῳ ἔαρι τοῦ νάρθηκος τὴν ῥίζαν ὀρύξαντα καὶ κόψαντα ξηρᾶναι, καὶ μίξαντα χρῆσθαι.

τερεβινθίνης γο δ´, βδέλλης γο γ´, στύρακος γο βς´, προπόλεως γο α´, πιτυΐνης ῥητίνης γο β´, κηροῦ γο ς´, πίσσης βρυτίας λίτραν ας´. τὸν ὀποπάνακα μετὰ τοῦ ἁλὸς ἄνθους λειώσας ἐπιμελῶς, καὶ τὰ ἄλλα πάντα τήξας, ἐπίβαλλε τὰ ξηρά.

Ἀρχιδήμου μάλαγμα πωλικόν.

Ἀποχύματος λίτρας γ´, κηροῦ, προπόλεως ἀνὰ λίτρας ας´, πιτυΐνης τερεβινθίνης ἀνὰ λίτραν μίαν, ἰξοῦ δρυΐνου, χαλβάνης, ἁλὸς ἄνθους, συμφύτου ἀνὰ γο ἓξ, καστορείου, εὐπατορείου ἀνὰ γο γ´, εὐφορβίου γο β´, μελιλώτου γο ἓξ.

Μάλαγμα ἄλλο.

Ἀσφάλτου, ἀμμωνιακοῦ ἀνὰ γο β´, σμύρνης, χαλβάνης, ἀνὰ γο α´, εὐφορβίου, καστορείου, ὀποπάνακος, ἀδάρκης καλαμίτιδος ἀνὰ γο ς´, ἀποχύματος ἐκ τῶν καταχρισμάτων τῶν πλοίων γο γ´, κολοφωνίας γο ἓξ, κηροῦ λίτρας δύο.

Ἄλλο μάλαγμα διὰ σύκων.

Σύκου ἄφρου, χαλβάνης, πίσσης βρυτίας, θείου, νίτρου ἀνὰ λίτραν μίαν. ταῦτα εἰς ἓν συντρίψας, τῇ τε πίσσῃ καὶ τῇ χαλβάνῃ συμμίξας χρῶ, μέχρις οὗ τὸν πόνον παύσῃ. εἶτα ἐπιτίθει μάλαγμα ὠμόν.

Μάλαγμα ὠμὸν πρὸς νεύρων ἰσχύν, καὶ ἀνθρώπους ποδαγρικούς.

Λαβὼν κηροῦ λίτρας β´, οἰσύπου λίτρας ἓξ, ἔμβαλλε εἰς ὅλμον, καὶ σύντριψον, καὶ ὅταν καλῶς συντριβῶσιν, στάθμιον γο ἓξ, καὶ εἰς θυίαν μετάβαλλε, καὶ ξίψον μολυβδίνῳ ὑπέρῳ, ἕως οὗ ἐκ τοῦ τελείως γο β´ γένωνται. εἶτα πρόσβαλε μέλιτος λίτρας γ´, ὄξους τὸ ἀρκοῦν. εἶτα μαρμάρου τετριμμένου ξε. α´, ἀμμωνιακοῦ γο ἓξ, λαβὼν. συντρίψας τε, καὶ σείσας, καὶ προσβαλὼν καρδάμου ξε. α´, τηγάνισον εἰς ὀστράκινον τήγανον, καὶ μετὰ ταῦτα λαβὼν χαλβάνης λίτραν α´, ξίψον ἕως ἁπαλὰ γένηται, καὶ τότε ὁμοῦ πάντα ἔμβαλλε εἰς ὅλμον, καὶ συνξίψας ἆρον τὸ σύντριμμα ἐκ τοῦ ὅλμου, καὶ προσβαλὼν μυελοῦ ἐλαφείου γο γ´, καὶ ἐλαίου παλαιοῦ γο ἓξ, ἀνάμιξον ἐπιμελῶς, καὶ ποίησον μαγδαλίας, καὶ ἐπ' ἀνθρώπῳ μὲν ὀθονίῳ προσπλάσας ἐπιτίθει. ἐπὶ δὲ ἵππου ῥάκει.

Μάλαγμα

ἐπ' αὐτῷ τὸ ταύρειον στέαρ, καὶ πρόσβαλε ἀσφάλτου ἰουδαϊκῆς λίτραν α̅, καὶ ὄξους κοτύλας δύο.

Μάλαγμα κηροῦ.

Κηροῦ λίτραν μίαν, τερεβινθίνης γο̅ ἕξ, κολοφωνίας, ῥητίνης πιτυΐνης, πίσσης ἀνὰ γο̅ ς̅, ὀποπάνακος, χαλβάνης, ἀμμωνιακοῦ, σαγαπήνου, βδελλίου, λιβανωτοῦ, κρόκου ἀνὰ γο̅ α̅.

Μάλαγμα χρυσίζον.

Ὀποπάνακος, ἁλὸς ἄνθους, ἀμμωνιακοῦ, σαγαπήνου, χαλβάνης ἀνὰ γο̅ α̅, κολοφωνίας, τερεβινθίνης φρυκτῆς, λιβάνου, κηροῦ ἀνὰ γο̅ ἕξ.

Μάλαγμα πρὸς ἐμφυσήματα ἄρθρων.

Ἀσφάλτου ἰουδαϊκῆς, κηροῦ ἀνὰ γο̅ θ̅, πίσσης ξηρᾶς γο̅ ς̅, ῥητίνης φρυκτῆς, λιβάνου ἀνὰ γο̅ ἕξ, λεπίδος κυπρίας λίτρας τέσσαρας, ἐλαίου λίτρας γ̅, ξε. βς̅.

Μάλαγμα πρὸς μαρμαρωτοὺς καὶ φλεγμονάς.

Λιθαργύρου, ἐλαίου δαφνίνου, ψιμμυθίου ἀνὰ λίτρας τέσσαρας, τερεβινθίνης, κολοφωνίας, στύρακος, ἴρεως ἰλλυρικῆς, προπόλεως, ἀσφάλτου ἰουδαϊκῆς ἀνὰ λίτρας δύο, χαλβάνης λίτρας α̅, ὑσσώπου κρητικοῦ γο̅ ἕξ, μίσυος, χρυσίζοντος γο̅ β̅, ἀμμωνιακοῦ γο̅ ἕξ.

Μάλαγμα πρὸς νεύρων πόνους καὶ ἄρθρα, καὶ πρὸς τὸ αὐτίκα παντελῶς ἀναιρεθῆναι τοὺς πόνους.

Ἡδυόσμου, λέγχου, θείου, τερεβινθίνης, στύρακος, βδελλίου, χαλβάνης, πίσσης ἀνὰ γο̅ ἕξ. ταῦτα πάντα συγκόψας, μίξον οἴνου ξε. δ̅. εἶτα πάλιν ἕψε, καὶ θερμοῦ ἔτι ὄντος, ἐμπλάσας ἐπιτίθει.

Ἀνακόλλημα πρὸς πωρώσεις.

Ῥητίνης φρυκτῆς γο̅ γ̅, γύρεως ξέστην ἕνα, ὄξους ξέστην ἕνα.

Μάλαγμα τὸ καλούμενον ἔμβλα μοῦλα.

Ὀποπάνακος, ἀσφάλτου, χαλβάνης, σαγαπήνου, ἰξοῦ δρυΐνου ἀνὰ γο̅ γ̅, ἁλὸς ἄνθους γο̅ τὸ ἥμισυ, κασορείου γο̅ β̅, οἰσύπου, θυμιάματος ἀμμωνιακοῦ ἀνὰ γο̅ α̅, λιβάνου ἄῤῥενος γο̅ ας̅,

 τερεβιν-

στατῆρας δ´, χαλβάνης στατῆρα ἕνα, μάννης στατῆρας δύο, ὄξους δριμέος λευκοῦ κοτύλην μίαν, ἕψει ἐν ὀστρακίνῳ ἀγγείῳ προβάλλων τὸ ἥμισυ τοῦ ὄξους. ἐὰν δὲ γένηται ἀναβαῖνον, τὸ λοιπὸν καταῤῥαίνει.

Μάλαγμα ᾧ ἐχρησάμεθα ἡμεῖς σκελίζοντι καὶ τῶν ἀνθρώπων.

Κηροῦ στατῆρας ις´, βρέχοντες τὸν κηρὸν, καὶ ἐν ἡλίῳ μαλάσσοντες καὶ ποιοῦντες πέταλα ἐν κυπρίνῳ, ὡσαύτως ἐπιθέμενοι εἰς τὸν ἥλιον, ἄχρις οὗ τὸ κύπρινον συμπίῃ πᾶν. ἔστωσαν δὲ κύαθοι δύο, καὶ προτρίψαντες ἀμμωνιακοῦ στατῆρας κδ´, καλῶς λεῖα μετὰ ὄξους δριμέος λευκοῦ τοῦ ἀρκοῦντος, ὡς μὴ ὑγρὸν γενέσθαι λίαν. τό τε ἐμβάλλομεν τὸν κηρὸν, καὶ συλλεάναντες ὥστε μιγῆναι, οὕτως χρώμεθα.

Μάλαγμα διὰ στέατος καὶ κηροῦ.

Κηροῦ στατῆρας ις´, στέατος ἐλαφείου, ἢ βοείου ἀπὸ τῶν νεφρῶν, ἢ αἰγείου τὸ ἴσον, μάννης στατῆρα ἕνα, ῥητίνης κολοφωνίας στατῆρας β´, χαλβάνης ὁλκὰς β´, ἐλαίου κύαθον ἕνα. ταῦτα βαλὼν πάντα εἰς λοπάδα, καὶ συγχέας, εἰς τὸ αὐτὸ ἕψε, ὡς ἂν δὲ συγχυθῇ, ἆρον συντόμως. ἐπὶ πᾶσι δὲ, βάλλε τὴν μάνναν καὶ τὴν χαλβάνην.

Μαλακτικόν.

Ἀξουγγίου στατῆρας κδ´, ῥητίνης κολοφωνίας τὸ ἴσον, κηροῦ στατῆρας ις´, ἀκόπου, ψιμμυθίου στατῆρας δύο, βρέχε εἰς ἀγγεῖον καινὸν νύκτα, καὶ ἡμέραν ἐν ὕδατι, καὶ ἀπηθήσας τὸ ὕδωρ, τρίβε τὸ ψιμμύθιον ἐν θυίᾳ ὡς λειότατα. εἶτα κηρωτὴν ποιήσας, συγκατάμιξον, καὶ τρίβε ὅλην τὴν ἡμέραν. ὡς ἂν δὲ γένηται λεῖον, συγκατάμιξον μέλι πλῆθος χήμης, καὶ συλλεάνας οὕτω χρῶ. καὶ λαμβάνων ἔλαιον εἰς τὴν χεῖρα, δίδου εἰς τοὺς κροτάφους τοῦ ἵππου, καὶ τὸν δακτύλιον. ὡσαύτως δὲ καὶ ἀνθρώπῳ πρὸς πάντα κόπον ποιεῖ. ἔστωσαν δὲ τῆς κηρωτῆρες ἕξ.

Μαλάγματος σύνθεσις.

Κηροῦ, ῥητίνης φρυκτῆς, ἀμμωνιακοῦ, κωνείου, ἁλὸς αἴθους, ταυρείου στέατος ἀνὰ λίτραν μίαν, ἀποχύματος λίτρας β´, ὀποπάνακος γο´ ἕξ, σμύρνης γο´ β´, χαλβάνης γο´ β´, λιβάνου τὸ ἴσον. εἰ δὲ βούλει εἶναι σφιγκτικὸν, ἢ ἀνακόλλημα, ἆρον

ἀπ' αὐτοῦ

Προπότισμα θερινόν.

Ὀρμίνου σπέρματος ἡμίναν μίαν, πετροσελίνου τὸ ἴσον, μύρτων ξε. α΄, σεσέλεως γαλλικοῦ ξε. α΄, σελινοσπέρματος ἡμίναν α΄, σχοινάνθης γο γ΄. ταῦτα λειώσας καὶ διηθήσας, μετὰ μελικράτου εἰς τὸν λαιμὸν ἔγχει.

Προπότισμα πρὸς πάντα πόνον.

Ξήριον ποιήσας ἀπὸ βησάλου παλαιοῦ, καὶ προσμίξας ῥητίνης τερεβινθίνης γο α΄, ἐν ὕδατι θερμῷ δίδου, ἔστι καλῶς δόκιμον.

Ἄλλο.

Βοτάνην τὴν λεγομένην ἡράκλειαν, ἤτοι πανάκειον, λειώσας μετὰ οἴνου παλαιοῦ, δίδου ὡς προείρηται.

Σύνθεσις χρησιμωτάτη.

Πανακέας ῥίζαν, καὶ ἄλευρον σίτινον ἐξ ἴσου λειώσας καὶ σήσας, ἀναλάμβανε οἴνῳ παλαιῷ, καὶ ποίει κολλύρας. εἶτα ποιήσας ὑγρότερον ὕστερον εἰς προπότισμα, δίδου τοῦτο. καὶ τραῦμα ἐν τοῖς ἐντὸς εὑρεθῇ, ἀφοβερῶς ἀποβληθήσεται.

Προπότισμα χειμερινόν.

Κόστου, κασσίας σύριγγος, πετροσελίνου, βετονικῆς, γλυκορίζου, σαμψύχου, ναρδοστάχυος, σαρκοφάγου, μελιλώτου, ἀμμωνιακοῦ, σχοινάνθης, ἀλόης, σμύρνης, πάνακος ῥίζης, καλάμου ἀρωματικοῦ, τραγακάνθης, ἀνὰ γο β΄, νάρδου κελτικῆς γο α΄, ἴρεως ἰλλυρικῆς γο δ΄, γεντιανῆς, ἀριστολοχείας, κρόκου ἀνὰ γο δ΄, κενταυρείου, δρακοντίας ἀνὰ γο α΄, ἀψινθίου ποντικοῦ δεσμίδια γ΄, ὀποπάνακος γο γ΄. τοῦτο τὸ προπότισμα πᾶσι ζώοις ἁρμόζει.

ἈΨΥΤΟΥ ΜΑΛΑΓΜΑ

τὸ διὰ βδελλίου.

ΚΕΦΑΛ. ΡΚΘ.

Πίσσης στατῆρας ιβ΄, κηροῦ τὸ αὐτό, ῥητίνης τὸ ἴσον, χαλβάνης στατῆρας δύο, ὀποπάνακος τὸ ἴσον, στύρακος, βδελλίου ἀνὰ στατῆρας ἑνός. τὸ αὐτὸ δὲ καὶ ἄκοπον ἐστί. ταῦτα μίξας χρῶ. ἀνιέμενον δὲ κυπρίνῳ ποιεῖ πρὸς τὰς ψύξεις τῶν ἀνθρώπων.

Μάλαγμα ξηρόν.

Πίσσης ξηρᾶς κδ΄ στατῆρας, κηροῦ στατῆρας κ΄, ἀμμωνιακοῦ

ἀνὰ γο̄ α̅. ταῦτα πάντα κόψας, δίδου τῷ ζώῳ γο̄ α̅, μετὰ οἴνου καὶ ἐλαίου ἀρκούντως. μίσγε δὲ αὐτοῖς, πτισάνης χυλὸν, φοίνικας κ̅, ἰσχάδας κε̅, στέαρ αἴγειον, καὶ σκύλακα μικρὸν εἰς ὕδωρ ἀποζεσθέντα. πάντα δὲ συμμίξας, δίδου διὰ κέρατος.

Ἀναψυκτικόν.

Μάννης λιβάνου γράμμα ἓν μετὰ οἴνου λευκοῦ χλιαροῦ, διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔμβαλλε.

Θερμαντικόν.

Ῥητίνης κολοφωνίας γο̄ δ̅, ὑσσώπου γο̄ β̅, μυελοῦ ἐλαφείου γο̄ α̅, ὀποπάνακος γο̄ ς̅, χαλβάνης τὸ ἴσον, ἐλαίου δαφνίνου γο̄ ιξ̅, ἐλαίου λίτραν μίαν, σχινίνου ἐλαίου τὸ ἴσον. ταῦτα μίξας, καὶ ἐν χαλκείῳ βαλὼν, καὶ ἑψήσας μαλακῷ πυρὶ ἀνάλαμβανε, καὶ μετὰ τὸ πυκνωθῆναι, κέχρισο τὰ μέτωπα τῶν ζώων ἀποχρίων ἐν χειμῶνι. ποιεῖ δὲ τοῦτο, καὶ ἐπὶ ἀνθρώποις τοῖς ἀπὸ πολλοῦ ψύχους τὰ ἰσχία πεπονθόσιν. οὐδὲν δὲ οὕτως χειμῶνος ὥρᾳ φυλάττει ἀβλαβῆ τὰ ζῶα ὡς τὸ συνεχέστερον διὰ κέρατος κονδῖτον λαμβάνειν.

ΚΑΤΑΣΚΕΥῊ ΠΡΟΠΟΤΊΣματος παραδόξου ποιοῦντος, πρὸς ζώων ἀνάληψιν, καὶ πρὸς πᾶσαν αὐτῶν θεραπείαν, καὶ πρὸς τὸ βῆχα καταπαῦσαι. ἔστι δὲ παντὶ καιρῷ ἐπιτήδειον.

Τραγακάνθης γο̄ ι̅, ὀποπάνακος γο̄ γ̅, χαλβάνης γο̄ β̅, κόμεως ἀλεξανδρίνου γο̄ η̅, μελιλώτων γο̄ ε̅, ῥόδων ξηρῶν τὸ ἴσον, κασίας τὸ ἴσον, νάρδου κελτικῆς γο̄ γ̅, σαμψύχου γο̄ ε̅, καρποβαλσάμου γο̄ δ̅, ναρδοστάχυος γο̄ γ̅, σχοινάνθης γο̄ ε̅, ἀμώμου γο̄ ε̅, στέατος τραγείου γο̄ δ̅, σμύρνης, στέατος ταυρείου ἀνὰ γο̄ ε̅, τηλίνου ἀλεύρου ξε. γ̅, φοίνικας ἀπὸ βεβρεγμένας ἐν οἴνῳ κ̅, βόλβους θ̅, μέλιτος πρωτείου λίτραν μίαν, ἑψήματος ξε. γ̅, οἴνου παλαιοῦ ξε. κε̅, τὴν χαλβάνην, καὶ τὴν τραγάκανθαν, καὶ τὸν ὀποπάνακα οἴνῳ ἀποβρέξας λεῖου, καὶ λοιπὸν μετὰ τῶν ἄλλων εἰδῶν ἕψει, ἄχρις οὗ τριτωθῇ. τὸ δὲ ἕψημα καὶ τὸν οἶνον συμμέτρως ἐπίβαλλε.

Πόμα κολλῶδες.

Σμύρνης γο β', τραγακάνθης γο β', κυμίνου γο β', κρόκου γο α', μετὰ οἴνου χλιαροῦ δίδου.

Προπότισμα θερινόν.

Κρόκου γο α' εἰς οἶνον ἐμβαλών, καὶ τραγακάνθης γο γ' εἰς ὕδωρ θερμόν, ἔπειτα λειώσας πρόσμιξον κύβις. πράσου κεφαλὴν καὶ σέλινον χλωρόν, καὶ πάλιν ἐν ταυτῷ λειώσας, πρόσβαλλε. θρίδακος χυλοῦ ὀλίγον, καὶ γάλα αἴγειον μετὰ ἐλαίου ῥοδίνου μέλιτος γο δ', ἑψήματος ξε. ςα, οἴνου παλαιοῦ τὸ ἀρκοῦν, ἔπειτα δίδου διὰ κέρατος ἐν ταῖς ἡμέραις τρισίν.

Προπότισμα ἐπιχλόης.

Βουτύρου γο α', μέλιτος γο α', ἀξουγγίου παλαιοῦ λίτραν α', φοίνικας ἀριθμῷ ιβ', σταφίδων ξε. α', βόλβους ἀριθμῷ ι', λινοσπέρματος κεκομμένου ἡμίναν μίαν, τήλεως κεκομμένης τὸ ἴσον, σκορόδου γαλικοῦ τὸ ἀρκοῦν, κρόκου γο α', τραγακάνθης γο τρεῖς. ταῦτα πάντα λειώσας, μίξον μετὰ μέλιτος καὶ ᾠῶν, καὶ ἐλαίου, καὶ ἑψήματος ἀρκοῦντος, καὶ δίδου ἐν ἡμέραις τρισίν.

Προπότισμα χειμερινὸν
ἁπλοῦν.

Οἴνου παλαιοῦ ξε. ςα, ἐλαίου καλοῦ γο ἕξ, πεπέρεως γο μίαν, πηγάνου χλωροῦ γο ι', τραγακάνθης γο ἕξ, μέλιτος τὸ ἴσον, ᾠὰ ὅσα βούλει, καὶ ἑψήματος τὸ ἀρκοῦν.

Προπότισμα ποιοῦν εἰς
πάντα.

Πτισάνης ξε. ςα, τήλεως τὸ ἴσον, σεύτλων δεσμὴν μίαν, ἰσχάδας ἀριθμῷ κ', ἐλαίου λίτρας δύο, γάλακτος ὀνείου ξε. ςα, μίξας ταῦτα, προπότιζε συνεχῶς.

Προπότισμα ἀναψυκτικόν.

Οἴνου παλαιοῦ ξε. ςα, ἐλαίου πρωτείου ξε. ἕξ, σταφυλὰς ὅσας βούλει, ὕδατος ψυχροῦ τὸ ἀρκοῦν.

Προπότισμα χειμερινόν.

Κρόκου, κόστου, πετροσελίνου μακεδονικοῦ, σμύρνης, λιβάνου ἄρρενος, τραγακάνθης, χαμαίδρυος, βεττονικῆς, κυμίνου ἀλεξανδρίνου, μάννης, πεπέρεως

ἀνὰ

θεραπεία. ῥέου ποντικοῦ γο γ΄, καλάμου ἀρωματικοῦ γο ε΄, καππάρεως ῥίζης γο ε΄, κόψας καὶ σείσας μετὰ ὕδατος ξέ. ἑνός, ὅσον τρία κοχλιάρια, ἐγχυμάτιζε. τὸ δὲ πόμα αὐτῶν ἔστω ὀλίγον, καὶ αὐτὸ χλιαρόν. συνεχέστερον μέντοι ἢ φωνῇ ἀνθρωπίνῃ, ἢ ῥάβδῳ τοῦτον χρὴ διανίστασθαι, ὥστε κατὰ μικρὸν διὰ τῆς τοιαύτης ἐπιμελείας ἀποθέσθαι τὸ νόσημα.

Προπότισμα παντὶ καιρῷ ἀναγκαῖον.

Ξήριον κατασκευάσας ἐκ τῶν ὑποτεταγμένων εἰδῶν, ὅπερ ἐστὶ πάντων ὁμοῦ λυσιτελέστερον. γεντιανῆς, ἀριστολοχείας, σμύρνης, δαφνοκόκκων, πρίσματος ἐλεφαντίνου, πάντα ἐξ ἴσης ἐπὶ τῆς χρείας προπότιζε πρὸς παντοῖα πάθη τρόπῳ τοιούτῳ, ἀποζέσας εἰς οἶνον ῥίζας ὀξυσχοίνου, καὶ πρασίου, διηθήσας τὸν οἶνον, ἐπίβαλλε τοῦ προειρημένου ξηρίου κοχλιάριον μεστόν, καὶ προπότιζε ἐπὶ ἡμέραις τρισίν.

Προπότισμα τὸ παρὰ ῥωμαίοις κουδριγάειον καλούμενον.

Τραγακάνθης γο α΄, πετροσελίνου γο α΄, βετονικῆς γο ϛ΄, σαρκοφάγου γο α΄, κασίας, σύριγγος, ἴρεως ἰλλυρικῆς ἀνὰ γο α΄, ὑσσώπου δεσμὰς δύο, εὐφορβίου, λιβάνου, μάννης, γεντιανῆς ἀνὰ γο α΄, περδικίου βοτάνης λίτραν α΄, πεπέρεως γο α΄, κόστου, μελιλώτου, ὀποπάνακος, ναρδοστάχυος, σχοίνου ἄνθους, ἀμμωνιακοῦ, κινναμώμου, πηγάνου σπέρματος, μυρτοκόκκων ἀνὰ γο α΄, στροβίλους μικροὺς χλωροὺς κε΄, γλυκορρίζου γο α΄. ταῦτα πάντα κόψας, καὶ λεπτῷ κοσκίνῳ σείσας, φύλαττε, καὶ ὁπηνίκα γένηται χρεία, οἴνῳ συμμίξας δίδου.

Προπότισμα καιρῷ παντὶ ἐπιτήδειον.

Κόστου γο α΄, μελιλώτου, ὑσσώπου ξηροῦ, ἴρεως ἰλλυρικῆς, ἀριστολοχείας, σμύρνης τρωγλήτιδος, δρακοντίας, ναρδοστάχυος, ἀνὰ γο μιᾶς. ταῦτα πάντα κόψας καὶ σείσας, ποίησον ξήριον, καὶ τοῦ μὲν θέρει προσεμβαλὼν, καὶ κρόκου γο α΄, τραγακάνθης τὸ ἴσον, μέλιτος τὸ ἀρκοῦν, οἴνου ξέ. ἕξ, οὕτως ἐγχυμάτιζε. χειμῶνος δὲ τοῖς προγεγραμμένοις πᾶσι πεπέρεως λελειομένου γο γ΄, προσμίξας, δίδου διὰ κέρατος.

Πόμα

ας χρῶ, ὅσον λεπτοκαρύου μέγεθος, μετὰ ὕδατος χλιαροῦ ξε. ἑνός.

Ἄλλο.

Μέλιτος κοχλιάρια δ̄, λιβάνου ἀλεύρου γο ᾱ, ὄξους κοχλιάρια ε̄, οἴνου παλαιοῦ ξε. τὸ ἥμισυ. ταῦτα πάντα λειώσας, δίελε εἰς τρία, καὶ ἐν ταῖς ἡμέραις τρισί, δίδου διὰ στόματος, καὶ στρώμασι σκεπάσας ποίει διακινεῖν. Ἄλλο.

Καπέρεως φλοιὸν κρεμάσας ἐν τῷ καπνῷ ξήρανον, ἔπειτα τρίψας μετὰ οἴνου, καὶ πεπέρεως δίδου.

Εἰς τὸ ἐπιγνῶναι ἵππον ἀπὸ χόρτα βλαβέντα.

Πρῶτον μὲν ἄστατον ἕξει τὸ πνεῦμα, καὶ διὰ παντὸς παλλόμενον, σαθρὸν τὸ βῆμα, τὸν ἐκ γαστρός, ἢ καὶ ὤμων ἀφαίμασσε, καὶ προπότισμα οἴνου ἀφεψημένου δίδου. κριθῶν δὲ ἀπεχέσθω. κέχρησο δὲ καὶ διουρητικοῖς βοηθήμασιν.

Πρὸς ληθαργικούς.

Ἐσήμανάς μοι τοὺς ἵππους σου βαρυτάτῳ κατέχεσθαι νοσήματι. λέγεις γὰρ τούτους συνεχέστερον ἀναπίπτειν, καὶ πολλάκις ἀποκαθεύδειν, καὶ τούτων ἕνεκα, μὴ δὲ τροφὴν προσίεσθαι, ἀλλὰ τὸ πολὺ κατίσχνους γίνεσθαι. τὸ πάθος τοίνυν καὶ βαρύτατόν ἐστι, καὶ πολλῆς παραφυλακῆς δεόμενον ὥστε μὴ γενέσθαι, ὅπερ εἰ συμβῇ τοῖς παρ' ἡμῶν προεκτεθεῖσι βοηθήμασι θεραπευτέον. τὸ δὲ τοιοῦτον πάθος, οἱ τῆς ἰατρικῆς τέχνης ἐπιστήμονες, λήθαργον ἀπεκάλεσαν. θεραπεύσεις οὖν πρὸς τοῖς προεκτεθεῖσι, καὶ τῷδε τῷ τρόπῳ. πρῶτον μὲν ἐν μαλακῇ ἱπποστασίᾳ ἱστάσθω, ἀχύρων ἢ χόρτων ἁπαλῶν ὑποστρωννυμένων κατὰ τὸ ἔδαφος, καὶ συνεχέστερον διὰ χειρῶν ὑοστέσθω, ὥστε μὴ ἀποκαθεύδειν. συμβάλλεται δὲ καὶ τὸ συνεχέστερον ἀναπατεῖν καὶ τοὺς τέσσαρας πόδας ὄξει καὶ πιτύροις θερμοῖς ἀποτρίβεσθαι. προποτιζέσθω δὲ καὶ πόμα δεχόμενον πίτυρα σίτινα, καὶ ἅλας μετὰ ὀξυκράτου ξε. β̄. Ἄλλο.

Ἀρτεμισίας βοτάνης ἄνθος κόψας μετὰ ἐλαίου καὶ ὀλίγης στακτῆς, δίδου διὰ κέρατος.

Προπότισμα πρὸς ληθαργικούς.

Πρὸ πάντων τοὺς ληθαργικοὺς κριθῶν ἀπέχεσθαι ποίει, τρωγέτωσαν δὲ φάβατος ξηροῦ ξε. ᾱ, οὕτω τε ἀπὸ τῶν σπονδύλων αἷμα ἀφαιρείσθωσαν, καὶ μετὰ ταῦτα διαίτῃ ἐγχυματιζέσθωσαν

δαύκου κρητικῆς γο δ, πάνακος, κασίας γο β, τιτάνου, ἀσβέστου, σελίνου ἀφρικοῦ γο δ.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΕΡῚ ἈΝΑξηρανθέντος δέρματος.

Ἐὰν ζώου τινὸς τὸ δέρμα ξηρανθῇ, καὶ τρεφόμενον μὴ δέχηται προκοπήν, ὅπερ συμβαίνει ἀπὸ καύματος πολλοῦ. θεραπεύεται οὕτως. ἐλαίῳ πηγανίνῳ πρότερον ἀποχρίσας ὅλον τὸ σῶμα, μετὰ ταῦτα δίδου τὸ ὑποτεταγμένον προπότισμα, τουτέστι σταφυλίνου, τραγακάνθης, πηγάνου ἀγρίου, ἡδυόσμου ἀγρίου, ἀνὰ γο ας, σελίνου, μελιλώτου, ἀψινθίου ποντικοῦ, ἑκάστου τὸ ἴσον, ὁμοῦ πάντα λειώσας, καὶ συμμίξας, καὶ μεθ' ὕδατος θερμοῦ ἑψήσας, προσένεγκαι.

Τοῦ αὐτοῦ προπότισμα καὶ θεραπεία πρὸς κωλικούς, καὶ τοὺς ἀπὸ χόρτου σαπροῦ βλαπτομένους.

Πελαγώνιος λουκίῳ χαίρειν. τὰ τῶν κωλικῶν σημεῖα. οὐ πᾶσιν ὑπάρχει γνώριμα, ἐπείπερ οὐκ ἀνόμοιον τὸ τοιοῦτο πρὸς τὰ ἄλλα πάθη τὰ ἐν τοῖς ἐντὸς ἐπιγινόμενα. τούτῳ δὲ μόνῳ διαφέρει, τὸ συνεχεῖς, καὶ μείζους πόνους ἔχειν, ἤπερ τοὺς καρδιακούς, καὶ στροφουμένους. τὰ δὲ τούτων σημεῖα. πολλάκις ἐκ τῶν δὲ κατὰ μαθόντες ἔγνωμεν. πρῶτον μὲν ἔσω, ἐξαίφνης καταπίπτει, ὡς ἐπιληψίᾳ αὐτὸν νομίζεσθαι ἔχεσθαι, ἔπειτα ὀλίγον διαλιπόν τι, πόνος αὐτῷ εὐθὺς ἐπακολουθεῖ, καὶ ῥίψας ἑαυτὸν ἀνάκειται. ὅτε δὲ τὸ ψυχρὸν ὕδωρ πίνει, βρέμει καὶ ὑδροῖ, καὶ πνευστιᾷ, τὸ στενοχωρεῖται. τοῖς τοιούτοις οὖν χρὴ τῷ τοιούτῳ προποτίσματι ὥς φησι κέλσος βοηθεῖν. ῥέου ποντικοῦ γο α, πετροσελίνου γο α, μαράθου σπέρματος γο μίαν, πεπέρεως μέλανος γο α, πρασίου γο μίαν, ἀβροτόνου γο μίαν, ἀνήθου γράμμα ἕν, λιβυστικοῦ γο α, κενταυρίου σπέρματος γο α, χαμαιπίτυος γο ς, εὐπατορίου γράμματα δ, γλίχωνος καθαροῦ γο α, πηγάνου γο α, σελίνου σπέρματος γο α, ζιγγιβέρεως τὸ ἥμισυ, μέλιτος πρωτείου λίτρας δύο, τὰ ξηρὰ κόψας, καὶ σήσας, ἀνάλαμβανε τῷ μέλιτι, καὶ ἐπὶ τῆς χρείας χρῶ,

Ὑσσώπου γο α, πυρέθρου, πηγάνου χλωροῦ, κρόκου, κόμεως, ἀνὰ γο β, ἀλόης ἄνθους γο γ, μέλιτος τέταρτον.

Τροχίσκος Ἀρχελάου

Σμύρνης γο β, ἀβροτόνου γο δ, κρόκου τὸ ἴσον, πυρέθρου, πηγάνου χλωροῦ, ὀριγάνου, ὑσσώπου ἀνὰ γο β, ὄξους τὸ ἀρκοῦν.

Ἄλλο πούλβερ.

Κασίας γο α, νάρδου ἰνδικῆς γο δ, κρόκου, κόστου, ἴρεως ἰλλυρικῆς, καρδαμώμου, πετροσελίνου, ἀργίου, πεπέρεως λευκοῦ, κενταυρίου, πρασίου, πάνακος, σχοινάνθης, ἀμώμου, ἑκάστου ἀνὰ γο α.

Ἄκοπον.

Κηροῦ ἀμμωνιακοῦ, δαφνίδων, ῥητίνης φρυκτῆς, ἐλαίου, σαλαγμίδων ἀνὰ λίτραν μίαν, ὀποπάνακος λίτρας β, βδελλίου λίτρας β, σαμψύχου λίτρας δ, τερεβινθίνης γο ἑξ, πεπέρεως γο α, μάννης τὸ ἴσον, κυπρίνου γο ἑξ, οἴνου παλαιοῦ γο β.

Πρὸς ἰσχιάδα.

Εὐφορβίου, ζώνης σαρδιανῆς, ἀφρονίτρου, γλευκίνου μύρου τὰ ἴσα.

Πότιον δήκονδος.

Κρόκου γο τὸ ῥίζον, σμύρνης τὸ ἴσον, ἀλόης γο ς, κόστου τὸ ἥμισυ, ταῦτα πρὸς μιᾶς ῥίψας, εἰς οἶνον ἔμβρεχε, καὶ ῥαγακάνθης γο β, ἰδίᾳ ἔμβρεχε εἰς ὕδωρ. τῇ δὲ ἐπιούσῃ βάλλε εἰς ὕδωρ, καὶ τρίβε ἵνα διαλυθῇ, προσεπιβάλλων κατ᾽ ὀλίγον οἶνον εἰς τοσοῦτον, μέχρις οὗ γένωνται ξέσαι ἰταλικοὶ ἐννέα, ἐγχέων, καὶ μέλιτος λίτρας β. ὅταν οὖν συμμιγῇ πάντα λειωθέντα ἐπιμελῶς, βαλὼν εἰς χύτραν, θέρμανον καὶ ἐπίπασον πεπέρεως ὀλίγον, καὶ τῇ ἑξῆς πότισον. χειμῶνος μὲν χλιαρόν, θέρους δὲ ψυχρόν.

Ἄλλο.

Ὑσσώπου, γεντιανῆς, ὀποπάνακος ἀνὰ γο β, σαγαπίνου, σμύρνης, ἰσχάδων, ζιγγιβέρεως, πετροσελίνου, κόστου, ἀκόρου ἀνὰ γο α, σχοίνου ἄνθους γο β, πηγάνου δεσμίδιον, σελίνου σπέρματος γο β, πρασίου γο ἑξ,

κάγχρου γο δ, μυροβαλάνου γο δ, ἴρεως ἰλλυρικῆς, κασίας γο β, καστάμου γο β, κρόκου γράμματα δ, οἴνου ξε. κζ, μέλιτος λίτρας κζ, καρυοφύλλου γο δ, ἑκάστῳ ζώῳ δίδου ἡμίναν μίαν.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΓΧΥΜΑΤΙΣΜΟΣ

Μέλιτος ξέστην ἕνα, πράσων δεσμὴν μίαν, ὀμφακίνου ἐλαίου ξε. α, ἀνήθου δεσμὴν μίαν, σελίνων τὸ ἴσον γλίχωνος δεσμὴν μίαν. ταῦτα πάντα ἑψήσας ὁμοῦ, ὕστερον χυλὸν ποιήσας ἐκσειμιδάλεως καὶ συμμίξας χρῶ.

Προεγχυματισμός.

Χυλὸν κρίθινον ὁμοῦ στέατι βραγέως ἑψεῖ, καὶ τούτοις πρόσβαλλε τίλιν καὶ αὐτὴν συνέψων, καὶ τὸ ζῶον ἐγχυμάτιζε.

Ἐγχυματισμὸς ἐαρινός.

Ὠὰ ἀποβρέξας ε, καὶ ὄξος δριμύτατον ἀπὸ ἑσπέρας ἕως πρωΐ, δίδου τῷ ἵππῳ.

Ἄλλος θερινός.

Κάρυινον ἤτοι ἕψημα, κρόκον κοχλιάριον ἓν οἴνῳ ἐπιβρεχόμενον, βραγκαίνθην ὕδατι χλιαρῷ ἐπιβρεχομένην, στρόβιλον ὁμοίως ἐπιβρεχόμενον οἴνῳ, πάντα λειοθέντα, ἐγχυμάτιζε καταλαμβανόμενος τοῦ ἵππου τὴν γλῶσσαν.

Ἀναληπτικὸς ἐγχυματισμός.

Σελίνων δεσμὰς τρεῖς, κράμβης, πράσων ἀνὰ δεσμῶν δεσμῶν, δαφνίδων ξέστας δύο, χοιρείου κρέως λίτρας δ, πεπέρεως, ὀποπάνακος ἀνὰ γο β, πτισάνης ξέστας θ, μέλιτος ας, ἕψων τὰ σέλινα, καὶ τὰ πράσα, καὶ τὰς κράμβας μετὰ τῶν κρέως καὶ τῶν κριθῶν καὶ τῶν δαφνίδων. εἶθ' οὕτως ἐμβάλλων τὰ λοιπά, ἐγχυμάτιζε.

Ὑπνωτικὸν πρὸς κτηνῶν κακότροπα.

Καρδαμώμου, κυάμου σπέρματος, στύρακος ἀνὰ γο δ, σμύρνης γο β, πεπέρεως γο ς.

Πρὸς ἰλιγγιῶντας.

Κρομύων μακρῶν σπέρματος γο α, ἀλόης γο α, πεπέρεως λευκοῦ γο γ, μέλιτος τέταρτον.

Τροχίσκος.

Ὑσσώπου

νῶδες ὅλον, ἥτε γλῶττα παχύνεται, καὶ ἡ κεφαλὴ μείζων γίνεται. βοηθήσεις οὕτως. φλεβοτόμει τῇ πρώτῃ ἡμέρᾳ ἀπὸ τοῦ αὐχένος, καὶ χλωρᾷ τροφῇ χρῶ ἐὰν καιρὸς ᾖ, ἢ διὰ θριδάκων ἢ ἀγρώστεως, ἢ καλαμοφύλλων μόνον. τῇ δὲ δευτέρᾳ ἡμέρᾳ φλεβοτόμησον ἀπὸ τῶν κροτάφων, καὶ τῇ αὐτῇ τροφῇ χρήσῃ. τῇ δὲ τρίτῃ ἐγχυμάτισον, ἐὰν ᾖ χειμὼν, τῶν προγεγραμμένων θερμαντικῶν, καὶ διουρητικῶν. ἐὰν δὲ θέρος ᾖ, τῶν ἀναψυκτικῶν τῶν διὰ τραγακάνθης καὶ γλαύκιος.

Ἐγχυματισμὸς εἰς κτήνη πυρέσσοντα πρὸς τὸ ἀναψῦξαι πόμα θερμαντικὸν δάκνον.

Ὄξους γο̅ μίαν, ῥοδίνου γο̅ α̅, ἀναράξας ἀμφότερα, προεγχυμάτιζε, καὶ διαστήσας βραχὺ. ἔπειτα μίξας μέλιτος γο̅ γ̅, ῥοδίνου γο̅ γ̅, γάλακτος λίτραν μίαν, οἴνου ἡμίναν ἰταλικὴν ἐγχυμάτιζε. τροφῇ δὲ χρῶ χλωρᾷ τῷ ἐν καιρῷ οὔσῃ.

Γεντιανῆς, πεπέρεως μέλανος, πεπέρεως λευκοῦ, σεσέλεως ἀνὰ γο̅ β̅. Ἀψινθίου ποντικοῦ γο̅ β̅, θέρμων πικρῶν γο̅ γ̅, νασοεικοῦ γο̅ γ̅.

Πρὸς ὕπνον κτήνους.

Μήκωνος τὸ γάλα ὡσεὶ ὀβολὸν, ἀνήθου τὸ αἰρόμενον τρισὶ δακτύλοις, λειοτριβήσας εἰς ᾠὸν, καὶ προσμίξας κύαθον ὄξους, δὸς πιεῖν. εἰ δὲ μὴ ἔχῃς μήκωνος γάλα, αὐτῷ τῷ σπέρματι χρῆσαι τρὶς τοσοῦτον, ὅσον ἐκ τοῦ γάλακτος, καὶ οἴνου κοτύλῃ μιᾷ.

Προπότισμα.

Κρόκου γο̅ ἕξ, σαμψύχου, ὑσσώπου ἀνὰ γο̅ δ̅. μελιλώτου γο̅ ἕξ, κόστου, σμύρνης, ἀλόης, ἴρεως ἀνὰ γο̅ δ̅, ἀψινθίου κρητικοῦ γο̅ ϛ̅, ἀβροτόνου γο̅ δ̅, φύλλου γο̅ ἕξ, γλυκυρίζου γο̅ δ̅, κασίας γο̅ ϛ̅, καλάμου ἀρωματικοῦ γο̅ ϛ̅, κυπέρου γο̅ δ̅, πεπέρεως γο̅ δ̅, τραγακάνθης λίτρας δ̅, σαρκοφάγου γο̅ γ̅, καρδαμώμου γο̅ γ̅, πετροσελίνου γο̅ γ̅, ἀκόρου γο̅ δ̅, γεντιανῆς, κενταυρίου, ὀποπάνακος ἀνὰ γο̅ γ̅, βετονίκης γο̅ δ̅, σαλατικοῦ γο̅ γ̅, βράθυος γο̅ β̅, κελτικῆς γο̅ γ̅, κασοείου τὸ ἴσον, πράσων γο̅ δ̅, κόψας καὶ σείσας, προσβαλὼν καὶ μέλιτος κοτύλας γ̅, ᾠὰ β̅, ῥοδίνου τὸ ἀρκοῦν, καὶ οἴνου ξε. α̅, ἐγχυμάτιζε.

Ἄλλο.

Ναρδοστάχυος γο̅ γ̅, κόστου γο̅ δ̅, ἀμώμου γο̅ δ̅, φύλλου γο̅ γ̅,

Σύνθεσις ἐγχυματισμοῦ θερμαντικοῦ,
καὶ διεγερτικοῦ.

Κασίας γο β΄, κόστου γο β΄, ναρδοστάχυος γο α΄, κυπάρου λίβραν μίαν, ὑσσώπου κρητικοῦ γο ἑξ, ἀψινθίου ποντικοῦ γο ἑξ, σμύρνης γο α΄, ταῦτα ἐν ὕδατι καθεψήσας, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί. ποιεῖ δὲ καὶ πρὸς θηρίων ἐκβολάς, καὶ πρὸς τετάνους, καὶ πρὸς βῆχα, καὶ πρὸς διέγερσιν ὅλου τοῦ σώματος. τῇ δὲ τετάρτῃ ἡμέρᾳ ἔλαιον δίδου, ἵνα καταλεανθῇ καθαρίως.

Σύνθεσις ἐγχυματισμοῦ πρὸς καύματα.

Ἐὰν ἔλθῃ ἐξ ὁδοῦ, καὶ τὴν λαγόνα πάλλῃ, καὶ μὴ ὀρέγηται τροφῆς, στένῃ δὲ πολλά, παρὰ τὴν ὥραν μὲν καλάμου φύλλα, ἢ ἄγρωστιν χλωράν, ἢ θρίδακας καταῤῥάνας ὄξει, ἐπίθες ὥστε ἀναψύξαι. ἔπειτα βρέξει τραγακάνθης γο γ΄, κρόκου γο α΄, ὕδατι ἀφ' ἑσπέρας μέχρι τῆς αὔριον, καὶ στροβίλων ξε. α΄, καὶ λειοτριβήσας ἕκαστον κατ' ἰδίαν. εἶτα ἀναμίξας πάλιν ὁμοῦ, πρόσβαλλε γλυκέος καρύνου, ἢ σκυβελτίου ξε. α΄, καὶ ἀνδράχνης χυλοῦ γο γ΄, ψυχροῦ ὕδατος τὸ ἀρκοῦν, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί, τὰς κριθὰς πεφρυσμένως προσάγων, καὶ κατανοεῖν καὶ ἐκκομίζεσθαι αὐτὴν σικύων φύλλῳ, ἢ τραχεῖ ῥάκει. ὅταν δὲ τῷ στομάχῳ, ἢ τῇ φάρυγγι ἐμπλακῇ, μίαν ἢ πλείους, ἐκμυζῶσι τὸ ζῷον, καὶ ἀπισχνοῦνται, καὶ ὅσα ἂν ἐγχυματίσῃς φάρμακα, οὐδὲν ὀνήσεις. διαφωνήσει γὰρ τὸ ζῷον. μόνον δὲ ἡμῖν ἄρεστον δοκεῖ βοήθημα ἔλαιον ἐγχυματίζειν. ἁψάμεναι γὰρ τὸ ἔλαιον, ἐξωθεῖ τὰς βδέλλας, καὶ παραχρῆμα τελευτῶσιν.

Πρὸς βδέλλας κεκολλημένας τῷ στόματι.

Κόρεις πέντε θλάσας ἐν τῇ χειρί, κόλλα τῷ στόματι, καὶ εὐθέως ἀποῤῥιφήσονται. ἐὰν δὲ περὶ τὴν φάρυγγα ὦσι, πυρὶ ἐπιθείς, τοὺς κόρεις ὑποκάπνιζε.

Ἐὰν ἵππος ἢ ἄλλο ὑποζύγιον βδέλλαν καταπίῃ, ἢ εἰς τοὺς ῥώθωνας ἀνέλθῃ, καὶ αἷμα ῥεῖ διὰ τοῦ τόπου ἐκείνου, ἅλατι, ἢ ἐλαίῳ ἐμφύσησον. εἶτα σαρκολαβίδι, πάντας ἐξέωσον, ἢ καυτηρίῳ διάκαυσον, ἔπειτα ἄρτον καύσας καὶ λειοτριβήσας, οἴνῳ τε ῥάνας, κατάπλασσε.

Ἄλλο.

Ἐὰν κτῆνος ἄπεπτον αἰσθῇ γινόμενον, γνώσῃ δὲ ἀπὸ τῶν σημείων τῶνδε. ἔχει γὰρ τὰ χείλη ᾠδηκότα, καὶ φλυκται-

σκυλάκιον γαλαθηνὸν σφάξαντες μαδίσαι, καὶ τὰ ἐντόσθια ἐκρίψαι, καὶ πλύναντας ἐμβαλεῖν εἰς χύτραν, καὶ ὕδατι καθεψῆσαι, ὥστε τὰ ὀστάρια καταλειφθῆναι. καὶ οὕτω μίξαντας μέλιτος ὀλίγον ἐγχυματίζειν κοτύλαις δυσὶ καθ' ἡμέρας μέχρι ἡμερῶν τριῶν, καὶ κωλῆνα χοίρειον καθεψήσαντας τὸ αὐτὸ ποιεῖν, ἢ ἀλέκτορα λευκὸν ὡσαύτως. καὶ ταῦτα μὲν τοῖς πρὸ ἡμῶν ἐγράφη. ἡμεῖς δὲ ἐχρησάμεθα καὶ τούτοις. τιθύμαλλον λεπτὸν ἕψοντες ἐν ὕδατι, ἢ πευκέδανον, ἢ ἀψίνθιον, ἢ κενταύριον τὸ λεπτόν, ἢ ἀριστολοχείας τὴν ῥίζαν ὡσαύτως ἑψήσαντες, ἢ σικύου ἀγρίου τὴν ῥίζαν μετὰ νίτρου, καθὼς ἔμπροσθεν γέγραπται, ἢ κολοκυνθίδος αἰγυπτίας τὸ σπέρμα πεφρυγμένον σὺν τῇ ἐντεριώνῃ ὠμῇ. ἔστω δὲ τὸ πλῆθος τοῦ ὕδατος ἐν αὐτοῖς κοτύλαι δύο, καὶ καθ' ἡμέραν ἐγχυματιζέσθω διὰ τοῦ στόματος μέχρι ἡμερῶν ἑπτά. ἄριστον δὲ τοῦτο τὸ σίκυον τὸ ἄγριον μετὰ τοῦ νίτρου.

Λιτὸς ἐγχυματισμός.

Οἴνου χρηστοῦ, ξε. α̅, ἐλαίου χρηστοῦ γο̅ ἕξ, μέλιτος καλοῦ γο̅ ἕξ, ὠὰ ἕξ, ὕδατος τὸ ἀρκοῦν.

Θερμαντικὸς ἐγχυματισμός.

Οἴνου χρηστοῦ ξε. α̅, πεπέρεως γο̅ α̅, πηγάνου χλωροῦ γο̅ α̅, ἐλαίου, τραγακάνθης, μέλιτος ἀνὰ γο̅ ἕξ, ὠὰ ἕξ.

Ἐγχυματισμὸς διὰ χυλῶν.

Πτισάνης, τήλεως ἀνὰ ξε. α̅, σεύτλων δεσμήν, ἰσχάδων, ἐλαίου, γάλακτος ἀνὰ λίτραν δ̅, πηγάνου δεσμήν.

Ἐγχυματισμὸς ἀρωματικός.

Ὑσσώπου, πετροσελίνου, κρόκου, πεπέρεως λευκοῦ, λιβανωτοῦ, πεπέρεως κοινοῦ, σμύρνης ἀνὰ γο̅ α̅, κόστου, τραγακάνθης τὸ ἀρκοῦν.

Ἐγχυματισμὸς καλοκαιρινός.

Κρόκου ὀξάγια δύο, τραγακάνθης, ὑσσώπου, σαμψύχου, σμύρνης, λιβάνου, σάχαρος ἀνὰ γο̅ α̅, ταῦτα ἐμβρέξας ἐν ῥοδοστάγματι, πότιζε τρίτον.

Ἐγχυματισμὸς ὑπὲρ χλόης.

Οἴνου ἰταλικοῦ ξε. γ̅, ἐλαίου ξε. γ̅, μέλιτος ἰταλικοῦ ξε. α̅, ὠὰ ιβ̅, πεπέρεως γο̅ α̅.

Σύνθεσις

Ἄλλο.

Λαβὼν ἀρσενικὸν σχιστὸν, καὶ ἀσβέστου ἀβρόχου τὸ ἴσον, ἔμβαλλε εἰς γάστρον, καὶ ποιήσας ζύμην, ἀνάτριβε τὸν τόπον, καὶ ὑγιάσεις. ἄριστον δὲ καὶ τὸ πρότερον τρυπήσαντα τοῦτο, ἐλλέβορον ἐντιθέναι.

ἹΕΡΟΚΛῈΟΥΣ

περὶ σύριγγος.

ΚΕΦΆΛ. ΡΚΖ.

Ἐὰν ἐν ταῖς συνωμίαις ἢ τοιοῦτο πάθος, ἢ ἐν ἄλλῳ τινὶ τόπῳ διελὼν τὸ πεπονθὸς μέρος, πρόσκαυσον, καὶ θεράπευε διὰ φαρμάκων, τῶν διὰ τῆς ἀσβέστου συγκειμένων ἕως ἡ ἐσχάρα ἐκπέσῃ. τῆς γὰρ κακίας ἐκπεσούσης ἀναπληροῦται κατὰ βραχύ. εἰ δὲ ἐπιτείνοι τὸ πάθος, ὀρθοῖς καυτηρίοις χρῶ, καὶ θεράπευε ὁμοίως φαρμάκῳ συντηκῷ ἕως ὑγιασθῇ.

ἌΛΛΟ ἹΠΠΟΚΡΆΤΟΥΣ

Ὅταν ἵππος συριγγιᾷ, χαλκάνθην ὄξει δριμυτάτῳ προσμίξας, καὶ ἀναξυράνας τὸν τόπον ἐπίπασσε, ἢ σικυὸν ἄγριον τρίψας λίαν καὶ τιθυμάλλου ὀπῷ συμφυράσας ἐντίθει.

ἌΛΛΟ ἈΨΎΡΤΟΥ

Ἰοῦ ξυστοῦ, χαλκοῦ κεκαυμένου, μίσυος, κηκῖδος ὀμφακίνου ἀνὰ οὐγγιῶν τεσσάρων, κόμμεως γο̄ η̄, πάντα ἐν ταὐτῷ μίξας χρῶ.

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ἘΓχυματισμῶν σκευασίας προοίμιον, ἐν ᾧ καὶ περὶ ληθαργικῶν.

Δέσποτα κέλερ τῆς συναφείας ἀπαιτούσης τὴν τῶν φαρμάκων βοήθειαν, ἐπιδείξομέν σοι ὅσα τε αὐτὸν καὶ παρὰ τοῖς ἄλλοις ἐπειράθημεν βοηθήματα τοῖς ἵπποις, ἃ γράφοντες, ἀναφέρομεν ἐκείνοις τὴν χάριν, καθότι παρ' αὐτῶν ἐλάβομεν τὴν ἀρχὴν, καὶ ὅτι ὑπὲρ ταῦτα ἔγνωμεν. εἰ δ' ἔτι ἐκεῖνοι παρέλιπον, ἡμεῖς ἀξιοπιστότερον παραδώσομεν. λέγω δὴ πρῶτον περὶ καθαρτικῶν ἐγχυματισμῶν,

σκυλάκιον

πρια ἐκκομίζειν, τήν τε κύστιν θλίβειν προσηνῶς ἵνα οὐρήσῃ. οὐδὲ γὰρ ὥς λέγουσι στρέφεται ἡ φύσα, ἀλλὰ ὁ πόρος ἀποστενοῦται. ἐγχυμάτιζε οὖν, λαβὼν κράμβης χυλὸν, ἐλαίου κοτύλην μίαν, σελίνου κύαθον ἕνα, καὶ ἑψῶν μετὰ οἴνου κοτύλης μιᾶς. σύγκρινε δὲ οἴνῳ, καὶ ἐλαίῳ θερμῷ, καὶ περὶ τὴν στάσιν αὐτὴν ἄγκαζε, κλύζε τε καὶ διὰ τῆς ἕδρας οἰνελαίῳ θερμῷ, καὶ περιπάτει τούτῳ ἐν τόπῳ ἀνωφερεῖ καὶ κατωφερεῖ, ὡς ἂν τὰ πνεύματα λαμβάνωσιν ὑποχώρησιν. ἐὰν γὰρ ἅπαξ γένηται ὑποχώρησις, ἐλαφρυνθήσεται τοῦ ὄγκου. εἶτα λαβὼν ἄχυρα ἐν σάκκῳ καὶ καταβρέξας ὕδατι θερμῷ, ὑπόδησον ὑπὸ τὰς λαγόνας, ἀναθερμαίνει γὰρ καὶ ἀναιρεῖ τὸ πάθος. δίδου δὲ καὶ φαγεῖν ἐλειποθυμήσας βρῶμον, ἢ χλωρὸν χόρτον, ἢ τὸν ξηρὸν ῥαίνων ὕδατι, πότιζέ τε ἱκανῶς. σημεῖα δὲ ἔσται τοῦ μὲν σωζομένου. ὦτα ἀνειμένα, πνοὴ συντεταμένη, καὶ θερμὴ, καὶ γαστρὸς ὑποχώρησις. τῷ δὲ μὴ σωζομένῳ, καυλὸς προπεπτωκὼς, ἱδρὼς ἐν ταῖς λαγόσι ψυχρός, πνεῦμα ἀραιὸν, σκέλη τὰ ἐμπρόσθια ἀποτεταμένα καὶ ψυχρὰ, τράχηλος πεπηγὼς, καὶ μυκτὴρ ψυχρός.

Ἄλλο εἰς τὸ αὐτό.

Τοὺς ἐλεώδεις, χρὴ κλύζειν διὰ σεύτλων ἀφεψήματος, καὶ νίτρου βδελλίου τετριμμένου, λούειν τε καὶ σκεπάζειν ἐπιβλήμασι, καὶ καίειν πῦρ πλησίον. τροφὴν δὲ διδόναι μάλιστα μὲν, γράστιν ἢ χόρτον ἁπαλώτατον. ἐὰν δὲ μὴ ἀποσκευάσηται τὰ ἐνοχλοῦντα περιττώματα, τὴν χεῖρα ποιήσας λιπαρὰν, κάθες εἰς τὴν ἕδραν, καὶ ἐκκόμιζε αὐτά. ἐγχυμάτιζε δὲ καὶ σεύτλων σπέρματι μετὰ οἴνου καὶ ἐλαίου κοτυλῶν ἕξ. ἐὰν δὲ μὴ ἢ τοῦτο, ἀποξύσας τῶν ἐμπροσθίων ποδῶν τοὺς ὄνυχας, καὶ μετὰ οἴνου κοτυλῶν τριῶν τρίψας, διὰ τῶν μυκτήρων δίδου.

ΠΕΡΙ ΣΥΚΑΜΙΝΟΥ.

ΚΕΦΑΛ. ΡΚΖ.

Εἰ συκάμινον ἵππος ἔχῃ, λαβὼν ἀρσενικοῦ μέρη δ΄, ἀσβέστου μέρος ἕν, ἀμμωνιακοῦ μέρη β΄, ἁλὸς μέρος ἕν, μέλιτος τὸ ἀρκοῦν, ἅμα τοῖς προγεγραμμένοις τρίψας, καὶ ποιήσας γλοιώδη σύστασιν, ἕψε ἐπὶ θερμῆς σποδιᾶς κινῶν ἕως μιλτῶδες γένηται τῇ χροιᾷ. τούτῳ χρῶ χλιαρῷ.

νοσῆσαι, ἢ λιμῶξαι χρῆσθαι τῇ
ἀγωγῇ ταύτῃ.

ΚΕΦΆΛ. ΡΚΔ.

ΣΕλίνου σπέρματος ξε. α΄, δραχμὰς γ΄ λινοσπέρμου, τήλεως ξε. β΄, ὀρόβου λίτρας γ΄, πάνακος ῥίζης, ἴρεως ἰλλυρικῆς, βράθυος ἀνὰ γο΄ ἕξ, ἀξουγγίου λίτρας ἕξ, οἴνῳ παλαιῷ ἀναλάμβανε, καὶ ποιῶν ἀρτίσκους ξήραινε ἐν σκιᾷ, καὶ δίδου καρύου βασιλικοῦ τὸ μέγεθος, ὅ ἐστι δραχμῆς ἕβδομον, σὺν μέλιτος οὐγγίαις τρισί. λέαινε δὲ σὺν οἴνου παλαιοῦ ξε. ἑνί, μὴ ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί. ποίει δὲ καὶ κυνὸς κεφαλή, ὑπὸ κεφαλὴν καπνιζομένην.

ΘΕΟΜΝΉΣΤΟΥ ΠΡΌΣ
παγοπληξίαν θεραπεία.

ΚΕΦΑΛ. ΡΚΕ.

ΧΕιμῶνος ὥρα πάγοι λυποῦσι περὶ τὰς ὁδοιπορίας, ἵππους τε καὶ τὰ λοιπὰ τῶν ὑποζυγίων ὡς ἂν ἔτυχε, παῖδες δὲ ἰατρῶν τὸ πάθος ἐκάλεσαν παγοπληξίαν. οἰδεῖ οὖν, καὶ διαπίμπραται πυρούμενα τὰ σφυρὰ σὺν ταῖς ὁπλαῖς. χρὴ οὖν ἀποθεραπεύειν αὐτὰ τῷδε τῷ τρόπῳ. ὑδρελαίῳ θερμῷ καταντλεῖν πρῶτον εἴς τι σκῦφος βαλόντα τὸ ὑδρέλαιον θερμόν. εἶτα ἀπομάσσειν σκληροῖς ῥάκεσιν, ἐπιμελῶς περιδεσμῶν κειρίαις τοὺς τόπους. κἂν μὲν ὦσι διωδηκότε σφόδρα καταχίζειν. εἶτα ἄλευρα κρίθινα ἑψηθέντα ἐν ὄξει δριμυτάτῳ καταπλάσσειν, ἕως οὗ τὸ οἴδημα, καὶ ὁ τῶν ποδῶν βρασμὸς παύσηται. ἀμεληθέντα γὰρ τὰ ζῷα πολλάκις ἄχρηστα γίνεται.

ΠΕΡῚ ΕἸΛΕΏΔΟΥΣ.

ΚΕΦΆΛ. ΡΚϚ.

ΕἸλεῶδες γίνεται ὅταν εἰς κόρον ἐμπλησθῇ ζῷον, καὶ μὴ πέψῃ, γίνεται δὲ ἐν τῷ κώλῳ ὥσπερ λίθος, καὶ ἔστι κάκιστον τὸ πάθος. ῥίπτει ἑαυτὸν καὶ διεγείρεται πολλά, καὶ περιπατεῖ, καὶ πάλιν ῥίπτει ἑαυτόν, καὶ συστρέφει ἐπὶ τὴν ῥάχιν καὶ τὰς λαγόνας, στενάζει τε διὰ τὴν σύστασιν, τῷ γοῦν τοιούτῳ δεῖ βοηθεῖν οὕτως. ἐναλείφειν τὴν χεῖρα, καὶ καθιέναι εἰς τὴν ἕδραν, καὶ τὰ παρακείμενα κό-

πρια

ζας ὅσον κοτύλην, καὶ ἅλας τρίψας σὺν ὀριγάνῳ, ἀνάτριβε τὸ στόμα, καὶ ἔασον ἀπεξέριλωαι. εἶτα ἔγκλυσον ὕδατι ψυχρῷ. φαγεῖν δὲ μὴ δῷς, ἕως ὥρας ἕκτης.

ΠΕΡΙ ΚΥΣΤΕΩΣ
μετὰ κινήσεως.
ΚΕΦΑΛ. ΡΚΑ.

Ἐὰν κύστις ἵππου μεταχωρήσῃ ἀπὸ τὴν ἕδραν, καὶ οὐ δύναται οὐρεῖν, καὶ τὰ ἰσχία ἕλκῃ, ἐφέλκῃ δὲ καὶ τὰς ὁπλάς, τούτου οὐκ ἔστιν ἴασις. ἐὰν δὲ κύστις γένηται ὑπὸ τὴν ἕδραν, ἢ ἀλλαχῆ που τοῦ σώματος, διαίρειν χρὴ τὸ ἢ τὸν βόθρον), καταλαβὼν σαρκολαβίδι καὶ διαγκυλῶν ἔκτεμνε ὅπως ὡς καθαρώτατον ποιήσῃς. ὅταν δὲ ἐκτέμῃς, λαβὼν ἅλας καὶ ἔλαιον, καὶ ἐπιπλάσας, κατάδησον. τῇ δὲ ὑστεραίᾳ ὕδατι θερμῷ καταύτλησον, καὶ τὸ αἷμα περικλύσας, θεράπευε διὰ λυκίῳ καὶ μότον ἐρίου πιναρὸν μαλακόν, οἴνῳ ἐπιβρέχων ἐπιτίθει, καὶ τοῦτο ποίει δὶς τῆς ἡμέρας.

ΠΕΡΙ ῬΑΓΑΔΩΝ.
ΚΕΦΑΛ. ΡΚΒ.

Αἱ ῥαγάδες γίνονται ὀπίσω τῶν πτερνῶν, γίνονται δὲ ἐκ περιτασέων, ἢ διὰ ἅλματος, ἃς θεραπεύειν δεῖ οὕτως. λαβὼν στέατος μοσχείου λίτραν μίαν, ῥοδίνου γο̄ ἕξ, ταῦτα ἑψήσας ὁμοῦ, καὶ προσβαλὼν ψιμμυθίου ὀλίγον, χρῶ ἐπὶ τῶν τοιούτων τόπων.

ΠΡΟΣ ΤΟ ΠΟΙΗΣΑΙ
ἵππῳ προβολήν.
ΚΕΦΑΛ. ΡΚΓ.

Ἐὰν μὴ ἔχῃ προβολὴν ἵππος χωλαίνῃ, καὶ κάτω νεύῃ, καὶ νύσσηται ἐκ τοῦ ὄνυχος, ποίησον τοῦτο. λαβὼν τὸν ὄνυχα, διονύχισον αὐτόν, καὶ ὑπόξυσον ἕως τοῦ ζῶντος, καὶ μὴ φοβηθεὶς ὑπὸ τοῦ ἐπονυχισμοῦ. ὁ γὰρ σίδηρος τρέφει τὸν ὄνυχα. εἶτα λαβὼν σύκων λίτραν μίαν, κηροῦ γο̄ ἕξ, ταῦτα ὁμοῦ κόψας καὶ ἐπιδήσας ἡμέραις τρισί, μὴ λύσῃς. εἶτα πυρίᾳ χρῶ δι' οἰνελαίου, καὶ οὕτω προβολὴ ἐν τάχει γενήσεται.

μὴν μίαν, ταῦτα ἐν τῷ αὐτῷ κόπτε, καὶ ποίει λεπτὰ καὶ λαβὼν πίσσης κοτύλας τέσσαρας, ἐλαίου ξε. δύο, ὄξους δριμέος κοτύλην. ταῦτα μίξας ἐν ταυτῷ, βάλλε τοῦ σεσησασμένου φαρμάκου, ὅσον ὀξύφαβον. εἶτα ἔμβαλλε εἰς τὸ ὄξος, καὶ τὸ ἔλαιον, καὶ χλίαινε αὐτὸ, καὶ ἐνάλειφε, καὶ στηκέτω ἐν μαλακῷ καὶ σκεπανῷ τόπῳ, καὶ ὅταν τρίτον, ἢ τέταρτον τοῦτο ποιήσας, ἐκλυκονία, καὶ ὕδατι θερμῷ. κἂν μὲν ἱκανῶς ἔχει, οἴνῳ, καὶ ἐλαίῳ χλιαρῷ καταφύσησον. εἰ δὲ μὴ, τῷ φαρμάκῳ κατάχρισον, καὶ τὴν λοιπὴν θεραπείαν πρόσφερε.

ΠΕΡῚ ΣΤΑΦΥΛΊΝΟΥ. ΚΕΦΆΛ. ΡΙΘ.

Ἔστιν ὁ σταφυλῖνος ὅμοιος ταῖς σπονδύλαις ταῖς κατ' οἰκίαν, μείζων δέ. οὗτος γίνεται ἐν τοῖς ἀγροῖς πανταχῆ, καὶ πορεύεται ἐπηρκὼς τὴν οὐράν. τοῦτον αὖτε βοσκόμενος ὁ ἵππος, αὖτε ἐνεχθέντα ἐν τῷ χόρτῳ, περιχανὼν συμμασάξῃ. ἐκβάλλει μὲν εὐθύς. ἡ γὰρ πνοὴ δριμεῖα, καὶ οἱ ἰχῶρες ὑπὲρ ἔχεως, ἐξοιδεῖ δὲ συνόλως οἰδήματα παμμεγέθη. πρῶτον μὲν οὖν ἔγχει τὸ χῦμα, ὃ καὶ τοῖς ἄλλοις ὡσαύτως, ἔπειτα ὕδατι καταύτλει θερμῷ πολλῷ, καὶ πυρία, καὶ τρῖψον. εἶτα βαλὼν τρύγα ὀξυρὰν, καὶ λίνον κόψας λεπτὸν, καὶ ἐπεμβαλὼν εἰς τὴν τρύγα, ἀνάζεσον εἰς ἓν μεθ' ὕδατος, καὶ κατάχριε ὅλον, ὡς δέχεται τὸ φάρμακον, καὶ στηκέτω ἐν θερμῷ καὶ μαλακῷ τόπῳ, ἱμάτιον περιβεβλημένος. καὶ πῦρ παρακαιέσθω διατέλους. ἔστω δέ σοι τὸ κατάχρισμα πρωῒ ὥσπερ ὄστρακον. εἶτα τῇ τρίτῃ πάλιν ἔγκλυζον πολλῷ ὕδατι θερμῷ, καὶ πυρία, καὶ πάλιν ἐν σκέπῃ τρῖψον. εἶτα κατάχρισον τῷ νίτρῳ, μὴ καταπλαγῇς δὲ ἐὰν τὰ χείλη μάλιστα, καὶ οἱ ὀφθαλμοὶ οἰδῶσι. συμβαίνει γὰρ τοῦτο, ἀλλὰ θεραπεύεται προσεχῶς καὶ ὑγιάζεται.

ΠΕΡῚ ἈΣΙΤΊΑΣ ἽΠΠΩΝ ΚΑῚ ὙΠΟΖΥΓΊΩΝ. ΚΕΦΆΛ. ΡΚ.

Ἵππος ἐὰν μὴ ἐσθίῃ πάθει μὴ συνεχόμενος, ἢ καὶ ἄλλο τι τῶν ὑποζυγίων, σημεῖον ἔστω. ἔχει μετέωρον τὴν ζέαν, καὶ τὸ στόμα θερμὸν, καὶ φλέγματος μεστόν. θεραπεία δὲ τούτου. αἷμα ἄφελε ἀπὸ τῆς τρίτης ζίας

καιρὸν τοῦ ἀγῶνος ὑφίσανται. θεραπεύσεις δὲ αἷμα λαμβάνων, ἐκ τοῦ περιστεφανίδος, αὐτὴν τε ὄξει καὶ ἅλατι καταντλῶν, καὶ ἀνατρίβων. εἶτα οἰνέλαιον ἐρίῳ ἀναλαβὼν, ἐπὶ τὴν ἁρμονίαν ἐπίθες τοῦ ὄνυχος, συνεχέστερον ὕδατι θερμῷ καταντλῶν, καὶ τὴν αὐτὴν θεραπείαν προσάγων ἐπὶ ἡμέραις δώδεκα. εἰ δὲ μὴ ὠφελήσῃ, τό τε κατεπειγούσης ἀνάγκης, τὸν ὄνυχα κάτωθεν τῇ σμίλῃ ὑπότεμνε, ὡσεὶ διπλοῦ νομίσματος μέγεθος. εἰ δὲ καὶ πλέον εἴη τὸ κρεμάμενον, τέμνε μέχρι τῆς ζώσης σαρκὸς, φειδόμενος μὴ ἅψεσθαι τοῦ ὀστέου. εἰ δὲ πολὺ ἀπορρεύσῃ αἷμα, ἔλαιον σὺν ὄξει καὶ ἅλατι λεπτῷ, καὶ κόπρῳ τοῦ αὐτοῦ ἵππου μίξας, τὰς ἁρμονίας σὺν τῷ ὄνυχι μετὰ ὀθόνης καταδέσμει. μετὰ δὲ τρίτην ἡμέραν θερμῷ καταύτλει. εἰ δὲ ὑπερσάρκωσις γένηται, συντηκτικοῖς, ἢ τραυματικοῖς βοηθήμασι χρῶ. συνεχέστερον δὲ τὸν ὄνυχα σμιλίῳ καθαίρων περίτεμνε, ὥστε αὐτὸν ἐξ ἴσου πανταχόθεν αὔξεσθαι, καὶ τῷ μαλάγματι τῷ ἀνέφθῳ χρῶ, ἠρέμα προσάπτων. εἰ δὲ μὴ δ' οὕτως θεραπευθῇ, ἀνάγκη καίειν αὐτόν.

Στρέμματος πρόγνωσις καὶ ἴασις.

Πρῶτον τῷ ποδὶ ἀκροβαμονεῖ, καὶ τὸ μετακύνιον ἔχει πηδῶν, καὶ ἐφέλκει τὸν πόδα. ἄφελε οὖν ἀπὸ τοῦ στρέμματος τοῦ ὄνυχος αἵματος κοτύλας δύο, καὶ φυσήσας οἴνῳ καὶ ἐλαίῳ τρίψον, καὶ τὰ δέοντα δίδου, καὶ λαβὼν ἔριον, πυρία, περιχέων θερμῷ. ὅταν δὲ ἱκανῶς ἔχῃ, ἀνάτριβε τὸ στρέμμα, καὶ λαβὼν ἔριον πιναρὸν, φυράσας οἴνῳ καὶ ἐλαίῳ, καὶ ἁλὶ λεπτῷ, περίθες καὶ κατάδησον τελαμῶνι, καὶ περίδησον κηρίαις, καὶ σφίγξον ἐλαφρῶς, ἵνα μὴ ποιήσῃς φλεγμονὴν, ἤτι τῶν φλεβίων ἀποτέμνῃς, καὶ πρόσφερες ἑκάστης ἡμέρας, πλὴν τῆς τοῦ αἵματος ἀφαιρέσεως, ἐὰν μὴ οὕτως ὑγιὴς γένηται. εἰ δὲ μὴ, καταφύσησον αὐτοῦ τὸ μετακύνιον. καὶ θεράπευε ὡς καὶ τὰ λοιπά.

ΠΕΡΙ' ΛΕ'ΠΡΑΣ Ι'ΑΣΕΩΣ.

ΚΕΦΑ'Λ. ΡΙΗ.

Λαβὼν κονίαν πολλὴν δριμεῖαν, μίξας ὕδατι θερμῷ πλῦνον, καὶ ἔασον ἀναξηρανθῆναι. εἶτα λαβὼν θείου ἀπύρου μνᾶν, χαλκάνθης ἴσον, ὀποῦ δραχ-

καιρίαν κεχιασμένην, καὶ καταβρέχειν τῷ ὀξελαίῳ. ἀναδήσαντα δὲ τὸν ὑγιᾶ πόδα πρὸς τὸ γόνυ, ἐᾶσαι τῷ πεπληγότι ποδὶ ἐπιστᾶθῆναι ὥρας τρεῖς, καὶ λύσαντα καταντλεῖν ὕδατι θερμῷ, καὶ κηρωτῇ ἀνατρίβειν, καὶ καταπλάσσειν βολβοῖς, καὶ ἅλσι τετριμμένοις, καὶ τοῦτο ποιεῖν μέχρις ἡμερῶν τριῶν, καὶ τότε χρῆσθαι μαλάγματι τῷ πρὸς τὰ στρέμματα συγκειμένῳ, καὶ τὸ ξηρὸν δὲ ὠφέλιμον αὐτοῖς. ὅταν δὲ γένηται ὑπεραύξησις ἐν τοῖς ποσὶ τῶν ὀνύχων, οὐ δεῖ ἀφαιρεῖν ὀνυχίζοντα πολὺ, ἀλλὰ διαλείποντα, πάλιν τὸ αὐτὸ ποιεῖν. εἰ δὲ μήγε, ἀδικεῖται ἡ ἔκφυσις τοῦ ποδὸς τῆς ὁπλῆς. Βαδίζων γὰρ ἀνακλᾷ εἰς τὰ ὀπίσω τὴν ὁπλὴν, ξενιζόμενος τὴν ἀφαίρεσιν. ἄριστος δὲ τόπος ἐστὶν εἰς τὸ ἄγειν ἐπὶ τὸ κύλισμα ὅτα μώνυχας ὁπλὰς ἔχει ὁ ἀπόκροτος, καὶ γεώδης, ὁ ὁμαλὸς καὶ μὴ λίθους ἔχων, ἢ ῥαχώματα, ἄθετοι δὲ οἱ βαθύγειοι, καὶ οἱ χορτώδεις, ἢ κοπρώδεις. οὗτοι γὰρ οὐ ποιοῦσιν ἄλυτον τὸν ἵππον, οὐ δὲ διαφορὰν τοῦ σώματος. ὁ δὲ ἀπόκροτος καὶ στερεὸς, ὠφέλιμος αὐτοῖς.

ΕΥ̓ΜΉΛΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Τρύγα ὀξυρὰν λαβὼν μετὰ θερμοσποδιᾶς, καὶ ἀξουγγίου παλαιοῦ, μίξας ἀμφότερα, καὶ ἐπιπλάσας ἀπόθου ἐπιβάλλων καὶ ᾠὸν ἐν, καὶ ἐν καιρῷ χρῶ.

ἹΠΠΟΚΡΆΤΟΥΣ

περὶ στρέμματος.

Τὰ τοῦ στρέμματος σημεῖα ἐστὶ τάδε. οὐ καταμένει ὁ ποὺς ἐπὶ τῇ συμβολῇ τῇ χοινικίδι καλλουμένῃ, ἀλλ' ὑποφεύγει, καὶ μετέωρα γίνεται, τὰ κατ' ὄνυχα. θεράπευε οὖν, περιχαράξας τὴν ὁπλὴν, καὶ περιδήσας πιτλὴν καὶ σπόγγον μετ' ὄξους ἐπὶ ἡμέραις ἑπτά. ἐὰν δὲ μὴ ἀποκαταστῇ, λαβὼν βουκέρως ὅ ἐστι τήλεως χοίνικα, βρέξον ἐν οἴνῳ ἐπὶ ἡμέραις τρισίν. εἶτα ἀποχέων τὸν οἶνον, τὸ βούκερον κόψον, καὶ βαλὼν εἰς χύτραν μετὰ μέλιτος ἕψει, καὶ οὕτως κατάπλασσε ἐπὶ ἡμέραις ἕξ. τὰ δὲ περὶ τὰ στρέμματα, χρὴ καίειν καγκελοειδῶς. Ἄλλο.

Τὸ στρέμμα ἤτοι χάλασμα, οὕτω χρὴ καταμανθάνειν. σφίγγε ταῖς χερσὶ τὸν ὄνυχα, καὶ ἐὰν σφοδρῶς ἀλγῇ, διέστραπται τὸν ὄνυχα. τοῦτο δὲ συνεχῶς οἱ ἐν τοῖς ἅρμασιν ἵπποι κατὰ τὸν καιρὸν

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ἈΣΚΉΣΕΩΣ ἽΠΠΟΥ στρατιωτικοῦ, καὶ περὶ πωλοδαμνίας.

ΚΕΦΆΛ. ΡΙϚ.

Ἄψυρτος γετουλλίῳ σεβήρῳ χαίρειν. ὄντι σοι ἱππεῦ κρατίστῳ, ἀναγκαῖον εἰδέναι περὶ πωλοδαμνίας. διετῆ γεγονότα τὸν πῶλον, ἐκ τῆς ἀγέλης ἕλκουσι, καὶ δαμάζουσιν. ἄριστον μὲν καθ' ἡμέραν, εἰ δὲ μὴ παρὰ μίαν, ἀναπεισθῇ δὲ γινόμενον, καὶ χειροήθη τῷ ἀναβάτῃ, διδάσκουσι τότε γυμνάζοντες πραέσι γυμνασίοις, ἐκ προαγωγῆς ἐπὶ τὸ πλεῖον μέχρι τοῦ τριετοῦς ἡλικίας. ἀπὸ δὲ ταύτης, δυνατώτερον χρῶνται γυμνάζοντες, καὶ πλέον προστιθέντες τῷ χρόνῳ, μέχρις οὗ αὐτὸς γένηται τῆς ἐξαετίας. τότε δὲ μὴ διαλείπειν τῶν γυμνασίων καὶ πόνων, ἐπισταμένους ἐσόμενον πολεμιστήριον ἵππον, καὶ ἐν τοῖς ἔργοις τοῦ πολέμου δυνατὸν ἀντέχειν πολλὼ χρόνον. γυμναζομένῳ δὲ τῷ πώλῳ, ἔστω ὁ τόπος μὴ λίαν βαθύγειος. μάλιστα δὲ ἐν ἀρχῇ τῆς ἡλικίας. ῥαδίως γὰρ συμβαίνει ἐν ταῖς κνήμαις ἀποστῆναι τὰς περόνας, καὶ οὕτως τὰ μεσοκνήμια χθαμαλὰ γενέσθαι. τούτου δὲ συμβάντος, χωλὸς ὑπάρξει ὁ ἵππος. οὐ συμφέρον δὲ ἁπαλόποδα ἵππον εἰς πόλεμον ἄγειν, καὶ πολεμεῖν μετ' αὐτοῦ. ἐν γὰρ ταῖς συμπλοκαῖς, οὐ ῥαδίως οὐδὲ ἀπὸ τῶν πολεμίων ἀποφεύγει διὰ τὸ πονεῖν τοὺς πόδας, καὶ οὕτω συμβαίνει τὸν ἀναβάτην μὴ σώζεσθαι. ὡσαύτως δὲ καὶ οἱ χαλεπαίνοντες ἵπποι πρὸς ἑτέρους κακὸν παρέχονται.

ΠΕΡῚ ΣΤΡΈΜΜΑΤΟΣ ἘΝ ποδὶ τῶν μονύχων, καὶ αὐξήσεως ὁπλῆς, καὶ τόπων πρὸς τὸ κοιλίας ἐπιτήδειον.

ΚΕΦΆΛ. ΡΙΖ.

Στρέμματος γενομένου ἐν τῷ μεσοκυνίῳ, ἢ κυνόπλῳ λεγομένῳ, χρῆσθαι δεῖ βοηθήματι τούτῳ. πρῶτον ἀφαιρεῖν αἷμα ἐκ τοῦ μεσοκυνίου. τὸ δὲ κυνόπλον ὃ στεφάνην λέγουσι μὴ κεντεῖν, ὑπόκειται γὰρ τῷ ἀγγείῳ σύνδεσμος νευρώδης. εἶτα κειρίαν λινῆν βρέξαντα ἐν ὄξει καὶ ἐλαίῳ, περιδεσμεῖν τὸ μεσοκύνιον, καὶ τὸ κυνόπλον σφίγγοντα ὑπορρίπτειν τῇ ὁπλῇ τὴν

κειρίαν

οις αὐτὸν ἔχουσι μετὰ τῶν ἰσχίων καὶ τῆς οὐρᾶς, οὐκ εἰσὶν ἀγαθοί ἀλλὰ καὶ λέγουσι παρατετηρῆσθαι ἐν αὐτοῖς, τὸ μὴ πολεμεῖν δι' αὐτῶν, ῥᾳδίως γὰρ ἀπ' αὐτῶν ὁ ἀναβάτης ἀπόλλυται, ἢ εἴς τι χαλεπὸν ἐμπίπτει. ὅσα δὲ γεννᾶται ἐν τοῖς μώνυχας ὁπλὰς ἔχουσι σιμὰ, καὶ λαγώδοντα, ἢ ὀξυώδοντα, οὐ δεῖ τρέφειν, ἀλλὰ νεογνὰ ὄντα ἀποῤῥίπτειν, καὶ μετάγειν ἀπὸ τῆς ἀγέλης, ἐπισταμένους ὅτι εἰσὶ, παραχαράγματα τῆς φύσεως, καὶ τέρατα, μάλιστα δὲ γίνεται ἐν τοῖς ἑτερογόνοις. ὅσοι δὲ ἐν τοῖς μεσοκυνίοις τὰ ὀστὰ ὀρθὰ ἔχουσιν, ἄγαν κακοπερίπατοί εἰσι, καὶ τὸν ἀναβάτην φέροντες συγκόπτουσι. λέγονται δὲ ἐλαφόποδες, καὶ οἱ ἐν τῷ αὐτῷ τόπῳ ἔχοντες βραχέα τὰ ὀστὰ καὶ τὰ πεινὰ οἱ κυνοβάται λεγόμενοι, οὗτοι προφέρουσι τὰς ὁπλὰς εἰς τὸ ἐντὸς μέρος τῶν κυνοπόδων, ἢ σφυρῶν λεγομένων, καὶ ἕλκουσι τοὺς πόδας, καὶ χωλαίνουσιν ἐν αὐτοῖς. ἔνιοι δὲ καὶ παίουσιν αὐχερῶς τοῖς ὄνυξιν. ἀγαθοὶ δὲ καὶ οἱ τὰ γόνατα ὑγρὰ ἔχοντες, καὶ εὐκαμπῆ ἐν τῇ ἱππασίᾳ. εἰσὶ γὰρ ἀπταιστότεροι καὶ ἀκίνδυνοι τῷ ἀναβάτῃ ὑπάρχουσι. καὶ ἀκοπώτεροι δέ εἰσιν ἐν τοῖς ἔργοις τῶν σκληρὰ ἐχόντων, καὶ ὅμοια τοῖς ὀρθοκοίλοις, ἢ πασσάλοις λεγομένοις. καὶ οἱ τὰς λαγόνας δὲ ἔχοντες μεγάλας, εἰσὶν ἀσθενέστεροι τῇ δυνάμει, καὶ δυσειδεῖς. ἐν τούτοις δὲ ὁ ἀναβάτης ἀηδῶς ἔχει. πάντων δὲ κρείττονες οἱ τὴν ἔκφυσιν ἔχοντες τῆς συνωμίας ὑψηλοτέραν. οὐ μόνον γὰρ τοῖς ἀναβάταις εἰσὶν ἀσφαλεῖς, ἀλλὰ καὶ τοῖς ὤμοις ἰσχυρότατοι τῶν ἄλλων. τοὺς δὲ ὑπόπτας φύσει, καὶ ὑπερβόφους. ἄριστόν ἐστι μὴ κεκτῆσθαι, ἐπισταμένους ὅτι φέροντές τι τῶν φορτίων, ἐνίοτε εἰς τὸ ἀπολέσθαι ἔῤῥιψαν, καὶ τοῦτο μὲν ἧσσον κακόν. ῥᾳδίως δὲ σφήλαντες τὸν ἀναβάτην κακῶς διέθηκαν, καὶ τὸ ἱππικὸν μὲν γένος, πρόδηλον ἔχει τὴν ὑποψίαν, ὥστε τὸν καθήμενον ἔχεσθαι τῆς ἀσφαλείας. τὸ δὲ ὀνικὸν, καὶ ἑτερογόνον, αἰφνιδίως ἐκταρασσόμενον κίνδυνον ἐπιφέρει. Δεῖ ταῦτα ἔχειν τὸν ἵππον. μακρὸν τράχηλον, λακρὸν κορμὶν, καὶ μακροὺς πόδας, φαρδὺ στῆθος, φαρδέα ἀναπνευστικὰ, καὶ φαρδεῖς ἐρμοὺς, πλατὺν ἀντικέφαλον, πλατὺ μέτωπον, καὶ πλατέα νεφρὰ, κοντὰ νεφρὰ, κοντὰ κοντοπλεύρια, καὶ κοντοὺς δακτύλους.

μέχρι τῆς νουμηνίας. τούτου δὲ γενομένου οὐ συμβαίνει ψω-
ρίασις, καὶ τὰ λοιπὰ δὲ ἀρρωστήματα ἐκφεύγει.

ΠΕΡῚ ΕἼΔΟΥΣ ἽΠΠΩΝ ἈΦΟΡΙΜΟΊ.

ΚΕΦΆΛ. ΡΙΕ.

ΠΕΡῚ ἵππου εἴδους, πολλοῖς γέγραπται καλῶς,
ἄριστα δὲ πάντων σίμωνι, καὶ ξενοφῶντι ἀθη-
ναίοις ἀνδράσι. πωλοδαμνίας δὲ πέρι σὺν ἄλ-
λοις μόνῳ ξενοφῶντι. σπουδαίως οὖν ἔχοντί τινι
ἐν τῇ ἱπποτροφίᾳ, ἀναγκαῖον εἰδέναι καὶ τὰ γένη αὐτῶν. οἱ
πάρθοι μεγάλοι καὶ εὐμεγέθεις, θυμοειδεῖς τε καὶ εὐγενεῖς τὸ
εἶδος, τοῖς ποσὶ χρηστοὶ διαφερόντως. οἱ μῆδοι τῷ μεγέθει ὑπερ-
βάλλοντες. ἀρμένιοι δὲ καὶ καππάδοκες, τὸ παρθικὸν γένος
ἔχουσιν, εἰσὶ δὲ βαρυκέφαλοι μᾶλλον. οἱ σπάνιοι δὲ μεγά-
λοι τῇ ἕξει τοῦ σώματος, εὔρυθμοι, ὄρθιοι, εὐκέφαλοι, εὔσημοι, οὐκ
εὔισχιοι, ἰσχυροὶ ἐν ταῖς ὁδοιπορίαις, καὶ μὴ ἰσχναινόμενοι τῷ
σώματι. ἄδρομοι δὲ, καὶ ἀκέντητοι ἐν τῇ ἱπποστασίᾳ. εἰσὶ δὲ
καὶ εὐήθεις ἀπὸ τῆς γενέσεως ἄχρι τοῦ καταρτισμοῦ, τὸν λοιπὸν δὲ
χρόνον, πονηροὶ καὶ δῆκται. ἑλλαδικοὶ δὲ, εὔποδες, εὐμεγέ-
θεις, εὐκέφαλοι, ὄρθιοι τὴν προτομὴν καὶ εὔρυθμοι, οὐκ εὔισχιοι,
θυμοειδεῖς, καὶ δρομικοί. ἐν ὅλῃ δὲ τῇ ἑλλάδι, διαφέροντες οἱ
θετταλοί. οἱ ἠπειρωτικοὶ, πονηροὶ καὶ δῆκται. θρᾶκες δὲ αἰ-
σχροί, καὶ δυσειδεῖς, ξυλόσωμοι, κάτωμοι, κυρτοὶ τῇ ῥάχει, βλαι-
σοί, κακοπερίπατοι, ὡσαύτως δὲ καὶ ἐν τῷ δρόμῳ. κυρηναϊ-
κοὶ δὲ, εὐμεγέθεις, ἀνεσταλμένας τὰς λαγόνας, καὶ μικρὰς ἔχον-
τες, διὸ καὶ εἰσὶ δρομικοί, εὔποδες, μακρότεροι τῷ πνεύμα-
τι ἐν τῇ ἱππασίᾳ. ἴστριοι δὲ εὔποδες, εὐμεγέθεις, αἰσχροὶ τῷ
σώματι, καὶ τῇ ῥάχει ἄστομοι καὶ κοῖλοι, δρομικοὶ δέ. τὸ δὲ σαρμα-
τικὸν γένος, οὐκ ἀηδὲς, ἀλλ' εὔρυθμον ἐν ἰδίῳ γένει, καὶ δρο-
μικόν. ἁπλοῦν δὲ, εὐκέφαλον, εὐτράχηλον, εὐμέγεθες. ἀργο-
λικοὶ δὲ, εὔποδες, οὐκ εὔισχιοι δὲ, εὐκέφαλοι, τῇ ῥάχει ἄστομοι, καὶ
κοῖλοι, εὐμεγέθεις, καὶ βραχεῖς. σὺν δὲ ἀετογενεῖς τῶν ἵππων ἐν
τοῖς ὤμοις, καὶ τῷ κόκκῳ παραλαμβάνουσιν οἱ σαρμάται ὡς
ἀγαθούς. εἰσὶ δὲ καὶ δρομικοὶ παρ' αὐτοῖς, διὸ καὶ χρῶνται αὐ-
τοῖς, ἐν ταῖς καταδρομαῖς καὶ πολέμοις. ὅσοι δὲ ἐν τοῖς ὀπισθί-

πῶρος. θεραπεύεται δὲ οὕτως, κόνυζαν κόψαντας, καταπλάσσειν, ἢ κισσοῦ πέταλα ὡσαύτως τρίψαντας, ἢ τέφραν ἀμπελίνην ὄξει φυράσαντας τὸ αὐτὸ ποιεῖν, ἀγαθὸν μὲν καὶ τοῦτο. ἕτεροι δὲ κυπάρισσον κόψαντες μετὰ ὄξους χρῶνται, τινὲς δὲ ῥοιᾷ. ἡμεῖς δὲ ἐχρησάμεθα τούτῳ. ἅλας τρίψαντες μετὰ μέλιτος ὥστε εἶναι γλοιώδες, καὶ ἐντέμνοντες τὸν πῶρον, ἐμπλάσσοντες εἰς ὀθόνην, ἐπιδεσμεύομεν δὶς τῆς ἡμέρας, προπυριῶντες ὕδατι θερμῷ. μάλιστα δὲ συμβαίνει τοῦτο τοῖς ἐν ταῖς ἀγέλαις. γίνεται δὲ ὁ πῶρος μέγας, καὶ ἄμορφος ὁ πούς διὰ τὴν ἀθεραπευσίαν, καὶ περιπατεῖν οὐ δύναται, οὔτε ἀκολουθεῖν τοῖς ἄλλοις. ἕως δὲ οὐ βόσκεται, ἀλλ᾽ ἀδημονεῖ ἐπιζητῶν τὴν ἀγέλην, ῥίπτει τε ἑαυτόν, καὶ διεγείρεσθαι οὐ δύναται, διαφωνεῖ δὲ ῥᾳδίως. δεῖ δὲ τοὺς τοιούτους μὴ βόσκειν ἐν ἑλώδεσι τόποις, ἢ ἐν ὑδροῖς, ἀλλὰ μετάγειν ὅπου οὐκ ἔστιν ὑγρασία, ἀλλὰ μάλιστα κόνις λεπτή. καὶ εἴ τις δύναται μεθοδεύειν, θεραπεύσει τῷ ἁλὶ μετὰ τοῦ μέλιτος καταχρίων πτεροῖς, ἢ πίσσῃ ὡσαύτως μετὰ τοῦ ἅλατος.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΤΟΥ͂ ΠΩ͂Σ ΔΕΙ͂ ΚΑθαίρειν τοὺς ἐν ταῖς ἀγέλαις.

ΚΕΦΆΛ. ΡΙΔ.

Ἄψυρτος μάρκῳ χαίρειν. ἱπποτροφοῦντά σε βούλομαι εἰδέναι, ὅτι τοὺς ἐν ταῖς ἀγέλαις θεραπεύσομεν οὕτως. σικύου ἀγρίου ῥίζαν κόπτοντες εἰς λεπτά, καὶ ψύχοντες ἐν τῷ ἡλίῳ ἄχρις οὗ ξηρὰ γένηται, πάλιν τὸ αὐτὸ κόπτομεν ὡς λεπτόφακον γενέσθαι καὶ τοῦτο μίσγοντες νίτρου κεκομμένου τὸ ἴσον, καὶ τῷ ἁλὶ μίξαντες, δίδομεν φαγεῖν ἐκτὸς τῶν ἐγκύων. ταῖς δὲ ὑποπώλοις, δίδομεν, καθαρθήσεται γὰρ δι᾽ αὐτῆς, καὶ ὅτε τιθευόμενος πῶλος, μίγνυμεν δὲ τὸ ἅλας χάριν τοῦ πεισθῆναι τὸ ζῷον τὴν κάθαρσιν λαβεῖν. κάλλιον δὲ τοῦ ἁλὸς μιγνύειν πίτυρα τῆς πεντεκαιδεκάτης πρὸ ἡμέρας πέντε, τοῦτο τρὶς

μέχρι

λαβεῖν ὑπὸ συάγρου εἰς τὸ ἐντὸς μέρος τῆς ἀγκύλης ἐν τῇ ἰγνύϊ, ἢ τοῦ μηροῦ ἐντὸς, καὶ γίνεται τὸ ἕλκος ῥευματικὸν, καὶ ὀγκοῦται, τούτῳ προσφέρειν τὸ ψυχρὸν, καὶ θεραπεύειν τῷ διὰ τῆς χαλκάνθης, καταχρίοντα. ἢ κυνὸς κεφαλὴν ἐκτὸς τῆς γλώττης κατακαύσαντας καὶ τρίψαντας καταπλάσσειν.

Ἐὰν ποτὲ συμβῇ ἔνσιτον ὄντα τὸν ἵππον, καὶ πλήρη τροφῆς τρέχειν, πνιγμὸς ῥᾳδίως συμβαίνει. Βοηθεῖται δὲ ἐγχυματιζόμενος οἴνου λευκοῦ εὐώδους κοτύλῃ μετὰ νίτρου ὁλκῆς μιᾶς διὰ τῶν μυκτήρων. ἢ κυμίνου ὁλκῇ μιᾷ, τριοβόλου ἢ χαλβάνης τοῦ ἴσῳ τριφθείσης μετὰ οἴνου, ἢ δαφνίσι μετὰ τοῦ οἴνου. εἰς ψυχρὸν δὲ μὴ ἐμβιβάζειν, καὶ τὸ πόμα θερμὸν διδόναι, καὶ τρίψει χρῆσθαι ὅλου τοῦ σώματος διὰ ἐλαίου. κάλλιον δὲ παλαιοῦ.

ἈΨΎΡΤΟΥ ΠΡῸΣ ΤᾺ ἐν βουβῶνι σπάσματα.

ΚΕΦΆΛ. ΡΙΒ.

Ἐὰν ἐν τῷ βουβῶνι σπάσμα λάβῃ, ὅτε βουβὼν οἰδεῖ, καὶ περιπατῶν ὀδυνᾶται. ὁ δὲ τοιοῦτος ἡσυχαζέτω, καὶ θερμῷ πολλῷ πυριάσθω. τοὺς βουβῶνας, καὶ σπόγγοις ὁμοίως εἰς οἶνον θερμὸν βραχεῖσιν, ὡσαύτως πυριάσθω. ἄλειφε δὲ καὶ τοὺς τόπους, τρίψας ἐν ταυτῷ στέαρ αἴγειον, καὶ κηρωτὴν, καὶ νίτρον ὀπτὸν καὶ ὄξος.

ἈΨΎΡΤΟΥ

ΠΡῸΣ ΤᾺ ἘΠῚ ΤΗ͂Σ στεφάνης σκληρώματα, ἃ καλοῦνται πῶροι.

ΚΕΦΆΛ. ΡΙΓ.

Ἄψυρτος Ποσουμένῳ Λακὶ ἱππότῃ χαίρειν. ἔγραψάς μοι συμβεβηκέναι σου τῷ ἵππῳ ἐν τῷ ποδὶ τῷ ἐμπροσθίῳ, εἰς τὸ ἐντὸς μέρος τῆς ὁπλῆς, ἐν τῇ ἐκφύσει τῆς στεφάνης οἴδημα μέγα σκληρὸν, καὶ λίαν χωλαίνειν ὑπ' αὐτοῦ. γίνωσκε οὖν ὅτι συμβαίνει ἐκ τοῦ αὐτομάτου ἐν τοῖς ἐμπροσθίοις. τοῖς δὲ ὀπισθίοις οὐ ῥᾳδίως, ὃ λέγεται πῶρος

Ἄλλο περὶ ψύξεως.

Αἷμα χοίρειον θερμὸν ἐγχυμάτιζε μετὰ οἴνου.

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ΣΦΑΚΕΛΙΣΜΟΥ͂ ΚΑῚ ἘΠΙΛΗΨΊΑΣ.

ΚΕΦΆΛ. ΡΘ.

Ἄψυρτος Τιβερίῳ Κλαυδίῳ Ἡρακλείδῃ Κλαζομενίῳ χαίρειν. Βούλομαί σε εἰδέναι ὅτι ἐν τοῖς ἵπποις σφακελισμὸς γίνεται, οὗ σημεῖα τάδε. πίπτει ἐξαίφνης, καὶ τῶν ἄρθρων, ἃ μὲν ἀνίεται, ἃ δὲ συντείνεται, καὶ παλμὸς ὅλου τοῦ σώματος ἔσθ᾽ ὅτε δὲ καὶ ἀφρὸς περὶ τὸ σῶμα γίνεται. ἔστι δὲ τοῦτο ἐν ἀνθρώποις ἐπιληψία λεγόμενον. τούτῳ ἡμεῖς προσφέρομεν τὴν ζοσφλὼ, βρέχοντες τὸ νίτρον καὶ ποτίζοντες. ἁρμόζει δὲ τούτῳ καὶ ἡ κάθαρσις ἡ διὰ τοῦ σικύου, καὶ τοῦ νίτρου ἐν ἑπτὰ ἡμέραις, καὶ οὐ συμβήσεται συνεχῶς αὐτῷ. λέγεται δὲ χελώνης θαλασσίας αἵματος ἡμικοτύλιον, καὶ ὄξους τὸ αὐτὸ καὶ οἴνου τὸ ἴσον, ὀποῦ κυρηναϊκοῦ ὁλκὴν μίαν μίξαντας, ἐγχεῖν εἰς μυκτῆρας. ὠφέλιμον δὲ συγχρίεσθαι αὐτὸν τῷ νίτρῳ, καὶ ἐλαίῳ μετ᾽ ὄξους ἐν τρίψει ἱκανῇ.

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ΤΩ͂Ν κατ᾽ ὄνυχα πατούντων.

ΚΕΦΑΛ. ΡΙ.

Ὅσοι δέ εἰσι κατ᾽ ὄνυχα πατοῦντες, ἢ ἑτεροποδοῦντες φυσικῶς, ἢ ἑτερόχωλοι ἐξ αἰτίας, καὶ οἳ ἔχουσιν ἐν τοῖς ὀπισθίοις ἐγκλώμα τὰ μεσοκνήμια ὥστε ἅπτεσθαι τῆς γῆς, καὶ ἐπισυρόμενοι τὰς ὁπλὰς χωλοί εἰσι, καὶ ἐκ τῶν ψυῶν ἀσθενεῖς, καὶ τῷ δρόμῳ ἐλάσσονες.

ΠΕΡῚ ῬΕΎΜΑΤΟΣ ἙΛΚΩ͂Ν, καὶ πρὸς τοὺς ὑπὸ συὸς πληγέντας.

ΚΕΦΆΛ. ΡΙΑ.

Τοῖς ῥευματικοῖς τῶν ἑλκῶν οὐ δεῖ θερμῷ χρῆσθαι, ἀλλὰ τῷ ψυχρῷ θέρους, καὶ χειμῶνος. συμβαίνει γὰρ ῥᾳδίως ἐν τοῖς κυνηγίοις τῷ ἵππῳ τραῦμα

λαβεῖν

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΤΩ͂Ν ὙΠῸ ΨΎΧΟΥΣ ἨΔΙΚΗΜΈΝΩΝ

ΚΕΦΆΛ. ΡΗ.

Τῶ ὑπὸ ψύχους ἠδικημένῳ συμβαίνει ἀνορεκτεῖν, καὶ διὰ τοῦτο ἀπισχναίνεσθαι, καὶ βαδίζοντι ἐν κινήσει μὴ ἔχειν τὰ χελώνια, καὶ περιπατοῦντι προβαίνειν ἐπὶ μικρόν, καὶ ἀνανεύοντι, τὴν κεφαλὴν στενάζειν καὶ κατακύπτειν μὴ δύνασθαι διὰ τὸ κατατετάσθαι τὰ ἐντὸς νεῦρα. τὰ δὲ τῆς ἐπιφανείας ἀπαθῆ εἶναι. θεραπεύεται δὲ ἐγχυματιζόμενος πεπέρεως κόκκοις λ̄, κεκομμένοις ἐν οἴνου λευκοῦ εὐώδους κοτύλῃ, ἢ πηγάνῳ ἀναζεσμένῳ ὡσαύτως, ἢ λιλυσφάκῳ, ἢ ἀρτεμισίᾳ βοτάνῃ μετὰ οἴνου. ἢ πολιοφύλλῳ, καὶ γυμνασίᾳ δρόμῳ τῷ διὰ κάλπης ἐκ προαγωγῆς, καθὼς ἂν φαίνηται προκόπτων τῇ τροφῇ, καὶ τῇ ῥίψει πλείονι τῇ ἐπὶ τρίχα. ἐπιλαβόμενος δὲ τοῦ καιροῦ, καὶ γενόμενος ἐν τῇ νομῇ ἀποκαθίσταται, καὶ ὑγιάζεται.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΡῸΣ

κατάψυξιν κτήνους.

Πήγανον καὶ μαστίχην μετὰ ἐλαίου ὀλίγου, καὶ μέλιτος καθεψήσας, ἐγχυμάτιζε, πεπέρεως προστιθεμένου.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ ΝΌΣΟΝ

ἵππων ἐξ ἀτονίας, καὶ καύματος καὶ ψύχους.

Ἡ νόσος ὡς ἐπὶ τὸ πλεῖστον λαμβάνει τὸ ζῶον ἐξ ἀτονίας, καὶ καύματος, καὶ ἐν κρύει δὲ τὸ αὐτὸ ὑφίσταται, ἢ ὅτι ἐπείχθαι μὴ ἀπουρήσῃ, καὶ εἰ μετὰ ἱδρῶτα πίοι, ἢ καὶ ἀπὸ πολλῆς ἀργίας εἰς πολὺν ἔλθῃ δρόμον, καὶ ὑπέρτονον γένηται. θεράπευε οὖν ἔλαιον εἰς τὸν λαιμὸν ἐμβαλών, ἢ στέαρ σὺν οἴνῳ ὁμοίως διδούς. ἀπελάσεις δὲ ψύχος ζώου ἐὰν ἐλαίῳ ζεστῷ, ἢ στέατι τὰς ψύας αὐτοῦ καὶ τοὺς νεφρούς, καὶ τὴν κεφαλὴν ἀποτρίψῃς.

Βοήθημα εἰς τὸ αὐτό.

Ὄξει θερμῷ τὸν ὄνυχα καταύτλει, καὶ μετὰ ταῦτα πράσιον μετὰ ἀξουγγίου παλαιοῦ, καὶ ἀψινθίου ἀγρίου μίξας ἀπότριβε.

Γελματικοῦ σκευασία.

Χαλβάνης γο α΄, κασορίου γο ας΄, ἀδάρκης γο ς΄, ῥητίνης φρυκτῆς τὸ ἴσον, ῥητίνης ὑγρᾶς γο β΄, κηκίδος ἀλεξανδρίνης γο β΄, ἀσφάλτου ἰουδαϊκῆς γο ς΄, χαλκίτιδος γο α΄, πίσσης γο μίαν, ἀξουγγίου λ α΄, ὄξους γο ἕξ, κηροῦ λίτρας δύο, ἐλαίου ξε. ας΄, ἀμφότερα μίξας χρῶ.

ΑΨΥΡΤΟΥ ΠΕΡΙ ΙΔΡΟΥΝ-τος ἵππου διʼ οὐδεμίας αἰτίας.

ΚΕΦΑΛ. ΡϚ.

ΟΤΑΝ γένηται μηδεμιᾶς ὑπούσης ὑποψίας ἐκ καύματος, ἢ θέρμης ἐσῶτα τὸν ἵππον ἱδροῦν τόπους τινὰς τοῦ σώματος, ἢ καθόλου, καὶ ἀτμὸν ἀναβάλλειν διʼ αὐτοῦ. εἰδέναι δεῖ ὅτι προσπέπλακεν ἡ χολὴ τούτου τοῖς τόποις, ἢ ἀνακέχυται καθόλου, διὸ δὴ τὸν τοιοῦτον γλυκέσιν ἐγχυματίζειν.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ τῶν ἀπὸ πέδης ἢ δεσμοῦ τινὸς τελασμένων.

ΚΕΦΑΛ. ΡΖ.

Συμβαίνει ἀδικηθῆναι τὰ μεσοκώνια ἐκ τῆς ἱπποπέδης, ἢ δεσμοῦ τινὸς ἀπὸ ἱμάντος, ἢ σχοινίου, καὶ ἡ βύρσα ἀποπίπτει, καὶ ψιλὰ γίνεται τὰ τοῦ κωόπλου νεῦρα. κίνδυνον οὖν ἐστι διαφωνῆσαι εἰ ἐν ἀμφοτέροις τοῦτο γέγονεν. δεῖ οὖν πρῶτον ὑποσύφειν οἴνῳ, ἢ ὄξει, ἢ ὀξάλμῃ. ἔπειτα ταῖς λεπτῆσαις, καὶ τῶν λευκῶν ἐμπλάστρων ταῖς ξυφεραῖς χρῆσθαι. ἄκρως δὲ ποιεῖ τὸ τοῦ ψιμμυθίου μέρος ἕν, ἀμμωνιακοῦ τὸ ἥμισυ, μυρσίνης τὸ ἀρκοῦν. λεάνας οὖν ἐν ὕδατι τὸ ἀμμωνιακὸν μίξον μετὰ ψιμμυθίου παχέων τὸ μύρσινον, καὶ χρῶ.

Ἀψύρτου

σαγέσθω τὸν ποτὸν, ὅπως μὴ τῇ ὁδοιπορίᾳ διατρίβηται αὐτοῦ ἡ ὁπλὴ, ἀλλὰ τῷ ἐκ τῆς κοπρίας ῥύπῳ βρεφομένη, αὐξυνθῇ.

Περὶ αὐξήσεως ὁπλῆς.

Ἀξούγγιον παλαιὸν, καὶ σκόροδον, ἄσφαλτον, καὶ θεῖον ἄπυρον σὺν πισσελαίῳ κόψας, ἄλειφε τὴν περιστεφανίδα, καὶ περικόπτε στρογγυλαίνων. ἑστηκέτω δὲ ὁ ἵππος ἐν τόπῳ ξηρῷ.

Εἰς τὸ σκληρῶσαι ὁπλήν.

Κηρὸν, θεῖον ἄπυρον, ῥητίνην, πισσέλαιον, ἀξούγγιον, εἰς ἓν πάντα ποιήσας ἐπιμελῶς χρῶ. Ἄλλο.

Λαβὼν πολύκνην λιπαρὰν, καὶ διασχίσας, ἐνθεὶς τε εἰς αὐτὴν ἀξούγγιον, καὶ ὑπτιάσας τὰς ὁπλὰς, ἐπίσαξε εἰς πάντα τὰ ὑποκάτω τῶν ὁπλῶν, καὶ τοῦτο ποίει ἐπὶ ἡμέραις τρισί, καὶ μήτε ὕδατος ἁπτέσθω, μήτε ἐν ὑγρῷ τόπῳ ἑστηκέτω. μετὰ δὲ ἡμέρας ἓξ, ἢ ἑπτὰ, πάλιν τὸ αὐτὸ ποίει.

Ἄλλο.

Κισσοῦ σπέρματος μέρη δύο, στυπτηρίας στρογγύλης ἕν, λειώσας, τοῖς ὄνυξι πρόσαγε, ἄχρις οὗ ἀνάσχηται, καὶ μετὰ τοῦτο σκόροδον καὶ ἄσφαλτον ἅμα λειώσας, ἐν πλατεῖ σιδήρῳ ἀποθέμενος ζέοντι, πρόσκαιε ἐπὶ ἡμέραις τρισί. ἔστι δὲ καὶ βουσὶν ἐπιτήδειον. Ἄλλο.

Ποίησον ὑπόδημα ἐκ πίσσης ὑγρᾶς, καὶ ἀξουγγίου, καὶ θερμὸν προσάγαγε καθαρίζων πρότερον, ἐπιμελῶς τὸν ὄνυχα. εἶτα ἐπίπασσε κισσοῦ σπέρμα κεκομμένον τῷ ὄνυχι, ὥστε ὅλον πληρῶσαι, καὶ ὑποδήσας, λῦε μετὰ τρίτην ἡμέραν. ἔστι ἐκ τρίτου ποιῶν θεραπεύσεις.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΡῸΣ αὔξησιν ὀνύχων.

Σκορόδων κεφαλὰς τρεῖς, πηγάνου δεσμὴν, στυπτηρίας κεκομμένης γο ἕξ, ἀξουγγίου παλαιοῦ λίτρας β̄, κόπρου ὀνείας δράκα, πάντα συμμίξας, καὶ ἀναλαβὼν, χρῶ καθ᾽ ἡμέραν.

Φάβα ἑψήσας εἰς ὕδωρ, λείωσον μετὰ μέλιτος, καὶ εἰς ῥάκος ἐπιπλάσας, ἐπίθες καὶ θεραπεύσεις.

Βοήθημα

χῶς. δυστρεπίζεται δὲ εἰς τὸ καλλίων εἶναι ἐν ταῖς χρείαις. κυπαρίσσῳ καθηψημένῃ ἐν ὕδατι τοὺς πόδας πυριώμενος, ἢ βάτῳ ὡσαύτως, ἢ ἀψίνθιον καθεψήσαντες, τὸ αὐτὸ ποιοῦμεν. καὶ ἡ ὀξάλμη δὲ ὠφέλιμος, καὶ τὸ διαλείφειν τὰς ὁπλὰς τῷ ἐλαίῳ χειμῶνος. θερείας δὲ ἀξουγγίῳ ἀποπυριάσαντα. περὶ δὲ τοῦ ἐπικαίειν, πολλοῖς εἴρηται πολλά. ἄριστον δὲ πάντων τὴν ἄσφαλτον ἐπικαίειν, τῷ δαδίῳ χρώμενον. ὁ δὲ στειρόπους ἂν ὑποξύηται, φλεβοτομείσθω ἐκ τῶν μεσοκυνίων, ἵνα μὴ φλεγμαινόμενον ἐν τῇ στεφάνῃ περίρρηξιν λάβῃ. ἄθετοι δέ εἰσιν ἐν αὐτῇ κεντήσεις. αἰτιῶνται γὰρ τὴν ὁπλήν.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ ὙΠΟΤΕτριμμένους πόδας.

Ἐὰν ὑποτρίψῃ ζῷον, θερμῷ προσήκει ὕδατι πυριᾶσθαι, ἀξουγγίῳ τε ἐπαλείφεσθαι, καὶ ἐπὶ ὀστράκου ζέοντος ἀποτίθεσθαι, μέχρις οὗ πράως ἐνέγκῃ. λοιπὸν δὲ μετὰ ταῦτα σκορόδῳ καὶ θείῳ λελειωμένοις χρῶ, ἐπικαίων σιδήρῳ ζέοντι ἐπὶ ἡμέραις τρισί. τοῦτο καὶ βουσὶ βοηθεῖ.

ΘΕΟΜΝΉΣΤΟΥ

εἰς τὸ αὐτό.

Ὑποτρίψαν διὰ ὁδοιπορίας κτῆνος, εἶτα ἀμεληθὲν, πυρέσσει, πυρέξαντα δὲ ταχέως ἀπόλλυνται, ἐὰν μὴ φθάσῃ βοηθεῖσθαι. χρὴ οὖν ὕδατι θερμῷ ἐν ᾧ συνεψηθήσεται ἀλθαίας βοτάνης ῥίζα, ἥν τινες ἀγρίαν μαλάχην καλοῦσιν, ἐπαντλεῖν τοὺς πόδας ἕως ἁπαλωτέρα γένηται ἡ ὁπλή. ἔπειτα ὑποξέειν τὰς πεπονθυίας ὁπλὰς, καὶ γυμνοῦν ἐν βάθει τὰ ὑποβλάσματα, εἶθ' οὕτως ἔχειν ἐν ἑτοίμῳ σπαρτίον, καὶ ῥάκη τραχέα, καὶ σκορόδοις, καὶ ἀξουγγίῳ παλαιῷ ἰδίᾳ καθ' ἓν, καὶ πάλιν ὁμοῦ καταπλάσσειν, καὶ περιδεσμεῖν τὰς ὁπλάς. εἰ δὲ φλεγμαίνοι, φλεβοτομείσθω ἐκ τῶν μεσοκυνίων, καὶ στηκέτω ἐν ἅλει, καὶ παρακαιέσθω χειμῶνος πῦρ, καὶ ὑποβαλλέσθω κόπρῳ ξηρᾷ, ἵνα μὴ ἐπὶ σκληρῶν ἐπιβαίνων. πάσχῃ τοὺς πόδας ὅταν ἀφλέγμαντος μένῃ θεραπευέσθω ἐᾶσθαι ἐπὶ ἡμέραις θ', καὶ ἔνδον ἱστάσθω ἐπὶ κοπρίᾳ, καὶ ἐκεῖ αὐτῷ προσαγέσθω

εὔποδες. πονηροὶ δὲ, οἱ λευκὴν ἔχοντες. καὶ ἐν αὐτῇ μελάνας ταινίας, εὔποδες καὶ ἀγαθοί. οἱ στρογγύλην ἔχοντες, καὶ ἐκκεκιρρωκότες τὰ κατ' ὄνυχα τῆς ὁπλῆς, μαλακοὶ καὶ πονηροί. οἱ συμφυεῖς κάτωθεν καὶ χελιδόνας μικρὰς ἔχοντες, εὔποδες καὶ ἀγαθοί. οἱ σκαῦροι εἰς τὸ ἐντὸς μέρος, εὔποδες πονηροὶ δέ. οἱ τετράγωνον ἔχοντες ὁπλὴν, καὶ μὴ ὑψηλὴν δὲ μέλαινα δὲ, καὶ χελιδόνα μικρὰν, εὔποδες. καὶ οἱ περιφερῆ καὶ κάτωθεν κοίλην, καὶ μέλαιναν, ἀγαθοὶ καὶ εὔποδες. οἱ κιρρώδεις καὶ μακρὸν καὶ μὴ πλατεῖς, ἀλλὰ προμήκεις, ἀγαθοί. οἱ μέλαιναν ἔχοντες καὶ προμήκη, πονηροί. οἱ συμφυεῖς, καὶ χελιδόνα μικρὰν ἔχοντες, μαλακοὶ καὶ πονηροί. οἱ σκαῦροι εἰς τὸ ἐκτὸς μέρος, μαλακοί, οὐ πονηροὶ δέ. οἱ τὴν ὁπλὴν ταπεινὴν ὀπίσω μαλακοί, καὶ τὴν χελιδόνα παχοῦσιν. οἱ μέλαιναν ἔχοντες τὴν ὁπλὴν, καὶ ἐν ταύτῃ ταινίαν λευκὴν, ἀγαθοὶ καὶ εὔποδες μᾶλλον τῶν τὴν λευκὴν ἐχόντων καὶ μελαίνας ταινίας, καὶ ὅσοι προπετῆ τὴν στεφάνην ἔχουσι, καὶ ὑπομήκη τὴν ὁπλὴν, εὔποδες, πονηροὶ δέ. καὶ οἱ πλατεῖαν ἔχοντες τὴν ὁπλὴν, καὶ οἱ ὀστρακίαι, καὶ χελιδόνα μικρὰν, καὶ ὕφαιμον, μαλακοί. καὶ ὅσοι λείαν ἔχουσι τὴν ὁπλὴν καὶ συνεχεῖς διατριβὰς ποιούμενοι, καὶ οὗτοι δὲ ἀγαθοὶ καὶ εὔποδες, ὡς προγέγραπται. οἱ κάτωθεν κοίλην ἔχοντες, καὶ τὸν ὄνυχα παχὺν, καὶ ἐν τῷ περιπάτῳ ψόφον ποιοῦντες ἀδρομοί τε, καὶ ἄκεντροι ἐν τῇ ἱππασίᾳ. εἰσὶ δὲ καὶ εὐήθεις ἀπὸ τῆς γενέσεως μέχρι τοῦ καταρτισμοῦ. τὸν λοιπὸν δὲ χρόνον, πονηροὶ καὶ δήκται. ἀπὸ δὲ τῶν χρωμάτων πονηροὶ ὡς ἐπίπαν διαφερόντως τῶν ἄλλων, καὶ οἱ λευκὸν τῶν ποδῶν, ἢ τῶν σκελῶν τι ἔχοντες, καὶ οἱ λευκομέτωποι, καὶ οἱ λευκόρυγχοι. μάλιστα δὲ οἱ φοίνικες ὅταν τι τούτων ἔχωσι.

ΑΨΥ΄ΡΤΟΥ ΘΕΡΑΠΕΙ΄Α ΜΑΛΑΚΟΠΟ΄ΔΩΝ.

Ἄψυρτος μάρκῳ μαρίῳ δεκουρίωνι χαίρειν. ἔγραψάς μοι ἐπερωτῶν περὶ τὸν μαλακόποδα τίνι βοηθήματι χρήσῃ. ἔστι ἡ δυσκατόρθωτον διὰ τὸ ὑπάρχειν φυσικῶς τοιοῦτον. ἔτι δὲ καὶ διὰ τὸ ἐν τῇ ὁδοιπορίᾳ ἀπότριψιν τῆς ἡμέρας ἐν τῇ στάσει τῆς νυκτὸς μὴ προσφύειν ὅσον ἀποτρίβεται, καὶ θερμοπλᾶ πάντοτε καὶ διατριβὰς λαμβάνει, καὶ θλάσματα ποιεῖ συνε-

πίσματι θεραπεύσας, σινάπεως ὀξύβαφον ἕνα, μετὰ ἴσου μέλιτος καθαρίως λειώσας, δὸς αὐτῷ μετὰ ἡμίνης οἴνου καθεκάστην ἡμέρας προπότιζε ἐπὶ ἡμέρας θ΄.

Χρῖσμα κεφαλῆς.

Ῥόδιον, καὶ κασόρειον, ἀμύγδαλα πικρὰ, καὶ πήγανον χλωρὸν μετὰ ὄξους συμμίξας, κέχρησο.

Πρὸς κεφαλῆς πόνον.

Ὅσα ζῶα ὑπὸ ὀξέων νοσημάτων σφηνωθῶσι, ταῦτα δεῖ καθαίρειν. ἀναγκαῖον γάρ ἐστι προλαμβάνειν τὰ τοιαῦτα, μή ποτε εἰς τὸ τῆς μάλεως ἐμπέσωσι νόσημα, ἢ ἐμπυϊκὰ γένωνται, ἅπερ εἰσὶ δυσθεράπευτα. χρῆσθαι οὖν τῇ ἀγωγῇ ταύτῃ. ᾠὰ δύο, πεπέρεως κόκκους κ΄, μέλιτος γο α΄, ἀνακεράσας ὁμοῦ διὰ κέρατος ἐγχυμάτιζε. ἔπειτα κλίνον αὐτοῦ τὴν κεφαλὴν ἐπὶ πόδας, καὶ ἔασον οὕτως ἡμιώριον, ἄχρις οὗ οἱ ἰχῶρες ἐκπέσωσιν. εἶθ᾽ οὕτως ἐπίθες ἄκοπον τὸ πυρωτικὸν πρὸς τὸ ἐκχαλασθῆναι, εἶτα οἴνῳ χρηστοτάτῳ τὰς ῥῖνας ἐμφύσα καὶ περιπατεῖν ποίει.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ἘΠΙΓΝΏΣΕΩΣ ΕΥ̓ΠΌδων καὶ μαλακοπόδων.

ΚΕΦΆΛ. ΡΕ.

ΔΈΣΠΟΤΑ γάλλε, ἀφορισάμενος ἐν τοῖς ἵπποις τίνα τῶν ψυχικῶν καὶ σωματικῶν σημεῖα, ἐπιδείξω σοι ὅ ἐστι πρῶτον κεφάλαιον ἐν τῇ συστάσει τοῦ ζώου, ὅσοι εὔποδες, ἢ μαλακόποδες, καὶ πονηροί, ἢ ἀγαθοί, ἐπιγνωσθήσονται ὅτι. οἱ λευκὴν ἔχοντες τὴν ὁπλὴν, καὶ χελιδόνας μακρὰς, μαλακοὶ καὶ πονηροί, καὶ οἱ ξηρὰν ἔχοντες καὶ θραυομένην, καὶ λεπτὴν, μαλακοὶ καὶ πονηροί. ἐὰν δὲ ᾖ ἡ κοίλη κάτωθεν, χελιδόνα δὲ μικρὰν ἔχοντες, εὔποδες καὶ ἀγαθοί. ἐὰν δὲ ἡ χελιδὼν ᾖ μακρὰ, πονηροί, καὶ ἄχρηστοι. οἱ πινακιαῖοι καὶ χελιδόνα μακρὰν ἔχοντες, μαλακοὶ καὶ πονηροί. ἐὰν δὲ ἡ χελιδὼν ᾖ μακρὰ, χρηστοί. οἱ δὲ μέλανα ἔχοντες τὴν ὁπλὴν

εὔποδες

νίτρου εἰς τὸ οὖς ἐπίσαξον, ἢ σκώληκας τοὺς λεγομένους ὀνικοὺς μετὰ βουτύρου, καὶ πηγάνου δεσμιδίου ἑνός, εἰς τὸ ἔλαιον ζέσας, καὶ χλιαροῦ γινομένου, ἔγχει εἰς τὸ οὖς. ἢ στέαρ ὄρνιθος μετὰ νάρδου εἰς τὸ οὖς ἔμβαλλε.

Ἄλλο.

Εἰ πάσχει τὸν ἐγκέφαλον τὸ ζῶον, χρὴ τοῦτο μετ᾽ ἐπιμελείας περιοδεύεσθαι ὡς ἂν μὴ τάχιστα κινδυνεύσῃ. σημεῖα δὲ τῆς τοιαύτης ἀνωμαλίας τάδε. πλάγιον περιπατεῖ τὸ ζῶον, τοῖς ποσὶ σφάλλεται, προσκόπτει συνεχῶς, καὶ τὰ σκέλη αὐτοῦ συσπᾷ. χρὴ οὖν τὸν τοιοῦτον ὑπὸ ζυγὸν βληθῆναι, ἵνα τῷ ἱδρῶτι, καὶ τῷ καμάτῳ πᾶς ὁ πόνος ἀποκρουσθῇ. ἵνα δὲ μετὰ τὸν κάματον βέλτιον περιοδευθῇ, τούτῳ τῷ τρόπῳ χρῆσαι. δάφνης κόκκους κ̄, νίτρου λίτραν ᾱ, καταχόψας λεπτά, καὶ πηγάνου χλωροῦ δεσμίδιον ἕν, μετὰ ὄξους καὶ ἐλαίου δαφνίνου χλιάνας, ἀπάλειφε τὴν κεφαλὴν μεταξὺ τῶν ὤτων, καὶ δέρματι ἔχοντι ἐρίαν, ἐμβεβρεγμένῳ τούτῳ τῷ βοηθήματι, τὴν κεφαλὴν περίδυσον.

Ἄλλο.

Ἄλευρον κρίθινον συμμίξας ῥητίνῃ, ἐπίθες. κέχρησο δὲ καὶ προποτίσμασι τοῖς δε. καρκίνους ποταμίους ἑπτὰ συγκόψας, καὶ μίξας γάλακτος αἰγείου ξέστῃ ἑνί, καὶ ἐλαίου κυάθῳ ἑνί, καὶ διϋλίσας καθαρίως δίδου διὰ τοῦ στόματος. εἰ δὲ ταῦτα μὴ ᾖ, ὑδρομέλιτος κυάθους τρεῖς, καὶ πεπέρεως λευκοῦ ὀβολὸν ἕνα, κρόκου γρα. β̄, ὁμοῦ συντρίψας ἐν οἴνῳ διὰ στόματος δίδου.

Πρὸς κάθαρσιν κεφαλῆς.

Μῆλον μανδραγόρου λαβών, καὶ σχίσας εἰς πολλὰ μέρη, ἐν ἡλίῳ, ἢ φούρνῳ διάψυξον, ἔπειτα κόψας καὶ σείσας, τούτοις τὴν κεφαλὴν καθάρισον.

Πρὸς πληθώραν κεφαλῆς.

Εἰ ἔχει ζῶον τὴν κεφαλὴν πεπληρωμένην, ἢ ψυχράν, χρὴ αὐτὸ ἀφαιμαχθῆναι, ἢ ἐκ τῶν κροτάφων, ἢ ἐκ τοῦ στόματος, ἔπειτα κενταυρείου μέρη δύο, καὶ ἀκακίας παλαιᾶς μετὰ οἴνου αὐστηροῦ κεράσας καὶ ζέσας, ὡς ἔστι θερμὸν τῇ κεφαλῇ ἐπίθες.

Πρὸς βάρος κεφαλῆς.

Εἰ διὰ τῶν ῥινῶν πολὺς φέρεται χυμός, τούτῳ τῷ προπο-

ἄχυρον λεπτότατον εἰς ὄξος δριμὺ καθεψήσας, καὶ ἔλαιον, ἐὰν θέρος ᾖ. εἰ δὲ χειμὼν, εἰς οἶνον καὶ ἔλαιον ἀφεψήσας, τούτῳ τῷ ἀφεψήματι χρῶ. ἢ ἐλλεβόρου μέλανος καὶ νίτρου ἀνὰ γο α΄, μίξας οἴνου τῷ ἴσῳ σὺν ἐλαίῳ, καὶ λεάσας ὁμοῦ σύμπαντα, καὶ θερμάνας, ἄλειφε τὴν κεφαλὴν, εὐκόλως γὰρ διὰ τούτων τὸ νοσοῦν περιφθήσεται.

ΘΕΟΜΝΉΣΤΟΥ ΚΕΦΑΛΑΛΓΊΑΣ

ἐπίγνωσις, καὶ ἴασις.

Ὁ κεφαλαλγῶν ἵππος, πάντοτε κάτω βλέπει, ἀνανεύειν οὐ δύναται τὴν κεφαλὴν, ἀχλὺς αὐτῷ ἀεὶ περίκειται, δακρύει τε τοῖς ὀφθαλμοῖς, καὶ οὐδὲν προσίεται, μύει δὲ καὶ δυσχερῶς ἀναβλέπει. τοῦτον οὖν δεῖ θεραπεύειν οὕτως. διανοίξας αὐτοῦ τὸ στόμα, αἷμα ἄφελε ἀπὸ τοῦ οὐρανίσκου, μὴ ὀρθῷ πλατεῖ δὲ τῷ φλεβοτόμῳ χρώμενος. δίδου δὲ ἐγχυματισμοὺς διουρητικοὺς τούσδε. σελίνου σπέρματος λίτραν μίαν, πράσων καθηψημένων χυλοῦ ξε. δ΄, οἰνελαίου ξε. α΄, ἰταλικὸν, ταῦτα μίξας ἐγχυμάτιζε διὰ στόματος, καὶ ἠρέμα ποιήσας βαδίσαι, ἔα ἡσυχάσαι ἐπὶ βραχύ. εἶτα ἐν ὕδατι καταψυχέσθω καθάπερ ὁ κριθιάσας. ἐὰν δὲ διαῤῥοιάσῃ, παύεται μὲν τοῦ νοσήματος, λυποῦνται δὲ πολλάκις τὰς ὄψεις. ἐγχριέσθω δὲ μέλιτι καὶ μαράθου χυλῷ, καὶ τάχιστα, καὶ οὕτως ὑγιασθήσεται.

ΠΕΛΑΓΩΝΊΟΥ.

Τῆς κεφαλῆς τὰς ἀλγηδόνας σημαίνουσι δακρύοντες ὀφθαλμοὶ, ὦτα κεχαλασμένα, τράχηλος ἐπὶ γῆν ἐπινεύων, ὄψις ἠλλοιωμένη, ἀλλὰ καί τοι οὕτω διακειμένου. δεῖ ἐκ τοῦ στόματος αἵματος ἀφαίρεσιν ποιεῖσθαι, καὶ διδόναι ἐγχυματισμὸν, τὸν δυνάμενον τὴν γαστέρα ὑπάγειν. ἔστι δὲ αὕτη ἡ περιοδεία, ὁμοία τοῖς κριθιῶσι ζώοις. Ἄλλο.

Πρό γε ἁπάντων, χρὴ καθαίρειν τὴν κεφαλὴν τοῦ ζώου, τρόπῳ τοιῷδε. εὐφόρβιον, κενταύριον, λιβανωτοῦ ἄλευρον εἰς χύτραν ἑψήσας ἐπὶ πολὺ μετὰ οἴνου ἐν θερμῷ ἡλίῳ, διὰ τῶν ῥινῶν ἔγχει. Ἄλλο.

Ὄξους δριμυτάτου ὀλίγον μετὰ ἐλαίου παλαιοῦ, καὶ ἀφροῦ

νίτρου

θιον ἐν θυίᾳ ὅπως λειότατον γένηται. εἶτα κηρὸν μίξας, τρῖψον ἱκανῶς, καὶ ὅτι λειότατον γένηται, μῖξον αὐτοῖς μέλιτος πλῆθος χήμης, καὶ συλλεάνας ταῦτα, λαβὼν ἔλαιον εἰς τὴν χεῖρα, τίθει εἰς τοὺς κροτάφους τῶν ἵππων, καὶ τὸν δακτύλιον. ποιεῖ δὲ καὶ ἐπὶ ἀνθρώπων πρὸς πάντα κόπον τοῦτο. ἔστω δὲ ἡ κηρωτὴ στατήρων πέντε.

Πρὸς κατάῤῥουν.

Ἐὰν ἐν τῇ κεφαλῇ αἷμα ἐκδράμῃ ἀπὸ ἱπποστασίας, ἢ ἄλλου τινὸς κόπου, σημεῖά ἐστι ταῦτα. τὰ ὦτα ἔχει ὀρθὰ καὶ ψυχρὰ, καὶ οἱ ὀφθαλμοὶ † αἷμα ἀφιᾶσι διὰ τῶν μυκτήρων, καὶ τὸ σῶμα ἔσωθεν ψυχρόν ἐστι. καταντλεῖν οὖν δεῖ τὴν κεφαλὴν ἱματίοις, καὶ ὑποθυμιᾶν στυπτηρίᾳ ξηρᾷ. δίδου δὲ καὶ πυροὺς ἐν οἴνῳ λύσας φαγεῖν. ἐὰν δὲ μὴ ὠφεληθῇ, αἷμα ἀφαίρει ἀπὸ τοῦ στόματος, ἢ τοῦ αὐχένος. ῥῶμα

ΑΨΎΡΤΟΥ ΠΕΡῚ ΚΑΤΑΚΡΑΝΊΑΣ.

Κατακρανίας σημεῖά ἐστι τάδε. ὦτα βέβληκε, καὶ τὴν κεφαλὴν καταβαρύνεται, καὶ ἐσθίειν οὐ δύναται. θεραπεύεται δὲ οὕτως. ἐλλέβορον μέλανα κόψας καὶ διασείσας, ῥίβε μετὰ οἴνου καὶ ἐλαίου, καὶ νίτρου, καὶ τὴν κεφαλὴν, καὶ τὰ ἐντὸς τῶν μυκτήρων καὶ τῶν ὤτων ἐνάλειφε. χρώμενος δὲ φαρμάκῳ θερμῷ, ἢ δαφνίδας κ̄, καὶ δάφνης τῶν ἁπαλῶν τὰ ἄκρα πέταλα ὅσον δράκα, καὶ σισελίων τὸ ἴσον, σμύρνης ὅσον κυάμους γ̄, καὶ ὀποῦ κυρηναϊκοῦ ὅσον κυάμους δύο. ταῦτα τρίψας λεπτὰ, καὶ διεὶς ἐν οἴνου μέλανος εὐώδους κοτύλαις τέτρασιν, ἔγχει εἰς τὸν μυκτῆρα τὸν δεξιόν. ἀφαίρει δὲ καὶ αἷμα ἀπὸ τῶν μυκτήρων. ἐπιτήδειος δὲ καὶ πτισάνη ἑψηθεῖσα καλῶς, καὶ διὰ τοῦ στόματος ἐγχεομένη.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ κεφαλῆς πόνον.

Κεφαλῆς πόνος, ὅν τινες κράνιον ὀνομάζουσι, τίκτεται ὁπηνίκα μὴ τῷ ἁρμόζοντι καιρῷ τὴν τροφὴν πέψῃ τὸ ζῷον, χρὴ τοίνυν ἀπὸ τοῦ τοιούτου τῶν κροτάφων αἷμα ἀφαιρεῖν, οὗ τὰ περὶ νόσου προαίτια διαφορηθῇ. καθαροῦ δὲ αἵματος ῥέοντος, τάχιστα ποιεῖσθαι ἀνάστολην, καὶ πυριᾶν τρόπῳ τοιῷδε.

ῥίζαν. ἐὰν δὲ ἀθ γνώσῃ, ἐν οἴνῳ τρίβε. πρὸ τοῦ δὲ τὰ φάρμακα διδόναι, λούειν αὐτὸν θερμῷ πολλῷ. μετὰ δὲ ταῦτα καπνίζειν αὐτόν, καὶ τὸ στόμα διανοίγειν αὐτοῦ. ὅταν δὲ ἀπόσχηται τοῦ καπνοῦ, καταλαμβάνειν χρὴ τὸ στόμα.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ κεφαλῆς πόνον.

Τῷ κεφαλαλγοῦντι ἵππῳ, σημεῖα ταῦτα ἔσται. τοὺς ὀφθαλμοὺς φλεγμαίνειν, διὰ τοῦ στόματος ἀποβάλλει ὑγρά. χρὴ οὖν ζεστῷ ὕδατι τὴν κεφαλὴν αὐτοῦ ἐπαντλεῖν, καὶ ψυχρᾷ κοιμήσει χρῆσθαι. ποίει δὲ καὶ ἀφαίρεσιν αἵματος ἀπὸ τῶν ὀφρύων, καὶ φύλλα ἐκ τριφύλλου συντρίψας, πιεῖν δίδου. ἐὰν δὲ τοὺς ὀφθαλμοὺς ἀνατεταμένους ἔχῃ, δεήσει αὐτοῦ αἷμα ἀφελεῖν ἀπὸ τοῦ τραχήλου, καὶ τοῦ κρανίου, εἶτα λαβὼν ἅλατος γο̄ γ̄, μεθ' ὕδατος ἀναλύσας, ἐγχυμάτιζε. ἐὰν δὲ μὴ τοῦτο ἀρκῇς, γῆς ἔντερα λαβών, καὶ ὄξος παλαιὸν ὡς ξε. β̄, καὶ συλλεάνας διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔγχει.

Ἄλλο εἰς τὸ αὐτό.

Τὸν τῆς κεφαλῆς μηνύουσι πόνον δακρύοντες ὀφθαλμοί, καὶ ὦτα διεστραμμένα, ἤτοι ὑποκεκλασμένα, κεφαλὴ κάτω νεύουσα. χρὴ οὖν θεραπεύειν οὕτως. λύε τὴν ὑπὸ τὸν ὀφθαλμὸν φλέβα, καὶ τὸ στόμα ὕδατι θερμῷ πυρία, τροφῆς ἀπέχεσθαι ποίει, τῇ δ' ἑξῆς ἡμέρᾳ, χόρτῳ χλωρῷ καὶ ὕδατι χλιαρῷ κέκτησο. τῇ δὲ τρίτῃ ἡμέρᾳ, κριθὰς μετὰ βικκέου χόρτου ἐσθίειν ποίει, κατ' ὀλίγον δὲ ποτιζέσθω, ὥστε κατὰ πρόσβασιν τὴν κατὰ φύσιν ὑγείαν λαμβάνειν.

Καστορίου γο̄ β̄, δαφνίδος γο̄ ἓξ, νίτρου, βηρυτίας, μάννης λιβάνου ἀνὰ γο̄ β̄, ἐλαίου παλαιοῦ γο̄ ἓξ, καρύων πικρῶν γο̄ ἓξ, ταῦτα συντρίψας, καὶ μίξας προλύων ὄρῳ σύγχει.

Ἄλλο πρὸς κεφαλῆς κάθαρσιν.

Τὴν κεφαλὴν καθαίρει, γάρου ἡμίνα μία διὰ μυκτήρων ἐγχεομένη.

Ἐμβροχὴ πρὸς κεφαλαλγίας ἵππων.

Ψιμμυθίου στατῆρας δώδεκα ἐμβρέξας νύκτα, καὶ ἡμέραν ὕδατι καινῷ ἀγγείῳ, καὶ ἀπηθήσας τὸ ὕδωρ, τρίβε τὸ ψιμμύ-

τοὺς ὤμους, βραχίονας ὀρθούς, καὶ τὰ ἐν αὐχένι μεσοκώλια μὴ μεγάλα, πόδας μὴ σκαμβοὺς εἰς τὸ ἐκτὸς μέρος, κοιλίαν μὴ μικράν, ῥάχιν μὴ κυρτήν. ἐκ γὰρ τῶν τοιούτων ἐπιτυγχάνει τις τῶν δυνατῶν καὶ ἀνδρείων ἐν τοῖς ἔργοις.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ῬΕΥΜΑΤΟΣ ΤΟΥ ἐν κεφαλῇ.

ΚΕΦΑΛ. ΡΔ.

Ἄψυρτος πασικράτει Ἀλεξανδρεῖ ἱππιάτρῳ χαίρειν. Βούλομαί σε εἰδέναι ῥεύματος τοῦ ἐν κεφαλῇ γινομένου, ἐὰν ἔκκρισις ἐκ τοῦ αὐτομάτου γίνηται, ἢ γυμναζομένου τοῦ ἵππου, κακὸν οὐδὲν συμβαίνει. εἰ δὲ μή, ἐμπυϊκὸς γίνεται, καὶ καταῤῥοϊκός, ῥεῖ παχύ, καὶ λευκόν, ὀσμὴν ἔχουσα πραΰ, καὶ προθυμούμενος βήσσειν οὐ δύναται, καὶ ἀτροφεῖ ἀνόρεκτος ὤν, καὶ κυλιόμενος οὐχ ὑπερβάλλει ἑαυτόν. οὐδὲ ἐκτινάσσει τὴν κεφαλήν. βαρύνεται γάρ, καὶ τὰς φλέβας τὰς ἐν αὐτῇ ἐπηρμένας ἔχει, καὶ τῷ προσώπῳ. θεραπεύεται δὲ γυμνασίαις, δρόμῳ τῷ διὰ κάλπης μὴ πολλῷ, καὶ καταντλήσει τῆς κεφαλῆς θερμῷ ὕδατι, καὶ ὑποθυμιάσει τοῦ στόματος, καὶ τῶν μυκτήρων ἐπ' ἀνθράκων δάφνης καρπῷ, καὶ ῥίψει τοῦ στόματος χωρὶς τῆς κεφαλῆς, ἵνα μὴ στεγνωθῶσιν οἱ πόροι. ἐγχυματισμοῖς δὲ τοῖς καθαρτικοῖς δεῖ χρῆσθαι. μάλιστα δὲ τῇ ἀριστολοχείᾳ διὰ τῶν μυκτήρων μετὰ οἴνου, ἢ καὶ νίτρῳ μετὰ ὕδατος ὡσαύτως, ἢ στυπτηρίας φορίμης ὁλκὰς β΄, καὶ ἁλὸς τὸ ἴσον μετὰ οἴνου κοτύλης ἐγχυματίζειν. ἐὰν δὲ ἐν τούτοις ῥῆξις μὴ γίνηται τοῦ πύου, χρῆσθαι καὶ τούτοις σύνθεμα τοιοῦτας ταύρου αἷμα. εἰ δὲ μή γε, βοὸς νεωτέρου ὀξύβαφα β΄, καὶ λιβανωτοῦ ὀξύβαφον ἕνα, καὶ ἁλὸς ἥμισυ ὀξυβάφου, ταῦτα ἕκαστα χωρὶς τρίψας καὶ πάλιν ἐν ταὐτῷ ὄξος ἐπιχέας ὡς δριμύτατον τρίβε, καὶ πρὸς τὸν ἥλιον ξήραινε. ὅταν δὲ πήγνυται, διάπλασσε τροχίσκους καρύου τὸ μέγεθος, καὶ ξηράνας ἀπόθου καὶ τούτων ἕνα τῇ ἡμέρᾳ εἰς τὸ στόμα ἔγχει, ἐν ὄξει

τρίβων

λὴν αὐτῷ, δέρματι ἔχοντι ἐρέαν, καὶ ἀλειμμένῳ ἐλαίῳ κάλυπτε.

Ἄλλο.

Δάφνης κόκκους κεκαθαρμένους λύσας ἐν ἐλαίῳ, καὶ ἐπιβαλὼν οἶνον θερμὸν, διὰ τῶν μυκτήρων ἔγχει. Ἄλλο.

Τὸ μὲν ὄμμα δεινὸν καὶ λαμπρὸν, αἱ φλέβες φοινικαὶ, αἱ ἴσαι ὑπὸ τῶν λευκῶν, καὶ στρέφει τὰ ὦτα πυκνὰ, αἵ τε σιαγόνες κινοῦνται, καὶ αὐτὸς ἑαυτὸν δάκνει ἑστηκὼς καὶ κυλιόμενος, καὶ τὰ περιεστῶτα ἐπιχειρεῖ δάκνειν, καὶ ἱδροῖ. ἀπὸ τῶν σκελῶν οὖν τοῦ πάσχοντος αἷμα ὡς κοτύλας ἕξ, ἀφελὼν ἀνάδησον, καὶ μηδὲν προσενέγκῃς ἵνα μὴ τὸ αἷμα ῥυῇ. ἐὰν δὲ ὁ ἥλιος δύῃ, ἐνέγκας ὠμὴν λύσιν ὡς χοίνικα, ὕδατος ἐπιχέας χλιαροῦ ὡς κοτύλας τέσσαρας. ἄλλο δὲ μηδὲν προσενέγκῃς. τῇ δὲ δευτέρᾳ, μάλιστα μὲν ἀπὸ χυλοῦ ἐκ παλσοῦ. εἰ δὲ μὴ, τοῦ ξυροῦ ὅσον δεσμὰς δύο, καὶ τῆς ὠμῆς λύσεως τὸ ἴσον πόμα, εἶτα περιπατησάτω μὴ πολλὰ, ἱμάτιον περιβεβλημένος. εἶτα ἐν σκέπῃ ἱστάσθω, καὶ δεῖ περισσότερον μετὰ τὸν χόρτον προσενεγκεῖν, πόμα δὲ ἐνδεέστερον. ἐνδεέως δὲ καὶ κατὰ μικρὸν τῶν κριθῶν προσφέρειν, ἵνα μὴ εἰς τὸ αὐτὸ πάθος περιπέσῃ, καὶ τὸ σῶμα ἄλυζε καὶ περιπατείτω καὶ ἐὰν μὴ καθιστῆται, τότε καὶ τοὺς ὄρχεις ἔκτεμνε, καὶ ἀπόκλειε τὰς φλέβας τῶν ὄρχεων, ἐπιχέων πίσσαν καὶ ἅλας, καὶ ἔλαιον καὶ τέφραν ἐπιπάσσων, ἔπειτα πυρία καθ' ἡμέραν, καὶ θεράπευσε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ἙΤΕΡΟΓΌΝΩΝ ΚΑῚ δυσθέτων πρὸς ζυγόν.

ΚΕΦΑΛ. ΡΓ.

Ἄψυρτος Ἀπολλοφάνει φιλίῳ χαίρειν. ἱπποτροφοῦντά σε, καὶ σπουδαίως ἔχοντα ἐν τῇ συστάσει τῶν ἑτερογόνων, εὔχρηστον εἰδέναι ἀπὸ τῶν σωματικῶν σημείων τοὺς δυσθέτους εἰς τὴν κατάζευξιν τοῦ ζυγοῦ. δεῖ οὖν εἶναι ἔχοντας στῆθος πλατὺ, τράχηλον ὡσαύτως, ῥώθωνας ἀνεσταλμένους. ὑψηλοτέρους μᾶλλον

τοὺς

μάτιζε. ὕπαγε δὲ καὶ τὴν κοιλίαν, ὄξει τε ζεστῷ μετὰ ἐλλεβόρου μέλανος λελειωμένου ἐνάλειφε τὴν κεφαλὴν, καὶ δέρμασι προβατείοις κατάσκεπε. ἔπειτα πήγανον λειώσας, ὁμοίως τὴν κεφαλὴν αὐτοῦ ἐνάλειφε, καὶ στηκέτω ἐν τόπῳ θερμῷ.

Ἄλλο.

Ἐὰν ζῷον ὀργῇ τινι ἐπιτοσοῦτον ταραχθῇ, ὥστε ἀλλότριον ἑαυτοῦ γενέσθαι, κόπρον ἀνθρωπίνην λεάνας καλῶς, καὶ οἴνῳ χυδαίῳ μίξας, ἐπὶ ἡμέραις τρισὶ διὰ κέρατος δίδου.

ἹΠΠΟΚΡΆΤΟΥΣ.

Τῷ λυσσῶντι ἵππῳ, παρέπεται σημεῖα τάδε. οἱ ὀφθαλμοὶ προσπίπτουσιν ὕφαιμοι, καὶ αἱ φλέβες μετέωροι γίνονται καὶ τὸ σῶμα, καὶ ἀσιτεῖ καὶ ἀγωνιᾷ. θεραπεύειν οὖν χρὴ οὕτως. ἱμάτιον περιβαλὼν εἰς τὸ πρόσωπον, ὥστε μὴ βλέπειν τοὺς προσιόντας, ἀποδήσας μέσον τὸν αὐχένα, λῦσον τὰς φλέβας τὰς πλατείας, καὶ ἄφες ἀποῤῥεῖν, ἕως οὗ ἐκλυθῇ. εἶτα τὸν αὐχένα λύσας καὶ στύσας τὸ αἷμα, ἐν ζοφώδει τόπῳ ποίει ἵστασθαι, καὶ ἔα ἡσυχάζειν, μή τε ψόφου τινὸς μή τε θορύβου ἐκεῖσε γινομένου. εἰ δὲ τὴν ἑσπέραν, δίδου πιεῖν ὕδατος χόα ἕνα, καὶ τῇ ἄλλῃ ὁμοίως, ὑποστελλόμενος καὶ σιτία καὶ τὸ ποτὸν, ἕως ἡμερῶν τριῶν, εἶτα δίδου τὰ εἰωθότα.

ΠΕΛΑΓΩΝΊΟΥ.

Πρὸ πάντων ὁ τοιοῦτος ἵππος, ἐν τόπῳ σκοτεινοτέρῳ ἑστάναι ὀφείλει, καὶ ἁπαλωτέρᾳ τρέφεσθαι τροφῇ, καὶ θεραπεύεσθαι προποτίσματι τοιῷδε. σελίνου χλωροῦ δεσμὴν λελειωμένην, μέλιτος καλοῦ γο δ΄, καρδαμώμου λελειωμένου κύαθον ἕνα, οἴνου λευκοῦ κυάθους β΄, ταῦτα πάντα λειώσας σὺν τῷ οἴνῳ ἐπὶ τοῦ λαιμοῦ ἔγχει. εἰ δὲ μὴ θεραπευθῇ οὕτω, τὴν κεφαλὴν ὑπόκαυσον, καὶ ἀλείμμασι θερμοῖς ἀπόχρισον ὡς ἐπὶ τῶν ὀπισθοτονικῶν εἴπομεν. ἔγχει δὲ καὶ τοὺς ὀφθαλμοὺς κολλυρίῳ.

Ἄλλο.

Πρότερον μὲν ἀπὸ τῶν κροτάφων ἀφαίμαξε. ἔπειτα δὲ πόμα πρόσαγε, σελινοσπέρμου, ναρδοστάχυος, πετροσελίνου μακεδονικοῦ, θρίδακος σπέρματος, μήκωνος σπέρματος ὀξίσου μίξας σὺν ὑδρομέλιτι ἐπὶ ἡμέραις πέντε. τὴν δὲ κεφα-

πλειόνων, ἢ τῇ μήνιγγι πλείονος αἵματος ἐπιχυθέντος, ἢ τῆς χο-
λῆς ἐμπεσούσης εἰς τὰς φλέβας τὰς αἱμαγωγούς, ἢ διὰ φαυ-
λότητα ὑδάτων. χρεμετίζει οὖν καίρως καὶ δάκνει, καὶ ἀνθρώ-
ποις δὲ ἐπιτρέχει. βοηθοῦνται δὲ οἴνου μέλανος αὐστηροῦ κοτύ-
λαις τέσσαρσιν ἐγχυματιζόμενοι, καὶ καταλαμβανόμενοι δεσ-
μῷ ἀσφαλῶς, ἢ σικύου ἀγρίου τῆς ῥίζης ἑψηθείσης ἐν οἴνου κο-
τύλαις δυσί, νίτρου λειχθέντος, ἢ πηγάνῳ μετὰ ἡδυόσμου
κοπέντι. χριέσθωσαν δὲ καθόλου τοῦ σώματος ἐλλεβόρῳ μέλα-
νι ἀναζεσθέντι ἅπαξ ἐν ὄξει. μάλιστα δὲ τὴν κεφαλὴν τῆς ῥί-
ψεως πυκνοτέρας γινομένης, γυμναζέσθωσαν μὲν πλεῖον, καὶ
ἀφαιρείσθω αἷμα ἐκ τῶν σκελῶν, καὶ βραχιόνων. κριθὰς δὲ μὴ
προσφέρειν μέχρις ἂν νήψωσι. φασὶ δέ τινες δεῖν αὐτοὺς ἐν τό-
πῳ σκοτεινοτέρῳ, καὶ ἡσυχίαν ἱστᾶν, ὅπερ Ἄψυρτος λέγει μὴ
ὠφελεῖν. ἐκεῖνο μάλιστα πάντων ἐπαινῶν, ἵν' ὅταν αἴσθηταί
τις αὐτὸν ἀρχόμενον μαίνεσθαι, κατακλίνας τοὺς ὄρχεις ἐκτέμ-
νει. παύεσθαι γὰρ αὐτὸν οὕτω τῆς μανίας. Ἄλλο.

Ἐὰν μαίνεσθαι ἄρξηται ἵππος, τοὺς ὀφθαλμοὺς κοιλοτέρους
ἔχει, καὶ τοὺς μυκτῆρας ὀρθοτέρους, καὶ τὰ ὦτα ὀρθά. ἐὰν οὖν ἄρ-
ξηται δάκνειν, οὕτω θεραπεύσεις. αἷμα ἀφαίρει ἀπὸ τῶν σκε-
λῶν καὶ βραχιόνων αὐτοῦ, καὶ τῇ αὐτῇ ἡμέρᾳ μενέτω ἄσιτος,
τῇ ἑξῆς δὲ κατ' ὀλίγον δίδου, καὶ μετὰ τρεῖς ἡμέρας δίδου νή-
στει κωνείου γο α μεθ' ὕδατος συγκεράσας.

ΕὐΜΉΛΟΥ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Εἴωθε μανία λαμβάνειν ζῷον πολλάκις, νοεῖται δὲ οὕτως.
Ἐκλᾷ τὴν φάτνην δήγμασιν, ἑαυτὸν κατεσθίει, ἀνθρώ-
ποις ἐπέρχεται, τὰ ὦτα συνεχῶς κινεῖ, ὀφθαλμοὺς ἑστῶτας ἔχει
καὶ λάμποντας. πέμπει δὲ καὶ ἀφρόν τοῦτον ἐπιμελῶς δέσμει, καὶ
αἷμα ἐκ τῶν σκελῶν καὶ τοῦ σπονδύλου λάμβανε, καὶ τῷ αὐτῷ
αἵματι σὺν οἴνῳ τὸ σῶμα ἀπότριβε, καὶ τὴν κοιλίαν καὶ τοὺς
κροτάφους κεντήμασι πολλοῖς καυτῆρος ἔγκαιε. καὶ ἐὰν ἐνόρ-
χης ᾖ, τοῦτον εὐνούχιζε, καὶ ἐν τόπῳ σκοτεινοτέρῳ κατάκλει-
σον ἔχε, μέχρις οὗ τροφῆς ὀρεχθῇ, καὶ κατ' ὀλίγον μετὰ τὸ πρᾷ-
ον γενέσθαι αὐτόν, θεραπεύσεις οὕτως. κωνείου σπέρματος ὀξυ-
φάβου α, λελειωμένου μετὰ ὕδατος ξε. α, διὰ στόματος ἐγχυμά-
τιζε

μὴ χαλαίνῃ, λῦσον καὶ ἀσφαλτῶσον. Ἄλλο.

Ἐὰν δὲ πύον ἔχῃ τὸ θλάσμα, ἀποχαράξας τὴν ὁπλὴν καταβάθους, καὶ τὸν τόπον καλῶς διανοίξας, καταύτλει ὀξυκράτῳ, καὶ τὸ τραῦμα θεράπευε τῇ ὑγρᾷ, καὶ στέατι αἰγείῳ καὶ προβατείου ἀναχύσας, ξυλοσπογγίῳ ἐπίχριε, καὶ κόπρον ἱππείαν ξηρὰν ἐπάνω ἐπίθες, καὶ ἐπιδέσμευε. ἕξει γὰρ καλῶς.

ἈΨΎΡΤΟΥ
ΠΕΡῚ ΜΑΝΊΑΣ, ΚΑῚ ΛΎΣΣΗΣ.
ΚΕΦΆΛ. ΡΒ.

Ἄψυρτος Γαΐῳ ἱππιατρῷ Ἀλεξανδρεῖ χαίρειν. ἔγραψάς μοι ἐπερωτῶν περὶ τῶν μαινομένων, καὶ λυσσώντων τίσι βοηθήμασι χρῆσθαι. Βοηθοῦνται δὲ ἐγχυματιζόμενοι διὰ τῶν μυκτήρων, οἴνου μέλανος αὐστηροῦ κοτύλαις τέσσαρσι, καταλαμβανομένων δεσμῷ καὶ τῇ διαδέσει. ἢ σικύου ἀγρίου ῥίζαν ἑψήσαντας ἐν οἴνου κοτύλαις δυσί, καὶ τοῦ νίτρου μίξαντας ἐγχυματίζειν, καὶ ἐλλέβορον μέλανα ἀναζέσαντας ἅπαξ ἐν ὄξει, χρίειν καθόλου τοῦ σώματος, μάλιστα δὲ τὴν κεφαλὴν καὶ τῇ ῥινὶ ὑπονοστρόφᾳ χρῆσθαι, καὶ γυμνάζειν ἐπὶ πλεῖον, καὶ ἀφαίρεσιν αἵματος ποιεῖν ἐκ τῶν σκελῶν, καὶ βραχιόνων. κριθὰς δὲ τούτοις οὐ δεῖ προσφέρειν ἄχρις ἂν νήφοντες γένωνται. λέγεται δὲ καὶ ἐν ἡσυχίᾳ δεῖν ἐᾶσαι αὐτούς, καὶ ἐν τόπῳ σκοτεινῷ, ὃ ἡμεῖς ποιήσαντες ἐπιτεινομένους ἔχομεν μᾶλλον, καὶ διαφωνοῦντας. μόνον δὲ δεῖ καὶ δυνατὸν βοήθημα, ὡς ἂν αἰσθητοί τις ἐπαιρόμενον αὐτόν, κατακλίναντα τοὺς ὄρχεις ἐκτέμνειν. συμβαίνει δὲ αὐτῷ διὰ καύματος ὑπερβολήν, ἢ διὰ προσφορὰν ὀρόβων πλειόνων, ἢ δι' ἐπιφορὰν τῇ μήνιγγι αἵματος, ἢ διὰ χολῆς περιεμπιπτούσης εἰς τὰς φλέβας τὰς αἱμαγωγούς, ἢ διὰ φαυλότητα ὑδάτων.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Συμβαίνει τὸ τῆς μανίας, καὶ λύσσης πάθος τοῖς ἵπποις μάλιστα, ἢ διὰ καύματος ὑπερβολήν, ἢ προσφορὰν ὀρόβων πλει-

καὶ τῷ ἐλλυχνίῳ. εἰ δὲ τῆς ἀλγηδόνος ἐπὶ τὸ ἐγχωροῦν παύσαιτο, χρῶ τῷ ὀνυχαλείμματι ἐπὶ πάσης τῆς ὁπλῆς τῷ συγκειμένῳ διὰ τῶν σαυρῶν ὑπὲρ τοῦ αὐξηνθῆναι τὴν ὁπλήν, καὶ οὕτως ἐξελάσας τὴν δοκοῦσαν γεγενῆσθαι ἀνάρρηξιν. τὸ δὲ φάρμακον ἐστὶ τόδε. εἰς χύτραν καινὴν ἔμβαλλε ἐλαίου ξε. τρεῖς, καὶ σαύρας τὰς χλωρὰς καθεὶς εἰς τὸ ἔλαιον, καὶ πωμάσας καθέψησον, ὡς ἐπὶ καυθῆναι τὰς σαύρας εἰς τὸ ἔλαιον, καὶ μετὰ τοῦτο ἐξελὼν τὰ ὀστᾶ αὐτῶν, ἐπίβαλλε ἀσφάλτου λελειωμένης γο ἕξ, καὶ πίσσης ὑγρᾶς ἡμίξεστον, καὶ στέατος χοιρείου παλαιοῦ λίτρας β΄, ταῦτα πάντα καλῶς συνεψήσας, χρῶ ἀλείφων τὴν ὁπλήν. τοῦτο δὲ ποιήσει ἐπὶ τὸ ἐγχωροῦν, καὶ σκληρότερον τοῦ ζώου τὸν πόδα.

Πρὸς τὸ μηδέποτε θλᾶσμα ποιεῖν κτῆνος.

Ἐξερχομένου τοῦ ζώου ἀπὸ τῆς χλόης, λαβὼν φοινικοβάλανον, ἔξελε αὐτοῦ τὸ ὀστέον, καὶ γέμισον τὸν φοίνικα ψιμμυθίου, καὶ δίδου διὰ στόματος, ὑγιῆ αὐτὸν παραπέμπων. τοῦτο ποίει ἀπὸ καιροῦ εἰς καιρόν.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐὰν ἔσω θλᾶσμα γένηται τοῦ ποδός, θεραπεύσεις οὕτως τὸν ἵππον. περιχαράξας τὴν ὁπλήν, κατάπλασσε κριθαῖς ἡψημέναις ἐν ὕδατι, ἢ πίτυρα θερμὰ φυράσας, καὶ μίξας παλαιὰν κόπρον ὀλίγην κατάπλασσε. ἐὰν δὲ τὸ ὀστάριον τὸ ἐν τῇ χελιδόνι φανῇ, μέλιτι καὶ ὄξει χρώμενος, καὶ ἐλλυχνίῳ μόνου ἐπὶ ἡμέραις τρισίν. εἶτα σύμμα ἐπιτίθει, κυπαρίσσου φύλλα λειοτριβήσας μετὰ ὄξους, ἢ μυρσίνης φύλλα ὁμοίως ἐπιτίθει, ἢ σιδίων λέπυρα ἑψήσας ἐν ὄξει, καὶ λεάνας ἐπίθες, ἢ ξηρὰ κόψας ἐπίπασσε, ἢ χαλκάνθης μέρος, καὶ κηκίδας κόψας, τὸ αὐτὸ ποίει, προαποπλύνων ὄξει τὸν τόπον.

ἌΛΛΟ ΠΕΛΑΓΩΝΊΟΥ.

Ἐὰν ἤδη ἤνοικται τὸ θλᾶσμα, κόκκους ἅλατος μίξας μετὰ ὄξους, τῷ ἀνεῳγμένῳ τόπῳ τοῦ ὄνυχος πρόσαγε. θάλπε δὲ καὶ πιτύροις θερμοῖς τὸν ὄνυχα, καὶ μετὰ τρεῖς ἡμέρας ἐὰν ὁ ἰχὼρ παύσηται ῥέων, στυπτηρίαν σχιστὴν μετὰ σινωπίδος καὶ ὄξους μίξας ἐπίθου. ἐπειδὰν δὲ ἡ θέρμη παύσηται, χοιρίαν φῦσκαν ἐπὶ τὸν ἀνεῳγμένον τόπον ἀποσφράγγισον, καὶ ὅταν

μὴ χωλαίν

τοῦ ποδός. ὅταν δὲ ἄνω ἐκρήξῃ, χρὴ στέαρ καὶ ῥητίνην τήξαντα ἐν ταυτῷ, βάλλειν εἰς τὴν περίῤῥηξιν, καὶ εἰς κάτω ῥυπήματα, ἢ μαλάγματι τῷ πρὸς τὰ ῥεύματα συγκειμένῳ, καὶ τάχιον καταβήσεται ἡ ὁπλή. περὶ δὲ τῶν τοιούτων μὴ κενοῦν τὴν φλέβα τὴν ἐν τῇ στεφάνῃ, διὰ τοῦτο γὰρ τὸ ἁμάρτημα συμβαίνει μαρμάρωσις. ἐὰν δέ ποτε συμβῇ θλάσματα μὴ ἐν τῷ ἑνὶ ποδὶ, ἀλλ' ἐν τοῖς πλείοσιν, ἢ καὶ πᾶσι, καὶ κατακείμενος, ἢ καὶ νυστάζων, καὶ μήτε τρώγῃ μήτε πίνῃ, ἀλλὰ καθεύδῃ, ληθαργικός ἐστιν. ὃν δεῖ ἐγχυματίζειν διὰ ἀμφοτέρων τῶν μυκτήρων, ὀξυκράτου μὴ δριμέος κοτύλῃ, καὶ αἵματι ἀλώπεκος προσφάτῳ καταχρίειν τὴν κεφαλήν, καὶ καστόριον τὸ αὐτὸ ποιεῖν λέγεται. τὰ δὲ θλάσματα μάλιστα τοῖς ὑποζυγίοις, καὶ νωταγωγοῖς συμβαίνει, ἤτοι ἡμιόνοις καὶ ὄνοις, διὰ τῶν θλασμάτων οἱ φοίνικες ἐν ταῖς ὁπλαῖς τῶν ἵππων μᾶλλον ῥᾳδίως γίνονται.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ

Ἂν αἴσθῃ γενόμενον τὸ θλάσμα, γνωρίζεται δὲ ἀπὸ τοῦ θερμοτέραν εἶναι τὴν πάσχουσαν ὁπλήν, καὶ ἀπὸ τοῦ ἄκρῳ τῷ ὄνυχι ἐπιβαίνειν τὸν πόδα, ὃν ἀλγεῖ τὸ ζῷον, κριθὰς ἑψήσας, περίθες καὶ ὑπόδησον, εἶτα θερμὸν ὕδωρ ἐπιχέας ταῖς κριθαῖς, πυρίασον ἐπὶ πολὺν χρόνον, καὶ δὶς, καὶ τρίς. καὶ μάλιστα μὲν ἀπὸ τῆς πυριάσεως τῆς πολλῆς διαχυθήσεται τὸ θλάσμα. εἰ δὲ μὴ τοῦτο συμβῇ, πάντως γοῦν πεπανθήσεται, ἢ ἄλευρον κρίθινον ἑψήσας ἐν οἴνῳ κεκραμμένον παρεμβαλὼν, καὶ περιστερᾶς κόπρον κατάπλασσε. ὅπερ εἰ γένοιτο καὶ πεπανθῇ, ἄνοιξον ὡς εἴωθε καθ' ὃν τόπον τὸ θλάσμα γένηται, ἵνα τὸ ὑγρὸν ἅπαν ἐξέλθῃ. καὶ οὕτως διαχρίσας τῷ φαρμάκῳ τῷ διαχαλκάνθης, συγκειμένῳ ἀπόβυσον σπογγιᾷ τὸν τόπον τὸν ἀμυχθέντα, καὶ ποίησον τοῦτο ἕως ἂν ὑγιάνῃ. ἢ εἰ μὴ τούτου εὐποροίης τοῦ φαρμάκου, ἐλλύχνιον λαβὼν, καὶ εἰς ὀξέλαιον ἐμβρέξας, ἐπιτίθει ἐπὶ τὸν ἀνοιχθέντα τόπον, καὶ τοῦτο ποίει, ἕως ἂν ὑγιάνῃ. εἰ δὲ συμβαίνῃ τὸ θλάσμα ἀναῤῥῆξαι εἰς τὸ ἄνω, τουτέστι παρὰ τὴν ἔκχυσιν τῆς ὁπλῆς, ὃ μάλιστα συμβαίνει τοῖς σκληρόποσι τῶν ζῴων, τὰ μὲν πρῶτα χρῶ τῷ ὀξελαίῳ

οντος ποίησον φάσαν, καὶ συμποδίσας αὐτὸ, καὶ βαλὼν ὕπτιον ὥστε μὴ ἐρευθιῶσαι τοὺς ὄρχεις δέσμευε. εἶτα λαβὼν σιδήριον ὀξὺ, ταχὺ τὸ δέρμα ἀπότεμε. καὶ ὅτε αὐτοῦ οἱ ὄρχεις ἐξέλθωσιν, ἔκτεμνε ἀκρίβειαν ποιούμενος, ὥστε μὴ τὰς ῥίζας αὐτοῦ ἆραι, εἶτα ἅλατος αὐτοῦ πλήρου τὴν πληγὴν, καὶ ἀνένδεε αὐτὸ, καὶ ἄφες ἵνα μὴ διοιδήσῃ. καὶ τῇ ἐπαύριον ἐπ' ἂν ὄψει ὅτι αἷμα ἐξ αὐτοῦ οὐκ ἐξέρχεται, λῦσον αὐτὸ, καὶ πίσσαν καὶ ἔλαιον λαβὼν, ἐνάλειφε τοὺς νεφροὺς, καὶ τὴν κεφαλὴν, καὶ τοὺς μυκτῆρας αὐτοῦ καλῶς, καὶ μὴ ἐάσῃς αὐτὸ πολὺ περιπατῆσαι ἕως οὗ ὑγιάνῃ. στηκέτω δὲ ἐν τόπῳ θερμῷ, καὶ κατάχριε τὸ σῶμα αὐτοῦ καθόλου οἴνῳ, μετὰ λιβάνου, καὶ μάννης, καὶ περίβαλλε σάγῳ. καὶ ἐὰν αἷμα ἐκβάλλῃ, ἀμμωνιακοῦ γο α, πρασίου χυλοῦ κύαθον ἅμα μέλιτι μίξας, κατάχριε.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΘΛΑΣΜΑΤΟΣ.

ΚΕΦΑΛ. ΡΑ.

Ἄψυρτος Λάμᾳ Λαοδικεῖ ἑταίρῳ χαίρειν. Βούλομαί σε γινώσκειν, ὅταν ἐκ τῆς ὁδοῦ περῶν, καὶ τῶν ὀπισθίων ποδὶ ἄκρῳ τῶν ὄνυχι ἐπιβαίνῃ, καὶ θερμὴν τὴν ὁπλὴν ἔχῃ ὅτι θλᾶσμα ἔχῃ. δεῖ οὖν εὐθέως ἀποχαράσσειν τὸν πόδα κατ' ὄνυχα ἄκρον παρὰ τὴν ὁπλὴν, καὶ εὑρήσεις ὑγρὸν, καὶ ταχέως ὑγιὴς γενήσεται. ἔσθ' ὅτε δὲ θλᾶσμα συμβαίνει πεποιηκέναι ὡσαύτως ἐν τῷ αὐτῷ τόπῳ μὴ χωλαίνει δέ. ὁ τοιοῦτος οὖν ἐν τῇ στάσει διεπύωσε, καὶ τότε δύγνωστόν ἐστιν ὅτι ὑγρὰ ἔχει, καὶ δεῖ ἀνοίγειν κατὰ τὸν αὐτὸν τόπον. ἐν δὲ τοῖς ἐμπροσθίοις, οὐχ εὑρήσκεται ταχὺ, διὸ δὴ βόλβιτον πρόσφατον ἀνεζεσμένον σὺν ὀριγάνῳ ἐν ὄξει, καὶ ἐλαίῳ ὑποῤῥίπτειν τῷ ποδὶ πολλάκις, ἢ κρίμνα ἐν ὄξει ἀνεζεσμένα. ἢ σῦκα καὶ ἅλας κόψαντα καταπλάσσειν, ἢ ἄγνον ἐν ὄξει ἑψήσαντα καὶ ξίψαντα. διαχεῖ γὰρ τὰ ὑγρὰ, καὶ ἀναστομοῦται εἰς τὴν ἔκρηξιν, καὶ εἰς τὰ κάτω ξυπήματα

ἔκριψον λύσας τὰ μότα, καὶ ὑπόχειε τοῦ πισσελαίου πτεροῖς ἀποβάπτων. καὶ τοῦτο ποιήσεις, ἕως οὗ ἀπουλωθῇ καθ' ἡμέραν χριόμενος. ἐν ᾧ δὲ χειρουργήσεις, ἄφελε τὴν τροφὴν πᾶσαν. τῇ δὲ ἐπαύριον, δώσεις τὸν ποτὸν ἐκ προσαγωγῆς, καὶ τὴν τροφὴν πᾶσαν, περιπατείτω δὲ ἐν ταῖς ἀναψυχούσαις ὥραις. καύματος δὲ στηκέτω, καὶ ὕδωρ μὲν ἔσω θεραπεύσεις ὄντα ἐν τῇ φάτνῃ. ἐὰν δὲ ἐν ἀγέλῃ τέμνῃς, ἔκτεμνε τοῦ καυτηρίου καθὼς προγέγραπται, καὶ ὑπόχειε τοῦ πισσελαίου, καὶ ἀπόλυε αὐτὸν εἰς τὴν νομήν. ἔστω δὲ ὁ καιρὸς τούτων μόνον ἐαρινός. φλεγμονῆς δὲ γινομένης τοῦ ἐπὶ τῇ φάτνῃ ἑστηκότι, χρήσῃ κιμωλίᾳ μετὰ ὄξους καταχρίων. τοὺς δὲ μονόρχεις, περικόπτειν οὐ δεῖ. ἐν τῇ ἐκτομῇ γὰρ εὐάλωτοί εἰσιν, καὶ ἐπισφαλεῖς. ὅταν δὲ ἀναστὰς μετὰ τὴν ἐκτομὴν χρεμετίσῃ, ῥᾳδίως οὐ περιγίνεται. λέγεται δὲ τὸν δευτερόβολον ὀρχοτομηθέντα τοὺς λοιποὺς ὀδόντας μὴ ἀλλάσσειν, μὴ δὲ τοὺς κυνόδοντας ἐκφύειν μεγάλους. ἐν δὲ τῇ πωλικῇ ἡλικίᾳ ὄντων, οὐκ ἔστιν ἰδεῖν τοὺς ὄρχεις. δεῖ δὲ εἰδέναι ὅτι οἱ ὀρχοτομούμενοι, ὡς ἐπὶ τὸ πλεῖστον, μᾶλλον οὐκ ἐμπίπτουσιν, οὔτε μὴν ὑπὸ ῥεύματος ῥᾳδίως ἐνοχλοῦνται περὶ τῶν σκελῶν, οὔτε χοιράδας ποιοῦσιν.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ὅπως μὲν δεῖ ἐκτέμνειν ἵππον, ἀποχρώντως Ἄψυρτος διδάσκει. τοσοῦτον δὲ ἐνταῦθα εἰπεῖν ἄξιον, ὡς ἡ τοῦ ἦρος ὥρα καὶ τοῦ φθινοπώρου, εἰς τὴν τῶν ὄρχεων ἐκτομὴν ἁρμόζουσι, καὶ ὡσαύτως μονόρχεις χρὴ μὴ ἐκτέμνειν, ἐπισφαλοῦς οὔσης τῆς ἐκτομῆς. ἐὰν δὲ ἐκτμηθεὶς, μετὰ τὴν ἐκτομὴν ἀναστὰς χρεμετίσῃ, σημεῖον, ὅτι οὐ ῥᾳδίως περιγίνεται. φασὶ γε μὴν τὸν δευτερόβολον ἐκτμηθέντα, τοὺς λοιποὺς ὀδόντας μὴ ἐναλλάττειν, μὴ δὲ τοὺς κυνόδοντας ἐκφύειν μεγάλους.

Περὶ ἐκτομῆς ὄνου.

Ὄνον ἐκτέμνειν χρὴ διετῆ οὕτως. λίνῳ ἀποδήσας τοὺς ὄρχεις, καὶ καταλαβόμενος, λοξῶς ἐπίτεμνε, ἵνα δὲ μὴ ἐπακολουθήσῃ φλεγμονὴ, ἀπότεμνε τῷ καυτηρίῳ.

Περὶ καρυδώσεως.

Εἰ βούλει καρυδῶσαι κτῆνος, μηνὶ μαΐῳ ἀνέμου βορέου πνέ-

τῇ νεαρότητι, διοιδοῦντες, καὶ πιμπλῶντες τὰς γαστέρας, καὶ πολλάκις ῥηγνύντες. δεῖ οὖν ὀλιγώτερα τὰ νέα παραβάλλειν σιτία τοῖς ζώοις ἐναποβρέχοντας πρῶτον εἰς ὕδωρ, ἵνα τὴν ἄρσιν τοῦ μεγέθους αὐτῶν ἔξω ποιησάμενα, τῷ ἐν ὕδατι τὴν ὠμότητα καταλίπωσιν. ἀκινδύνως δὲ διαμένωσι τὰ ζῶα μὴ βλαβέντα, καὶ καλῶς ἔχωσι τὴν τροφήν. ἂν δὲ ἄρα ποτὲ ἀκουσίως, ἢ αὐτῇ τῇ τοῦ ἱπποφορβοῦ γνώμης, τὸ ζῶον οἷα γίγνεται ἀπὸ τῶν θημονιῶν, ἢ τῇ ἄλλῃ αὐτῆς φάγῃ πλέον, θεραπεύειν αὐτὸ ἐγκλύσμασι καὶ φλεβοτομίαις, ἀπό τε ἀγκώνων, καὶ βραχιόνων. ἐκεῖνα γὰρ εἴωθε τὰ μόρια, πρῶτον ἡ ὠμότης συνδεσμεῖν, καὶ καθάπτεσθαι τῶν ἐν αὐτοῖς νεύρων. προλαβὼν οὖν καὶ κνήσας τὸν τόπον τοῦτον ἅμα τῇ τοῦ αἵματος ἀφαιρέσει, καὶ τὴν βλάβην τοῦ ὀφείλοντος πάσχειν ἀφελεῖς μορίου.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΕΥ̓ΝΟΥΧΙΣΜΟΥ͂.

ΚΕΦΆΛ. Ρ.

Ἄψυρτος Εὐδόξῳ τῷ μεῖ χαίρειν. ἱπποτροφοῦντά σε εὔχρηστον εἰδέναι οἷς δεῖ καιροῖς εὐνουχίζειν τοὺς ἵππους, καὶ τίνι τρόπῳ. ἀρίστη δὲ ὥρα τῆς ὀρχοτομίας ἐαρινὴ καὶ φθινοπωρινή, ἐξετέμομεν δὲ καὶ θερείας, καὶ οὐδὲν ἠδικήσαμεν. δεῖ δὲ τέμνειν οὕτως. κατακλίναντα τὸν ἵππον, καὶ καταλαβόμενον τοὺς πόδας ἐκλαμβάνειν τοὺς ὄρχεις ἴσους, καὶ ἀποδεσμεῖν τῇ ὠλαβίδι, καὶ τέμνειν τὴν περὶ αὐτοὺς βύρσαν μόνην ὅσον ἱκανόν, δι' ἧς ἐκβληθήσονται. τέμνων δὲ ἐπιθήσεις πόρπακας λινοῦς, ἢ καννάβινους περὶ ἑκάτερον δύο. καὶ τότε τέμνε τοὺς χιτῶνας, εἶθ' οὕτως ἔκθλιβε, καὶ καυτηρίῳ ἀπότεμνε τοὺς κρεμαστῆρας περὶ αὐτὸν τὸν ὄρχιν, προτιθεὶς ἐκ τοῦ ὀπίσω μέρους, μὴ κατὰ τὴν ἐμπροσθίαν. ἔστω δέ σοι τὸ καυτήριον ὡς ὅτι διάπυρον, ἵνα ἐν ἑνὶ ἀφέλῃς. εἰ δὲ μή γε, δευτέρῳ. πλείονα γὰρ προσφερόμενα, φλεγμονὴν ποιεῖ. καὶ τίλματα ῥάκους ποιήσας, καὶ ἔρια διάβροχα πισσελαίῳ, ἔνθες, καὶ ἀπόδησον τοὺς πόρπακας, καὶ τῇ τρίτῃ

ἔκριψον

θίνην ἐπὶ ἡμέραις πέντε, καὶ οὕτως φλεβοτόμησον καὶ τὸ αἷμα δεξάμενος πᾶν, μίξον ἐν αὐτῷ ἔλαιον, καὶ ὄξος, καὶ νίτρον, καὶ ἀνὰ ῥίχα κατάχριε τὰ ζῶα ἀπὸ κεφαλῆς ἄχρι ποδῶν, καὶ ἀναῤῥίψας ἐπιμελῶς, στῆσον ἐν ἡλίῳ ἵνα ξηρανθῇ. ἔπειτα εἰσάγαγε εἰς τὴν ἱπποστασίαν, καὶ παράβαλλε τὴν κρᾶσιν ἐπὶ ἄλλαις ἡμέραις πέντε μὴ ψήχων αὐτά. τῇ δὲ ἕκτῃ ἐξαγαγὼν τῆς φάτνης λοῦσον, καὶ ἀπόμαξον σαβάνοις τραχέσιν ὅτι μάλιστα, ὅπως ἐξικμασθῇ ἀπ' αὐτῶν πᾶν τὸ ὑγρόν, καὶ στῆσον ἐν τῇ φάτνῃ, καὶ παράβαλλε κρᾶσιν ἡμέρας ιδ', καὶ ἕξεις αὐτοὺς πίονας, καὶ ὑγιεῖς, καὶ καλούς. χλοαζομένοις δέ, χρὴ διδόναι συνεχῶς ἅλας, ἐπί τινος πίνακος ἢ σανίδος, ἵνα ὅσον θέλουσιν χωρὶς ἀνάγκης λαμβάνωσι. τοῦτο δὲ γινέσθω μετὰ τὸν ποτόν, καὶ τριβέτω τις τῇ χειρὶ ἅπαν τὸ σῶμα αὐτῶν ἁλσί, τούτου γὰρ γινομένου, οὐδὲ τὸ τῆς ἄφθης πάθος αὐτοῖς προσγενήσεται, ὅ ἐστιν ἕλκωσις στόματος.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ͂ ΠΛΗΣΜΟΝΗ͂Σ, ΚΑΙ῀ ὨΜΟ΄ΤΗΤΟΣ.

ΚΕΦΑ΄Λ. ϞΘ.

Ἄψυρτος παπίᾳ ἱππιάτρῳ ἀντιοχεῖ χαίρειν. ἐν πλησμονῇ καὶ ὠμότητι πολλοῖς γέγραπται βοηθήματα. ἄριστον δὲ ἡ φλεβοτομία ἐκ τῶν ἀγκώνων καὶ βραχιόνων. θερμὴ γὰρ ὑπάρχουσα ἡ σύστασις τοῦ ζώου, ταχέως ἀνάδοσιν λαμβάνει ἐκ τῶν σιτίων τῆς ὠμότητος, διὸ δεῖ αἷμα ἀφαιρεῖν, καθὼς ἄνω γέγραπται. συμβαίνει γὰρ ἐκ τούτου τοῦ πάθους, μεταβαίνειν τὸν ἵππον εἰς πυρετὸν καὶ ἔστι δυσβοήθητος.

ΘΕΟΜΝΗ΄ΣΤΟΥ ΕΙ῎Σ ΤΟ῀ ΑΥ῎ΤΟ΄.

Ὀξὺ πάθος ἡ πλησμονὴ σὺν ὠμότητι. τοῦτο δὲ συμβαίνει, ὅταν νέων ἅπτωνται τὰ ζῶα καρπῶν, οἱ μὴ δὲ πω τὴν ἐκ τοῦ χρόνου πέψιν ἔχοντες. λυπεῖν εἰώθασι τὰ ζῶα

ἡμέραις τρισί. μάλιστα μὲν εἰ ἐγχωρεῖ, τεσσαρεσκαίδεκα, ἐπεί γε μὴ ἔλαττον ἑπτὰ, ἢ ἐννέα, ἵνα ὡς ὅτι μάλιστα πιότατος γένηται. χρήσιμον δὲ χλοαζομένῳ αὐτῷ παραβάλλειν ἅλας, ὡς μὴ τὴν λεγομένην ἄφθαν τῷ στόματι αὐτοῦ ἐπιγίνεσθαι, ὅθεν τινὲς ἔφασαν βέλτιον εἶναι ἐν παραθαλασσίοις μέρεσιν ἐσπαρμένην εἶναι τὴν κρᾶσιν. εἰ δὲ συμβαίνει ἐν τῷ καιρῷ τούτῳ ὑπὸ μάλεως ἔχεσθαι, ἢ πειράζεσθαι, μὴ βόσκειν αὐτὸν ἐν ὑπαίθρῳ. δυσχερῶς γὰρ ὑποφέρει τὴν βύρσαν τὸ πάθος, καὶ γίνεται ψωρίασις, ἐξῆς ἐνίοτε τοῖς καύμασι, καὶ εἰς μανίαν ἐκτρέπεται τὸ ζῶον. δεῖ οὖν αὐτῷ ὑπὸ στέγην παραβάλλειν τὴν κρᾶσιν προκαθάραντα διὰ τοῦ σικύου, καὶ τοῦ νίτρου. πέρας μὲν οὖν ἔχει τὸ σύγγραμμα. συντάγματα δὲ καὶ βοηθήματα τούτῳ ὑποτετάξαμεν, ἵν' ὑπάρχει πᾶσι γινώσκειν πῶς ἕκαστα τούτων κατασκευάζεται.

ΘΕΟΜΝΗΣΤΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὁ καλῶς ἵπποις καὶ ἡμιόνοις τὴν τῆς ὑγιείας προφυλακὴν ποιούμενος, οὐχ ὡς ἔτυχεν περιποιεῖται. φυσικὴ γὰρ ἐστὶ κάθαρσις, πρὸς ὥρα γινομένη τοῦτον τὸν τρόπον. ὅταν ὁ καιρὸς ἐπιστῇ τῆς χλόης περὶ τὰς ἀπριλλίου μηνὸς εἰδοὺς, εὐδιεινὸν ἐπιλεξάμενος ἡμέρας κατάστημα, ἐξάγαγε τοὺς ἵππους καὶ τὰ ἄλλα ζῶα τοῦ ἱπποστασίου, καὶ ἄφες βοσκηθῆναι ἀγρίαν χλόην πρῶτον ἡμέραν μίαν, εἶτα τῇ ἐπιούσῃ ἐμφύσησον αὐτὸν εἰς τὰς ῥῖνας φάρμακον ξηρὸν, οὗ ἡ σύνθεσις αὕτη. κοκκορίζου, πεπέρεως, γλήχωνος, ὀριγάνου ἀνὰ γο α, φύλλον ἴτεως, κόστου, σικύου ἀγρίου ῥίζης ὅτι μάλιστα λεπτοτάτης ἀνὰ γο ς, πάντα κόψας καὶ σείσας λεπτῷ κοσκίνῳ, ἐμφύσα διὰ καλαμίσκου εἰς τοὺς μυκτῆρας, καὶ ἀνακρεμάσας ὡς ἡμιώριον, ἄφες βοσκηθῆναι ἐπὶ ἡμέραις ἄλλαις τρισὶν, ἵνα πᾶν τὸ ἐν ἐγκεφάλῳ ἀπὸ τοῦ χειμῶνος ὑγρὸν σύστημα φλεγματῶδες, ὃν τῇ κατανεύσει τῆς κεφαλῆς ἐν τῇ νομῇ καταρρυὲν ἐκκενωθῇ. οὕτω γὰρ οὔτε μάλις, οὔτε παρίσθμια, οὔτε χοιράδες γίνονται τοῖς ζώοις. καὶ μετὰ ταῦτα πάλιν ἄγε ἐπὶ τὴν ἱπποστασίαν, καὶ παράβαλλε ἄγριον χόρτον ἐπὶ ἡμέραις πέντε. τῇ δὲ ἑξῆς, ἄρξαι διδόναι τὴν κρᾶσιν. κάλλιον μὲν πύρινον. εἰ δὲ μὴ, κρι-

θινην

φλέβας, ἢ τὴν ὑπερῴαν, ἵνα τὸ προϋπὸν αἷμα ἀπὸ τῶν ξηρῶν, οὔτε ἰχῶρες ὑπόχυσιν λαμβάνωσιν, οὕτω τε τὸν νέον εἰς καθαρὰς τὰς φλέβας, καὶ τὴν ὑπερῴαν. διαιτηθεὶς γὰρ οὕτως ὁ ἵππος οὐ ῥᾳδίως ἐμπίπτει εἰς ἀῤῥωστήματα, καὶ μοχθηρίας ὑπομένει. ὠφέλιμον δὲ ἢ τῶν χλοαζομένων ἄλλας παραβάλλειν τῷ ἵππῳ, ἵνα μὴ συγχρίασις γένηται, ἥν τινες ἄφθαν καλοῦσιν ἐν τῷ στόματι. μηδέποτε δὲ ἵππον βόσκειν ἐν τῷ ὑπαίθρῳ μάλιν ἔχοντα. εὐχερῶς γὰρ ὑποφέρει τῇ βύρσῃ, καὶ γίνεται ψωρίασις, ἐξ ἧς, καὶ μανία γίνεται τοῖς καύμασιν. δεῖ οὖν τὸν τοιοῦτον ἑστῶτα ὑπὸ τὴν στέγην παραβάλλειν. ἄριστον δὲ προκαθάραντα διὰ τοῦ σικύου καὶ τοῦ νίτρου χλοάζειν.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐνέτυχόν ποτε συγγράμματι Διοκλέους δοκιμωτάτου προσφωνοῦντός τινι τῶν βασιλέων Ἀντιγόνῳ οἶμαι, ὑγιεινὰ παραγγέλματα, οἷς χρώμενός τις εὐδοκιμήσει. καλῶς οὖν ἔχει καὶ ἡμᾶς εἰπεῖν. ὅπως δεῖ κατὰ τὴν τοῦ ἦρος ὥραν γρασίζειν τοὺς ἵππους, τὴν χλωρὰν αὐτοῖς παραβάλλοντας πόαν, διεπιθέντες γὰρ καλῶς, οὐκ ἐμπεσοῦνται εὐμαρῶς, εἰς τὰ ἀῤῥωστήματα, ἡνίκα αὐτὸ ὁ καιρὸς ἐπιστῇ τῆς χλόης, ἐξ αὐτῆς τὸν ἵππον ποίησον βοσκηθῆναι χόρτον ἄγριον ἡμέραν μίαν, εἶτα τῇ ἐπιούσῃ ἀναφυσήσας τὰς ῥῖνας ἀναφυσήματι τῷ συγκειμένῳ διακοκκορίζου, καὶ φύλλου καὶ κόστου, καὶ ἴρεως καὶ πεπέρεως, εὐθέως ἄφες εἰς τὴν νομὴν, ἡμέρας δύο ἢ τρεῖς, ἵνα ἐπικύπτων μετὰ τὴν ἀναφύσησιν, πᾶν τὸ ἐγκείμενον τῇ κεφαλῇ ὑγρὸν, ἐκβάλῃ διὰ τῶν ῥινῶν καὶ μετὰ τὸ ἡμέραις βοσκηθῆναι τρισὶν, εἰσάγαγε εἰς τὴν ἱπποστασίαν, καὶ χόρτον ἄγριον παράβαλλε ἐπὶ τέσσαρσιν ἡμέραις. παράβαλλε δὲ καὶ τὴν γράσιν. μάλιστα δὲ πυρίνην. εἰ δὲ μὴ, κριθίνην ἐπὶ ἡμέραις πέντε, καὶ μετὰ τοῦτο φλεβοτόμησον τὸν ἵππον, καὶ τὸ αἷμα ἐκβαλὼν, μῖξον νίτρῳ ἢ ὄξει, καὶ ἐλαίῳ, ἢ ᾠοῖς, καὶ οὕτως περίχρισον τὸ ζῶον, καὶ στήσας ἐν ἡλίῳ, ἕως τὸ χρῖσμα ἅπαν ξηρανθῆναι, χρῶ τῇ γράσει, μάλιστα μὲν ὡς προείπομεν πυρίνῃ. εἰ δὲ ταύτης ἀπορῇς, κριθίνῃ, ἐπὶ ἡμέραις πέντε. μετὰ δὲ τὸ πληρωθῆναι τὰς ἡμέρας, ἐξάγων τῆς ἱπποστασίας, λοῦσον τὸν ἵππον καὶ ἀπόμαξον σαβάνοις ὡς πᾶσαν ἀπομαγῆναι τὴν ἰκμάδα, εἶθ' οὕτως στήσας τὸ ζῶον, παράβαλλε τὴν γράσιν ἐπὶ

τῆς ξε. α, ἀλεύρου χνοὸς ξε. ἰταλικοῦ τὸ ϛʹ, τὸ ὄξος θερμήνας μετὰ τῆς πίσσης ἐπειδὰν καλῶς ζέσῃ, τὰ λοιπὰ ἐπιβαλὼν, εὐκράτως κατάχριε, καὶ μετὰ τοῦτο κάνναβιν κόψας καὶ ποιῶν ἐλλύχνια ἐπιτίθει συνδέων τὸν τόπον.

Κατασκευὴ καυστῆρος.

Σεῦτλα εἰς ὕδωρ καθεψήσας, καὶ τὸν τούτων χυλὸν νίτρῳ καὶ ἐλαίου ἡμίνῃ μίξας, καυτηρίασον.

ΑΨΥΡΤΟΥ

ΠΩ͂Σ ΔΕΙ͂ ΓΡΑΣΤΊΖΕΙΝ.

ΚΕΦΆΛ. ϘΗ.

Ἄψυρτος Ὠρίωνι Μαρκέλλῳ χαίρειν. ἔγραψάς μοι ἐπερωτῶν τίνα τρόπον τοὺς ἵππους δεῖ γραστίζειν. ἔστι γὰρ ἀναγκαιοτάτη καὶ πρώτη θεραπεία, τὸν ἵππον ἰδίᾳ στήσαντα, παραβαλοῦμεν τὴν γράστιν, μηδὲν ἕτερον τῶν τρεφόντων παραβάλλοντες. ἄριστον μὲν οὖν ἐστὶ ταύτην πυρίνην. εἰ δὲ μὴ, κριθίνην, ἣν δώσομεν μέχρις ἡμερῶν πέντε, ἀπὸ δὲ τούτων διπλασίονας ἄλλας. ὑπάρχει δὲ βέλτιον, ἐὰν ἡ παρὰ θάλασσαν ἐσπαρμένη. εἰ δὲ οὐκ ἔστι, τῇ παρούσῃ χρησόμεθα, καὶ κριθῶν καθ' ἑκάστην ἡμέραν προστιθέντες ἡμιχοίνικον. ὅταν δὲ ἔλθωμεν εἰς τὸ τεταγμένον, μειοῦμεν διδόντες τὴν εἰθισμένην ταγὴν, καὶ χλωρὸν χόρτον μὴ ἐλλείποντες, ἐφ' ἴσον ἐὰν ᾖ χρόνον. ἀπὸ δὲ τῶν πρώτων ε, προάξομεν αὐτὸν καὶ λούσομεν, ὥστε καὶ νήχεσθαι, εἶτα ἀποξύσαντας τὴν ὑγρασίαν πᾶσαν δεῖ ἀναφυσᾶν οἴνῳ καὶ ἐλαίῳ, καὶ τρίβειν ταῖς χερσὶ παρὰ τρίχα, μέχρις ἂν μηδεμίαν ἰκμάδα τὸ χρῶς ἔχῃ, καὶ τὰς λοιπὰς παραβάλωμεν καθὼς προγέγραπται μετὰ τῶν κριθῶν. ἐὰν δὲ συμβῇ ποτε ἐνδεῆ γενέσθαι τὴν γράστιν μὴ ἴσον δοθῆναι ἐκ τῶν δέκα τὰς πέντε. καταστήσομεν δὲ καὶ παραβάλωμεν τοῦ μηνὸς λήγοντος, συμμετρούμενοι τὰς ε, μέχρι τῆς τριακάδος, ἵνα τῇ νουμηνίᾳ ἀρξώμεθα, τὰς λοιπὰς μετὰ τῶν κριθῶν γραστίζειν μέχρι τῆς δεκάτης τοῦ μηνός. ἀναγκαῖον δὲ ἔχει παραβάλλοντας τὴν γράστιν, φλεβοτομεῖν αὐτὸν, διακόπτοντας τὰς ἐν τῷ στήθει

φλέβας

πηκτὰ τήξας, ἐπίβαλλε τὸν ὀποπάνακα προλελειωμένον, καὶ βαλὼν εἰς τρούλλαν, καὶ κινῶν τῇ σπάθῃ, κατάχριε. ἐὰν δὲ κατάσκληρον γένηται, πρόσμιγε ἀξουγγίου παλαιοῦ λελυμένου, καὶ ἀμμωνιακοῦ τὸ ἀρκοῦν. καὶ αὐτὸ δὲ τὸ ἰξοῦ καλῶς ποιεῖ. καύματος δὲ ὄντος, ἵνα μὴ λυθῇ τὸ κατάχρισμα, πρόσβαλλε ἀποξύσματος πλοίου γο ξ, καὶ οὕτως κατάχριε. ἐὰν δὲ μὴ ᾖ ξύσμα πλοίου, αἰθάλης παλαιᾶς γο δ. ἔστι δὲ τῶν καυστικῶν καταχρισμάτων ἄριστον.

Κατάχρισμα καυστικόν.

Ἀσφάλτου ἰουδαϊκῆς, στυπτηρίας σχιστῆς ἀνὰ γο ϛ, ἀξουγγίου παλαιοῦ λίτραν α, λιθαργύρου γο γ, χαλβάνης, ὀποπάνακος ἀνὰ γο α, ὄξους σκιλλιτικοῦ ξε. α, ἐλαίου ἡμίναν μίαν.

ΑΛΛΟ ΠΕΛΑΓΩΝΙΟΥ.

Λιθαργύρου λίτραν μίαν, ἀμμωνιακοῦ γο γ, λεπίδος κυπρίας, γο ξ, ῥητίνης φρυκτῆς γο ξ, κηροῦ λίτραν μίαν, χαλκοῦ κεκαυμένου γο γ, ψιμμυθίου γο ξ, ἐλαίου ξε. ἥμισυ.

Καυστικὸν πρὸς ὤμους καὶ ἁρμονίας καὶ κόξας.

Χαλβάνης γο ξ, ἀμμωνιακοῦ γο δ, πίσσης βρεττίας γρά. ε, ἀσφάλτου γο δ, ἀψινθίου γο β, βδελλίου, μήκωνος σπέρματος, προπόλεως, λιβάνου ἀλεύρου, δαφνοκόκκων, ῥητίνης κολοφωνίας ἀνὰ γο β, δικτάμνου γο ε, ῥητίνης γαστρικῆς γο ε, κηροῦ λίτρας δύο. Ἄλλο.

Κηροῦ λίτραν μίαν, ἀσφάλτου λίτραν μίαν, ῥητίνης τερεβινθίνης λίτραν α, ἀμμωνιακοῦ γρ ξ, βδελλίου γο α, οἰσύπου γο μίαν, χαλβάνης γο γ, στύρακος γο γ, μάννης γο α, στυπτηρίας σχιστῆς γο γ, ὄξους γο δ, ἐλαίου καρυΐνου γο α, ἐλαίου παλαιοῦ γο μίαν, νίτρου γο μίαν, πεπέρεως γο β, ἰξοῦ γο β, πετροσελίνου γο μίαν, προπόλεως γο β.

Ἄλλο.

Κηροῦ λίτραν μίαν, ῥητίνης φρυκτῆς γο ξ, ἀμμωνιακοῦ γο γ, κώνης γο γ, βδελλίου γο α, χαλβάνης γο α, ἀσφάλτου ἰουδαϊκῆς γο ξ, ἀξουγγίου παλαιοῦ γο ξ, οἴνου κυάθους τρεῖς.

Ἄλλο.

Ὄξους σκιλλιτικοῦ ξε. ἥμισυ, σινωπίδος γο β, ῥητίνης φρυκ

Πρὸς πόνον κόξης.

Συγχρίσμασι χρῆσαι ἐπὶ ἡμέραις η̄, εἰ δὲ ἀνάγκη ἐπείγοι, φλεβοτόμει, καὶ χρῶ βοηθήματι τούτῳ. εὐφορβίου, ἁλὸς κοινοῦ ἀνὰ γο̄ δ̄, πίσσης ὑγρᾶς γρά. τέσσαρα, συνεψήσας χρῶ.

ΑΨΥΡΤΟΥ ΚΑΥΣΤΙΚΟΝ

πρὸς κοξαλγίους.

Χαλβάνης, ὀποπάνακος, μυελοῦ ἐλαφείου, τερεβινθίνης, ἀμμωνιακοῦ, βδελλίου, προπόλεως, ἱεροκομάγματος, ὄξους, πίσσης ξηρᾶς, πίσσης ὑγρᾶς, ἀσφάλτου ἰουδαϊκῆς, ἐλαίου κυπρίνου, ῥητίνης ἀφροῦ, τουτέστιν ἀποφυσήματος, στέατος ταυρείου, κηροῦ ἀνὰ λίτρας δύο. Ἄλλο.

Χαλκίτιδος λίτραν μίαν, μέλιτος, ἀλόης, ἀνὰ γο̄ ἕξ, ὄξους ξε. ᾱ, προβατείου ἀξουγγίου, καὶ κηροῦ ἀνὰ λίτραν μίαν, ῥόδων οὐγγίας ἕξ.

Καυστικὸν πρὸς νεύρων πόνους.

Στύρακος λίτραν β̄, χαλβάνης, βδελλίου, προπόλεως σκολοφωνίας, οἰσύπου, ἀμμωνιακοῦ θυμιάματος, πίσσης ξηρᾶς, δαφνίδων ἀνὰ λίτραν μίαν, ἀσφάλτου, ὄξους ἀνὰ οὐγγίας ἕξ.

Σύνθεσις καυστικοῦ.

Κηροῦ λίτρας ε̄, προπόλεως ἀττικῆς λίτραν δ̄, ἀμμωνιακοῦ λίτραν δ̄, χαλβάνης λίτραν μίαν, ὀπίου λίτραν δ΄, ὀποπάνακος ἀφροῦ λίτρας δ̄, ἀσφάλτου ἰουδαϊκῆς λίτραν μίαν, πίσσης βρυττίας λίτρας ῑ, ἐβίσκου λίτρας β̄, ῥητίνης πιτυΐνης λίτρας δ΄, ῥητίνης φρυκτῆς λίτρας δ̄, στύρακος λίτραν β̄, βδελλίου λίτραν δ̄, μυελοῦ ἐλαφείου λίτραν μίαν, στέατος ταυρείου γο̄ ἕξ, ὀπίου λίτρας β̄, θείου ζῶντος λίτρας ιβ̄, μέλιτος κοτύλας β̄, οἴνου παλαιοῦ κοτύλας δ̄, χαμαιμήλου τετριμμένου γο̄ ᾱ. ταῦτα συντρίψας εἰς ἕν, καὶ βαλὼν εἰς σκεῦος χαλκοῦν, χρῶ πρὸς πάντα τὰ πρόσφατα ἕλκη.

ΙΕΡΟΚΛΕΟΥΣ

κατάχρισμα καυστικόν.

Ἀποχύματος ῥητίνης φρυκτῆς, ἀσφάλτου ἰουδαϊκῆς, πίσσης, κηροῦ, ἰξοῦ, ἀνὰ λίτραν ᾱ, ἀμμωνιακοῦ γο̄ ἕξ, λιβανωτοῦ γο̄ δ̄, χαλβάνης γο̄ β̄, ὀποπάνακος γο̄ β̄, τὰ

τηκτὰ

γίνωσκε τὴν δυσιάτως ἔχειν, καὶ ἐῤῥηχέναι τι τῶν ἔνδον αὐτοῦ, ἢ ἀπεσπᾶσθαι τοὺς νεφρούς.

Ἄλλο κατάπλασμα καυστικόν.

Τιτάνου μέρος ἓν προσφάτου, καὶ τρυγὸς οἰνηρᾶς κεκαυμένης, ἴσον φυράσας κονίᾳ χοινικῇ, ἢ ἀπὸ καλάμης κυάμων, ἢ ἀπὸ ἐλαίας πυρήνων τούτῳ χρῆσαι προσφάτῳ. ἢ κάππαριν τρίψας πρόσφατον ἐπιτίθει, ἢ τηλεφίλου φύλλα τρίψας, καὶ διεὶς ὀπῷ συκῆς καὶ ὄξει, ἢ προσφάτου τιτάνου δραχμὴν, καὶ νίτρου ἀφροῦ δραχμὰς γ΄, καὶ τρυγὸς ὀξυρᾶς κεκαυμένης ὁλκὰς δύο, ἑψήσας ἐν κονίᾳ δριμείᾳ χρῶ.

Καυστικὸν ἐπὶ τῶν χαλασμάτων.

Ἐν τοῖς ἄρθροις, ἢ ἐν ἄλλῳ οἱῳδήποτε τόπῳ, οἰδημάτων ἢ σκληρωμάτων, ἢ μελικηρίδων προσφάτων ἐκ πληγῆς, ἢ ἄλλης τινὸς αἰτίας, ἢ καὶ αὐτομάτως γινομένων, ἐστι θεραπεία αὕτη. ἀσφάλτου στατῆρας η΄, κολοφωνίας ῥητίνης στατῆρας δ΄, πίσσης ξηρᾶς στατῆρας δ΄, κηροῦ στατῆρας ἕξ, χαλβάνης στατῆρα ἕνα, τιτάνου στατῆρα ἕνα, πάντα ὁμοῦ συνθερμάνας ὅσον ἡ χεὶρ ἀνέχεται, κατάχριε.

Καυστικὸν πρὸς νεύρων πόνους.

Χαλβάνης, στύρακος, βδελλίου, λιβάνου ἀλεύρου, πίσσης βρυτίας, ἀσφάλτου, ἐπίσης πάντα βαλὼν, ἐπὶ τὰ ξηρὰ λειώσας, καὶ τοῖς ὑγροῖς συμμίξας χρῶ. Ἄλλο.

Ἀρσενικοῦ γο α΄, ἀσβέστου γο ς΄, ἰδίως τρίψας καὶ μίξας χρῶ.

Ῥητίνης κολοφωνίας, ἀσφάλτου ἰουδαϊκῆς, θείου ἀπύρου, πίσσης νεαρᾶς, κηροῦ ἴσῳ σταθμῷ μετὰ στέατος τραγείου συνεψήσας χρῶ.

Ἐπὶ ἑλκῶν καυστικόν.

Χαλκάνθης ὁλκὰς β΄, στυπτηρίας σχιστῆς γο τὸ ς΄, χαλκίτιδος γο μίαν, ἰοῦ ξυστοῦ γο ς΄. ταῦτα κόψας, καὶ λειώσας σὺν ὄξει δριμυτάτῳ λευκῷ, ἕψησον ὁμοῦ ἐν χαλκείῳ ἕως ζέσῃ ἅπαξ καὶ πάλιν λεῖον, παρεμβαλὼν σμύρνης ὁλκὴν, εἶτα ἀπόθου, καὶ χρῶ δι' ὄξους.

Μάλαγμα καυστικόν.

Προπόλεως γο β΄, χαλβάνης γο μίαν, βδελλίου γο γ΄, ῥητίνης λίτραν α΄, ἀσφάλτου γο γ΄, πίσσης βρυτίας λίτραν α΄, ἀμμωνιακοῦ λίτραν α΄.

ἅτινα ἐν τοῖς ὀπίσω σκέλεσι γίνεται, τίνα δεῖ καίειν, καὶ πότε ἐροῦμεν ὅτι τότε καύσομεν αὐτά, ὅταν ᾖ πρόσφατα. πώρων δὲ γενομένων ἀφαιμάξομεν. σφυρὰ δὲ καὶ γόνατα καὶ ὅσα περὶ τὰ νεῦρα μέρη, καύσομεν πεφεισμένως. ἐνδοτέρω δὲ οὔ, ἐπεὶ χωλεύομεν τὰ νεῦρα καίοντες. καὶ ὅταν δὲ ἀπὸ δρόμων καὶ ὁδοιποριῶν ῥυσὰ τὰ γόνατα καὶ καμπύλα ᾖ ἐκ προσκρουσμάτων, καὶ ἀλγῶσιν αὐτά, καὶ χρονίως χαλαίνωσιν, ἢ καὶ ὁδοιποροῦντα πέσῃ, καὶ διάστασις γένηται τῶν ὀστέων, καύσομεν μέχρι βύρσης. γίνεται δὲ καὶ περὶ τὰ σφυρὰ ἀλγήματα τοῖς ὑποζυγίοις, ἢ διὰ ὁδοιποριῶν μακρῶν, ἢ φορτίων, καὶ συμβαίνει αὐτοῖς πονεῖν τὰ νεῦρα, καὶ τὰς ἀρτηρίας ἀνοιδαίνειν, μείζονά τε γίνεται τὰ σφυρὰ παρὰ φύσιν, καὶ μάλιστα προκοπτόντων τῷ χρόνῳ. καλοῦσι δὲ τὰ τοιαῦτα ζῷα παράσφυρα, καὶ ταῦτα οὖν δεῖ καίειν πεφεισμένως ὀρθοῖς καυτηρίοις. οἷς δὲ ῥεύματα ἐμπίπτει εἰς τὰ σφυρά, ἢ τὰ γόνατα, καὶ ποιεῖ παραπρίσματα, ἢ μελικηρίδας τὰς ὑπό τινων ὑδατίδας καλουμένας, τούτους οὐ χρὴ καίειν, ἀλλ᾽ οὐδὲ τὰ παράχηλα στρέμματα, ἐκπεσεῖται γὰρ ἡ χολὴ καὶ ἄλλη οὐ φύεται, καὶ ἔσται τὸ ζῷον ἄχρηστον, ἀλλ᾽ οὐδὲ τὰς ἐπαναστάσεις τὰς ἐν ὅλῳ τῷ σώματι δοθιῆσιν ὁμοίας γινομένας, χρὴ καίειν. μάλιστα γὰρ ὅστιν ἀνάχυσις, καὶ στενουμένη ὑπὸ τῶν καυτηρίων εἴσω στρέφεται, καὶ κακοῖ τὸ ζῷον. τὰς δὲ ἐν τοῖς ἄρθροις ὑδατίδας οὐ δεῖ καίειν, τὰ μέντοι ἀπὸ τῶν καυτηρίων ἐσχαρώματα, θεραπεύσομεν ὕδατι θερμῷ καταντλοῦντες, εἶτα ἀπομαλάσσοντες, καὶ λιπαρᾷ καταχρίοντες. αὐτὰς δὲ τὰς καύσεις θεραπεύσομεν ἐν τῇ πρώτῃ ἡμέρᾳ ἁλὶ λεπτῷ λελειωμένῳ καλῶς μετ᾽ ἐλαίου, διὰ πτερῶν τὴν κατάχρισιν ποιοῦντες. ταῖς δὲ ἑξῆς ἡμέραις συντεθειμένῳ φαρμάκῳ ἀπὸ κηροῦ καὶ πίσσης ὑγρᾶς καὶ στέατος χοιρείου, καὶ ἁλὸς καὶ ἐλαίου ὡς γλοιῷ γενομένῳ καταχρίοντες ὁμοίως πτεροῖς. ὅταν δὲ ἐκπέσωσι μετὰ ἑπτὰ ἡμέρας αἱ ἐσχάραι, κατάπλυνε θερμῷ ὑδρελαίῳ. μετὰ δὲ τὴν ἀπόσμηξιν κατάβρεχε οἴνῳ καὶ ἐλαίῳ, καὶ ἐπίπασσε ἄλευρα διὰ ὀρόβων γεγονότα, καὶ τῇ ἑξῆς ὕδατι θερμῷ κατάπλυνε δὶς τῆς ἡμέρας, καὶ χρῶ φαρμάκῳ τῷ διὰ στέατος, ὡς προγέγραπται. τὸ δὲ ἐπὶ τοῖς ἰσχίοις κασύχους νεφριτικοῦ, εἰ μὴ ἐκπέσωσιν εἴσω τῶν ἑπτὰ ἡμερῶν αἱ ἐσχάραι

γίνωσκε

ὀστέων, ἢ τὰ σφυρὰ διὰ ὁδοιποριῶν καὶ φορτίων συμβαίνῃ πονεῖν καὶ τὰ ἐν αὐτοῖς νεῦρα, καὶ τὰς ἀρτηρίας οἰδαίνειν, καὶ γίνεσθαι ἐκ τούτου παράσφυρον, καὶ τοῦτον δεῖ καίειν. ὅσοις δὲ ῥεύματα ἐμπίπτει εἰς τὰ σφυρά, ἅτινα παραπρίσματα, ἢ μελικηρίδες, ἢ ὑδατίδες καλοῦνται, ἢ εἰς τὰ γόνατα, οὐ δεῖ καίειν. ὁμοίως οὐδὲ τὰ ἐν ποσὶ στρέμματα καυστέον. συμβαίνει γὰρ κατάφραξιν γίνεσθαι τῆς χοινικίδος τῶν γόμφων, ἐπιτιθεμένων περὶ τὸ κυώοπλον, καὶ τὴν ἔκφυσιν, ὃ ἁμαρτάνουσιν οἱ ποιοῦντες. οὐ δύναται γὰρ ἑτέρα ὁπλὴ καταβῆναι, καὶ γίνεται χωλός. παριστώματα δὲ λέγεται ὃ ῥωμαΐσι καλοῦσι φαλκίνηνα (εἰσὶ δὲ ἐκβολαὶ ἐν τῷ σώματι ὅμοιαι δοθιῆσι καὶ μείζονες, καὶ πονοῦνται, καὶ ἔκρηξιν λαμβάνουσιν αὐτόματοι), καὶ ταῦτα οὐ δεῖ καίειν. ἔστι γὰρ ἀνάχυσις μάλεως τῆς ἀρτηρίτιδος, ἣν δεῖ προσκαλεῖσθαι ἔξω. προδικαιομένων δὲ αὐτῶν, ἀναγκαῖον στένωσιν γίνεσθαι τῆς διεξόδου. συμβαίνει γὰρ μεταχωρῆσαι εἰς ἕτερον τόπον τοῦ σώματος, καὶ μάλιστα περὶ τὰ ἄρθρα καὶ οἴδησιν καὶ χωλείαν ἐργάζεται. θεραπευτέον δὲ αὐτὰ ὕδατι θερμῷ καταιονοῦντα, καὶ λιπαρᾷ καταχρίοντα. αἱ δὲ καύσεις θεραπεύονται οὕτως, τῇ πρώτῃ ἡμέρᾳ λεπτῷ ἅλατι καὶ ἐλαίῳ δεῖ καταβρέχειν σὺν γόμφους πτεροῖς βάπτοντας, καὶ ταῖς ἐχομέναις γλοιῷ παιδικῷ δὶς τῆς ἡμέρας ἕως ἡμερῶν ἑπτά, ἵνα ἀποπέσωσιν αἱ ἐσχάραι. εἶτα ἀποσμήχειν οἴνῳ παλαιῷ καὶ ὕδατι θερμῷ ἄμφω μίξαντα, καὶ μετὰ τὴν ἀπόσμηξιν καταβρέχειν οἴνῳ καὶ ἐλαίῳ, καὶ προσπάσσειν ἄλευρον ὀρόβινον. ταῖς δὲ ἐρχομέναις, ὕδατι θερμῷ χρῆσθαι δὶς τῆς ἡμέρας, καὶ τῷ ὀροβίνῳ ὡσαύτως. ἐὰν δὲ μὴ ᾖ γλοιός, χριστέον συνθέματι τοιούτῳ. κηρὸν καὶ πίσσαν ὑγράν, καὶ στέαρ χοίρειον, καὶ ἅλας καὶ ἔλαιον μίξαντα καὶ τρίψαντα ἐν ταυτῷ, καταχρίειν ἐν πτεροῖς. τῷ δὲ νεφριτιῶντι ἑβδομαίῳ γενομένῳ, εἰ μὴ ἐκπίπτωσιν αἱ ἐσχάραι ἀπὸ τοῦ καταχρίσματος, ἴσθι ὅτι τῶν ἐντός τι ἀπέρρωγε, καὶ ζῆν οὐ δύναται. χρόνον δὲ παρέλκει. ἄριστος δὲ καιρὸς εἰς τὸ καίειν ἐαρινὸς καὶ θερινός.

ΘΕΟΜΝΗ. ΠΕΡῚ ΚΑΥΤΗΡΊΩΝ.

Τῶν δὲ παραπρισμάτων ἤτοι μελικηρίδων λεγομένων,

Στυπτικὸν πρὸς ὀδόντας ἵνα ἐπικρατῶν τὸν βόλον ἐνιαυτὸν ἕνα, καὶ μῆνας ἕξ.

Βάτου ἀκρεμόνων γο γ´, ὀμφακίτιδος γο γ´, ῥόας, στυπτηρίας σχιστῆς ἀνὰ γο α´, σώρεως, ἰοῦ, μίσυος ἀνὰ γο α´, ἀκανθίου ἀλεξανδρίνου γο γ´, ταῦτα λειώσας, ἕψησον ἐν ὄξει καὶ τίθει.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΔΕΙ ΚΑΙΕΙΝ, καὶ πότε.

ΚΕΦΑΛ. ϞΖ.

Αψυρτὸς ῥούφῳ ὀκταουίῳ χαίρειν. ἐπεὶ σπουδακότι σοι ἐν τῇ ἰατρικῇ τῶν ἵππων ἐν παντὶ μέρει, καὶ ζητοῦντι ὃν δεῖ τρόπον καίειν ἐπιδείξομεν, ἵνα καὶ τοῖς ἐμπείροις τοῦ ἔργου, καὶ τοῖς ἰδιώταις, ἔνδηλον γένηται. πυρετοῦ τὴν καῦσιν δεῖ ποιεῖσθαι ἀπὸ τῆς κεφαλῆς παρ' ἑκάτερα τῆς λοφιᾶς ῥάβδους μακράς, παρὰ τὴν χαίτην προστιθέντας ἐναλλὰξ γόμφους ὀρθοὺς ῥαβδοειδεῖς, μέχρις τῆς ἐκφύσεως τῶν ὤμων. ἡγεμονικῆς γὰρ ὑπαρχούσης ἐν τῷ σώματι αὐτῆς, καὶ μὴ κρατουμένης ὑπὸ τοῦ πάθους, οὐ διαφωνήσει τὸ ζῶον. καὶ τῶν ὀπισθοτονικῶν δέ, δεῖ καίειν τοὺς αὐτοὺς τόπους οὕτως. ἀντισπᾶται γὰρ τὸ πάθος. τὸν δὲ νεφριτικὸν καύσομεν περὶ τὸν σύνδεσμον τῶν ἰσχίων καὶ τῆς κύστεως γόμφοις ὀρθίοις, μὴ πλείοσιν εἰκοσιτεσσάρων, παρ' ἑκάτερα τῆς ῥάχεως τοὺς ἡμίσεις διστοιχίαν ποιούμενοι, ἀπέχοντας ἀπ' ἀλλήλων πλάτος δακτύλων τριῶν. τὰ δὲ παραπρίσματα καύσομεν παρὰ τὴν ἰγνύην, ἐὰν ᾖ πρόσφατα καὶ ἁπαλά. πῶρον δὲ πεποιηκότα, οὐκ ἔτι. σφυρὰ δὲ καὶ γόνατα καύσομεν μανδακηδὸν δὲ ἐπιπολλῆς, διὰ τὸ εἶναι τὸν τόπον ψιλὸν καὶ κατάνευρον. ὅταν δὲ ᾖ ἐκ τῶν ὁδοιποριῶν καὶ φορτίων ῥύσιν ἔχων ἐπὶ τὸ γόνυ, ἢ ἐκ προσκρούσματος πονῇ αὐτό, καὶ χωλεύῃ χρονίως, ἢ ὀλισθήσας καὶ πεσὼν διάτασιν πάθῃ τῶν ὀστέων

ἀντισώματα, καὶ οὐκ ἔστι ῥᾴδιον ἐπιγινώσκεσθαι τῶν ἐτῶν τὸν λοιπὸν χρόνον. λέγεται δὲ ὅταν τοὺς ὀδόντας ἔχων φανῇ προπεπτωκότας. ἔχει δὲ καὶ τὰς ὀφρῦς πολιάς, καὶ τὰ ὑπὸ κάτω τῶν ὀφρύων κοιλότερα, καὶ τοὺς ὀφθαλμοὺς παρατετηρεῖσθαι πᾶσιν, ὅτι ἐστὶν ἐν τῷ ἑκκαιδεκάτῳ ἔτει ὁ ἵππος. ἀκμάζει δὲ ἀπὸ τοῦ καταρτισμοῦ εἰς ἄλλα ἔτη ὀκτὼ ὁ μαλακόπους, ὁ δὲ στερρόπους δέκα, εἰς ὅτι δ' ἂν πλέον κινήσῃς αὐτὸν ὑπὲρ τοῦτον τὸν χρόνον, κάμνει καὶ οὐχ ὑπομένει. ἀνίεται γὰρ τῶν ἐμπροσθίων ποδῶν τὰ κυνόπλα, τὰ μετακνήμια λεγόμενα ἐκ τῶν σφυρῶν, καὶ οὐ δύναται περιπατεῖν οὐδὲ ἑστάναι, ῥύπτει τε ἑαυτόν. ζῇ δὲ ὁ στερρόπους ἀπὸ τῆς γενέσεως εἰς τὸν καταγηρασμὸν ἔτη κη, ἢ κθ. τριάκοντα δὲ οὐ πληροῖ ῥᾳδίως. ὁ δὲ μαλακόπους κδ. ὀδοντοβολοῦσι δέ τινες ἀπὸ τῶν πρώτων τοὺς δευτέρους, μῆνας ὀκτὼ διαλειπόντες, καὶ τοὺς ἐσχάτους βαλόντες τὸν ἴσον χρόνον διαλείπουσι. τοὺς μὲν πρώτους χρόνους ὑστεραίζει οὐδεὶς τῶν πρωτοβολόντων, οὐ δὲ λείπεται. ἐν δὲ τοῖς λοιποῖς, οὐκ ἔστι τὰ αὐτὰ παρὰ πᾶσιν, οὐ δὲ τηροῦσι τὸν ἴσον χρόνον, ἀλλὰ καταλαμβάνουσιν οἱ δεύτεροι τοὺς πρώτους, καὶ οἱ ἔσχατοι τοὺς δευτέρους. εὕρομεν δὲ ὅτι οἱ πρωτοβολοῦντες ἐν τῷ αὐτῷ χρόνῳ, βάλλουσι τοὺς γομφίους τοὺς ἐμπροσθίους ἄνωθεν ἕνα, καὶ κάτωθεν ἕνα ἐξ ἀμφοτέρων τῶν μερῶν τοὺς πρώτους, καὶ τὰς προσφύας τὰς πρὸς αὐτοὺς ἀλλάσσουσιν. ὅταν δὲ γένωνται ἀπὸ τοῦ καταρτισμοῦ ἐν ἄλλοις ἔτεσι τρισί, ῥήγνυται ὁ ὀδοὺς καὶ περιφερὴς γίνεται, καὶ τριγωνίζεται, καὶ τότε μάλιστα ῥεῦμα ἐμπίπτει εἰς τὸ στόμα τῶν ἵππων. ἔχει δὲ ὀδόντας τοὺς ἐμπροσθίους ἄνωθεν ὀκτὼ καὶ κάτωθεν ὀκτώ, σὺν τοῖς κυνόδουσι, καὶ γομφίους ἐν τῇ μιᾷ σιαγόνι ἄνωθεν ἕξ, καὶ κάτωθεν ἕξ, καὶ ἐν τῇ ἑτέρᾳ ὡσαύτως. τοὺς πάντας δὲ ἔχει τεσσαράκοντα ἐκτὸς τῶν προσφυῶν. ὄνος δὲ καὶ ἡμίονος τριάκοντα ἕξ, καὶ τὰς προσφυάς.

ΤΙΒΕΡΙΟΥ ΠΡΟΣ ΟΔΟΝΤΑΣ ῬΕΥΜΑΤΙ
ζομένους ἀποκρουστικὸν ὠφελοῦν καὶ εἰς ἀνθρώπους.

Γλήχωνος πεφρυγμένου γο α, ἴρεως ἰλλυρικῆς, καὶ ἅλατος ὀρυκτοῦ πεφρυγμένου ἀνὰ γο α, ὀστέου σηπίας κεκαυμένου οὐγγίας τὸ τρίτον, κήρυκος λέπους κεκαυμένου γο γ, πεπέρεως καὶ σμύρνης ἀνὰ γρα. ἐν.

θῶν ἐπὶ ἡμέραις λ΄, καὶ λειοτριχήσει, καὶ τὰς κριθὰς δὲ πλείονας διδόναι, καὶ τὸ αὐτὸ ποιεῖν.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑὙΤΌ

Ἐὰν ἵππος δασὺς ᾖ τὸ σῶμα, χρὴ λευκῶν ἐρεβίνθων ἡμιχοίνικον βρέξαντας, καὶ σταφίδων τὸ ἥμισυ, παραβάλλειν μετὰ τῶν κριθῶν ἐπὶ ἡμέραις τριάκοντα, καὶ λειοτριχήσει καὶ ὅταν δὲ φλεβοτομῆται, συγχριέσθω καθόλου τοῦ σώματος, τῷ ἰδίῳ αἵματι, καὶ ἐάσθω ἐπὶ ἡμέραις τρισί. τῇ δὲ τρίτῃ τῷ κτενίῳ ὃ παρατίλλεται, ἐκτενισθεὶς λειοτριχήσει. Ἄλλο.

Ἅλμην δριμεῖαν εἰς τὰς κριθὰς, καὶ τὸν χόρτον κατάρραινε καὶ ἐσθίων ἰαθήσεται.

ΚΕΦΆΛ. ϞΕ.

περὶ ἀγρίων φθειρῶν.

Ἐὰν ἀγρίους φθεῖρας ἀποκτεῖναι θέλῃς, εἰ μὲν ἔσωθεν ὦσι, λαβὼν σανδαράχης χυλὸν ὡσεὶ κοτύλας β΄, ἐγχυμάτιζε. εἰ δὲ ἔξωθεν τοῦ αὐτοῦ, σανδαράχης τὸ αὔταρκες λαβὼν μετὰ ἐλαίου ἐπίχριε, ἢ ῥύγχει ἐλαίου θερμοῦ ἄλειφε ἐν ἡλίῳ, καὶ ἀποπεσοῦνται.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ὈΔΌΝΤΩΝ ἘΚΦΎΣΕΩΣ.

ΚΕΦΆΛ. Ϟϛ.

Ἄψυρτος Μενεκράτει Κλαζομενίῳ χαίρειν. βούλομαί σε εἰδέναι ἐν τοῖς ἵπποις καὶ ἄλλοις ὅσα μώνυχας ὁπλὰς ἔχει, τὰς τῶν ὀδόντων ἐκφύσεις, καὶ τῶν ἐτῶν προσθέσεις. ἐπίστω μὲν γὰρ οὕτως † τριακονταμηνιαῖος ὢν ὁ πῶλος, πρωτοβολεῖ τοὺς μέσους τομεῖς

interpres legit, cum pullus ãniculus et ſex menſiũ eſt.

καλουμένους, ἄνωθεν β΄, καὶ κάτωθεν β΄, οἵτινές εἰσι κυριώτεροι καὶ μείζονες. τοὺς δὲ δευτέρους ἀποβάλλει, ἀρχομένου τοῦ τετάρτου ἔτους ἐν ἑξαμήνῳ. ὕστερον δὲ ἄνωθεν ἕνα καὶ κάτωθεν ἕνα ἐξ ἀμφοτέρων τῶν μερῶν. φύειν δὲ δοκεῖ καὶ τοὺς κυνόδοντας τότε. ἑτέροις δὲ μησὶ δυοκαίδεκα τὴν καταρτισμὸν φύει. τελειώσας δὲ τὰ πέντε καὶ ἓξ ἔτη, καὶ τοῦ ἑβδόμου ἐπιλαβόμενος, καὶ πληρώσας τὸν ὄγδοον ἐνιαυτὸν, ἔχει ἴσα τὰ

αὐισώματα

ἀλλὰ καταῤῥιπτεῖται ἕως οὗ τὴν κράμβην ἐκτιλήσῃ. δεῖ τοίνυν κράμβην ἥμερον κόψαντα, καὶ γάλα ἐπιχέαντα ἐν δυώδε οἴνῳ δινηθεῖν, εἶτα ἐγχυματίζειν διὰ στόματος. ἢ σῦκα ἑψήσαντα καὶ μίξαντα κράμβης τῷ ἀφεψήματι, ὁμοίως ἐγχυματίζειν. ἢ καρκίνους θαλασσίους τρίψαντα μιγνῦσαι τῷ χυλῷ τῆς κράμβης, καὶ ἐγχυματίζειν δὶς τῆς ἡμέρας ἕως ἂν ἐκτιλήσῃ.

ἹΕΡΟΚΛΕΌΥΣ ΠΕΡῚ ΜΥΟΦΌΝΟΥ

ΚΕΦΆΛ. ϟΑ.

ἘᾺΝ μυοφόνου (τὸ καλούμενον) ἵππος βοσκηθῇ, εἶτα τὴν κεφαλὴν παρεὶς ὀφθῇ, καὶ τὸ σῶμα ὅλον ὁμοίως, χάσον φλέβα ἐν τοῖς κροτάφοις, καὶ ἐγχυμάτιζον σελίνου ἀγρίου, ἢ καὶ ἡμέρου ἐν οἴνῳ τὸ σπέρμα, ἢ πήγανον κόψας, καὶ οἶνον ἐπιχέας παλαιὸν ἐγχυμάτιζε.

ΤΟΥ͂ ΑὙΤΟΥ͂ ΠΕΡῚ ΚΩΝΕΊΟΥ.

ΚΕΦΆΛ. ϟΒ.

ἘᾺΝ κωνείου γευσάμενος κάρη βαρῇ ὡς ἐμπίπτειν εἰς τοὺς τοίχους, χάσας τὰς τραχηλιαίας φλέβας, ἐγχυμάτισον οἴνου παλαιοῦ ἡμικοτυλίοις τρισί. τοῦτο ποιήσας ἅπαξ καὶ δίς, θεραπεύσεις.

ΤΟΥ͂ ΑὙΤΟΥ͂ ΠΕΡῚ ΚΑΜΠΩ͂Ν.

ΚΕΦΆΛ. ϟΓ.

ἘΝίοτε ἐν κάμπαις κυλισθέντων τῶν ἵππων, ἢ προσκνησαμένων δένδρων κάμπας ἔχοντι, μώλωπες ἐπανίστανται, καὶ οἰδεῖ τὸ δέρμα, καὶ σκληρὸν γίνεται, οἵ τε ὀφθαλμοὶ κοιλαίνονται. χρὴ οὖν ὄξος λαβόντα δριμύτατον, καὶ νίτρον ἥμινον, καὶ χαλκάνθης τεταρτημόριον. ταῦτα τρίψαντα συγχρίειν τὸ σῶμα, φυλασσόμενον μὴ εἰς τοὺς ὀφθαλμοὺς εἰσέλθῃ

ἈΨΎΡΤΟΥ͂ ΠΕΡῚ ΔΑΣΎΤΗΤΟΣ.

ΚΕΦΆΛ. ϟΔ.

ἫΝ ἵππος δασὺς ᾖ τῷ σώματι, ἐρεβίνθους τοὺς λευκοὺς ὅσον ἡμιχοίνικον βρέχοντας, καὶ σταφίδων μιγνύντας τὸ ἴσον, παραβάλλειν μετὰ τῶν κρι-

πατείτω, μέχρις οὗ προχωρῇ ἡ γαστὴρ αὐτοῦ. εἰ δὲ φρίκη τις καὶ ὀρθοτριχία γένηται, δαφνοκόκκων τὸ ἀρκοῦν καὶ νίτρου λίτρας τὸ ἥμισυ, ὄξους ξε. καὶ ἐλαίου ξε. α, συμμίξας ἐν θερμῷ τόπῳ διάχρισον ἐπὶ ἡμέραις τρισίν, ἢ ἀγρίου συκῆς φύλλα τὰ ἀρκοῦντα συγκόψας, μετὰ χλιαροῦ δίδου ἐπὶ τοσαύταις ἡμέραις.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Συμβαίνει δὲ ταῖς ὄρνισιν ἔσθ᾽ ὅτε ἐν τικτούσαις ἐν ταῖς φάτναις καὶ ἀφοδεύειν, ὅπερ ἵππῳ φαγόντι, κινδυνῶδες γίνεται. γνώσῃ δὲ τοῦτο ἐὰν ἴδῃς μιξῶδες ἀποπατοῦντα κόπρον ὁμοίαν ὄρνιθος τῇ λευκῇ, καὶ στερεὰν στέατος ὁλκῇ μιᾷ συντρίψας, μίξας ἀλφίτων χοίνιξι δυσί, καὶ οἴνῳ φυράσας. ποιήσας τε μάζας, δίδου φαγεῖν. ἔστω δὲ ὁ οἶνος μέλας καὶ αὐστηρός.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΚΡΆΜΒΗΣ ἈΓΡΊΑΣ

ΚΕΦΆΛ. η.

ΠΡῸΣ τοὺς ἀγρίαν κράμβην φαγόντας ἐν τῷ διδομένῳ χόρτῳ, ἢ βοσκήματι, χρῆσθαι δεῖ βοηθήματι τῷδε. κράμβην ἥμερον κόψαντα, ἐπιχεῖν γάλα. καὶ ἀποχυλίσαντα, καταλαμβανόμενον τὴν γλῶτταν, ἐγχυματίζειν διὰ τοῦ στόματος, ἢ ὕδωρ τῇ κράμβῃ μιγνύντας, ἢ σῦκα μετὰ τοῦ ὕδατος ἑψήσαντας, μῖξαι τῷ τῆς κράμβης ἀφεψήματι. λέγεται δὲ καρκίνους θαλασσίους τρίψαντας μιγνύειν τῷ χυλῷ τῆς κράμβης, διδόσθαι δὲ τρεῖς ἡμέρας, μέχρις ἂν ἐκτηλήσῃ τὸ βόσκημα. ἐπιγνωσθήσεται δὲ διὰ τούτων, συνδεσμοῦνται, καὶ τὰ ὄπισθεν παραλύεται, καὶ βαδίζειν οὐ δύναται. ἀλλὰ πίπτει, καὶ ἐγείρεται, ἕως ὅτου τὴν κράμβην ἐκτιλήσῃ.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Εἰ κράμβην ἀγρίαν ἐν χόρτῳ, ἢ νεμόμενος φάγῃ, συνδεῖται ὅλος καὶ τὰ ὀπίσθια παρέλκει, καὶ βαδίζειν οὐ δύναται,

ἀλλὰ

κλίνοντες γὰρ τὸν ἵππον, ἐξαίρουσιν αὐτάς. ὅταν δὲ κάτω παρέλθωσιν, ἀποπνιγοῦσι τὸ ζῶον, καὶ ἐὰν πλείονες ὦσι, τάχιον διαφωνεῖ. τῷ δὲ ὕδατι τῆς φάτνης ὅταν ἐμπέσωσιν ἐγχεῖν ἔλαιον διὰ κέρατος, οὗ ψαύσαντος ἀποπίπτουσιν.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Εἰώθασι βδέλλαι πίνοντος τοῦ ἵππου, ἐμπίπτειν τὸ στόμα, ἃς χρὴ διανοίξαντα τὸ στόμα ἀφαιρεῖν. εἰ δὲ κάτω παρέλθοιεν πλείους ὑπὲρ τὴν φάρυγγα, κινδυνεύει. χρὴ οὖν ὑδρελαίῳ ἐγχυματίσαι καὶ ἀπορρίψαι αὐτάς. ἕτεροι δὲ συμβουλεύουσιν ἅλα λεπτὸν παραρρίψαι, ἢ ἀριστολοχείας τῆς παχείας ῥίψαντα ἐν ὄξει δριμυτάτῳ, ποιήσαντα μέλιτος πάχος, καὶ ἔλαιον ἐπιχέαντα διατρίβειν ὅπου προσκάθηνται, ἀπολαβόντα τὴν γλῶσσαν ἔξω τοῦ στόματος. προσήκει δὲ τοὺς ταῖς ἀγέλαις ὑφεστηκότας, προσέχειν τοῖς ὕδασι φυλασσομένους τὰς βδέλλας, ἵνα μὴ ὑπὸ τὴν γλῶσσαν, καὶ τὰ χελώνια πινόντων τῶν ἵππων ἐμπλέκωνται. εἰ δὲ ἄδηλον τὸ ὅσαις ἐν τῷ στόματι, ἀναγκαῖον καταστρέφειν τὸν ἵππον, καὶ ἐκλέγειν αὐτάς.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ὈΡΝΙΘΊΑΣ.

ΚΕΦΆΛ. ΓΘ.

Συμβαίνει τὰς ὄρνιθας ἐν ταῖς φάτναις ἐντίκτειν, καὶ ἀφοδεύειν ὑγρόν. τοῦτο ἐὰν προσλάβῃ ὁ ἵππος βρώγων τὸ ἀφόδευμα καὶ καταφάγῃ, ὀχλεῖται καὶ κινδυνεύει. σημεῖα δὲ ἐστὶ τάδε, τιλήσει λεπτὸν καὶ μυξῶδες. Βοηθεῖται δὲ οὕτως, κόπρον τὴν ὀρνιθίαν λευκήν, καὶ στέατος ὁλκὴν μίαν ῥίψαντα, μίξαι ἀλφίτων χοίνιξι δυσί, καὶ οἴνῳ φυράσαντα διδόναι φαγεῖν, μαγδαλιὰς ποιοῦντα. ἔστω δὲ ὁ οἶνος αὐστηρὸς καὶ μέλας.

Ἄλλο.

Εἰ κόπρον ὀρνίθων ἵππος φάγῃ σελινοσπέρματος κυάθους ι΄, μετὰ οἴνου ξε. ἑνός, καὶ ἡμίνης μέλιτος ἐγχυμάτισον, καὶ ἀνα-

πατείτω

ἔτι τὰ ζῶα διαφυλαχθήσονται ἀπὸ δήγματος μυγαλῆς.

Ἄλλο εἰς τὸ αὐτό.

Ἡ μυγαλὴ πρὸς τὸ ἑαυτῆς μέγεθος μεγάλα, καὶ τὰ δήγματα ποιεῖ. εἰ δὲ μικρὰ βραχυτόμως ἐνεργοῦσα, καὶ τὴν θεραπείαν ἔχει δυσχερεστέραν. χεῖρον δὲ πάντων, τὸ τῆς ἐγκύμονος μυγαλῆς δῆγμα ἐστί. φαίνεται δὲ ἡ διαφορὰ τοῦ δήγματος ἀπὸ τοῦ κατὰ τὴν φλεγμονὴν μεγέθους. χρὴ οὖν τούτῳ βοηθεῖν τῷ τρόπῳ. σκόροδον μετὰ νίτρου τρίψας, ἢ εἰ νίτρον μὴ εὑρεθείη, ἅλατι καὶ κυμίνῳ τοὺς πεπληγότας τόπους ἀπότριβε. ἡνίκα δὲ τὰ τῆς φλεγμονῆς ἀπορραγέντα εἰς τραῦμα μεταβληθῇ, τότε ἀποπλύνας καθαρίῳ τὸ τραῦμα, καῦσον κριθάς, καὶ τούτων τὴν σποδιὰν ἐπίπασσε, καὶ μηδὲν ἄλλο ποιήσῃς. ἐὰν γὰρ ἑτέρῳ χρήσῃ βοηθήματι, ἐπιπλέον τὴν τῶν τραυμάτων ἐπαυξήσεις δύναμιν. δίδου δὲ καὶ προπότισμα ἀπὸ ἀνήθου, καὶ ἀλεύρου σιτίνου, καὶ κεδρέας ὀλίγης, καὶ οἴνου ξε. α̅, κατεσκευασμένον.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΕΡῚ ΤΡΥΓΌΝΟΣ.

Ἐὰν τρυγὼν θαλασσία ἐμπλήξῃ ἵππον, κινδυνῶδες γίνεται σφόδρα. καυτήριον οὖν δεῖ προστιθέναι, καὶ ἱστάναι τὴν ἐπιφορὰν τοῦ αἵματος, ἐγχυματίζειν τε διὰ στόματος τὸ ἧπαρ αὐτῆς τῆς τρυγόνος, τρίψαντα ἐν οἴνου κοτύλῃ μιᾷ.

Περὶ λυσσοδήκτων.

Κύων λυσσῶν ἐάν τινα δάκῃ, κόπρον αἰγείας, ταρίχου παλαιοῦ, ἐβουλίου ἀνὰ γο̄ ἓξ, κάρυα μεγάλα μ̄, εἰς ἓν πάντα συντρίψας ἐπίθες.

ἈΨΥΡΤΟΥ

ΠΕΡῚ ΒΔΕΛΛΩ͂Ν.

ΚΕΦΆΛ. ΠΗ.

Ἄψυρτος Βεβίῳ Δεκουρίωνι χαίρειν. θέλω σε γινώσκειν, ὅτι ποτιζομένων τῶν ἀγελῶν, μάλιστα δεῖ παρατηρεῖν ἐν τοῖς ὕδασι φυλασσομένους τὰς βδέλλας. ἐμπλέκονται γὰρ ὑπὸ τὴν γλῶσσαν, καὶ τὰ χελώνια. καὶ τοῦτο μὲν ἧσσον κακόν. κατα-

κλίνοντες

ἹΠΠΟΚΡΆΤΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Γίνεται ὡς ἐπὶ τὸ πολὺ δηχθῆναι τὸν ἵππον ἐν τῇ ἱπποστασίᾳ. κατακλιθέντος γὰρ αὐτοῦ, ταῖς λαγόσιν ἠρέμα πως ἐπεισέρχεται ἡ μυγαλὴ, καὶ μεταξὺ κινηθέντος αὐτοῦ, ὑποταραχθεῖσα, δάκνει τὸν ὑποκείμενον τόπον, ἐξ οὗ συμβαίνει οἴδημά τι γίνεσθαι. τοῦτον οὖν θεραπεύσεις οὕτως. λαβὼν μελανθίου λείου ὀξύβαφον ἕνα, οἴνῳ προσμίξας ἐγχυμάτιζε, ἢ σκόροδον τρίψας, καὶ ἅλας, καὶ κύμινον, ἴσον ἑκάστῳ συμμίξας, οἴνῳ τε φυράσας κατάχριε, ἢ ὕδρῳ γῆν ἐξ ἁματροχίας φυράσας, ἢ μυγαλῆν αὐτὴν τρίψας, μετὰ οἴνου ἐγχυμάτιζε ξε. α. ἐὰν δὲ μὴ ἔχῃς μυγαλῆν, μετὰ πηλοῦ κεραμικοῦ φυράσας κατάχριε, ἢ σελινόσπερμα καθεψήσας, ἐν οἴνῳ καὶ ἐλαίῳ ἐγχυμάτιζε, ἢ κατάκνισον ὀρθῷ φλεβοτόμῳ τὸν ᾠδηκότα τόπον. ἐὰν δὲ ἐπὶ πλέον γένηται φλεγμονὴ, κύκλῳ καῦσον περιφερεῖ καυτηρίῳ, προσλαμβάνων καὶ τοῦ ὑπολοίπου τόπου, καῦσον δὲ καυτηρίοις ὀρθοῖς, ἵνα οἱ ἰχῶρες ἀπορρέωσι. ἐὰν δὲ ὁ ᾠδηκὼς τόπος ἐπὶ πλέον ἑλκωσιν ἔχῃ, κριθὰς κατακαύσας καὶ λειοτριβήσας ἐπίπασσε, προχείρως στέατι παλαιῷ. οὐκ ἔσται δὲ ἕλκος, ἐὰν μὴ ἔγκυος οὖσα δάκῃ.

ΠΕΛΑΓΩΝΊΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἡ μυγαλὴ, τὸν ἐπαγόμενον τὸν ἀπ᾽ αὐτῆς κίνδυνον, τῷ οἰκείῳ σώματι θεραπεύει. καὶ γὰρ αὐτὸ τὸ ζῷον, εἰς ἔλαιον βληθὲν καὶ ἀποπνιγὲν, μετασαπῆναι, καὶ λειωθῆναι τοῖς δήγμασι προσχριόμενον, ὑγείας παραίτιον γίνεται. εἰ δὲ μὴ τοῦτο εὑρεθείη, κύμινον λειώσας, καὶ πίσσης ὑγρᾶς βραχύ τι προσβαλὼν, καὶ ἀξουγγίου ὀλίγον, ὥστε σύμπηξιν μαλάγματος ἔχειν, ἀποθέμενος ἀπαλλάξεις τοῦ κινδύνου. πρὸς δὲ τοῦ τὴν φλεγμονὴν διαλύεσθαι, εἴγε πυοτροφήσει, καλῶς ποιήσειας, εἰ τὴν ἐπιδερματίδα διέλοις σμιλίῳ, καὶ πᾶν τὸ πεπονθὸς ἐπικαύσεις, οὕτω τε πίσσαν ὑγρὰν μετὰ ἐλαίου ἐπιβάλλοις. ἔστι δὲ καὶ προφυλακτικὸν βοήθημα, ὥστε ἵππον ὑπὸ μυγαλῆς πιάσας, γύψῳ περίπλασον, καὶ μετὰ τὸ σκληρυνθῆναι, περὶ τραχήλῳ τοῦ ζῴου ἀπόδησον. οὕτω γὰρ ἀβλα

ΠΕΡῚ ΔΉΓΜΑΤΟΣ ΜΥΓΑΛΗ͂Σ.

ΚΕΦΆΛ. ΡΖ.

Μυγαλῆ δὲ ἐὰν δάκῃ, οἴδησις γίνεται περὶ τὸν τόπον σκληρὰ, καὶ στιγμαὶ μικρὰ διαλιπῶν. Βοηθεῖται δὲ κατακεντούμενος ὁ τόπος, καὶ καταχριόμενος κράμβῃ τετριμμένῃ μετὰ ὄξους, ἢ σκορόδοις ὡσαύτως τριφθεῖσι μετὰ ὄξους. λέγεται δὲ καὶ τὴν ἐκ τοῦ ἅμα τροχιᾶς γῆν ὄξει φυράσαντα καταχρίειν ὠφέλιμον. ἐὰν δὲ συμβῇ θήλειαν ὄνον ἐγκυμονοῦσαν δηχθῆναι ὑπὸ μυγαλῆς ἐγκύου, κίνδυνον ἔχει διαφωνῆσαι. ἐπιγίνεται γὰρ πυρετὸς καὶ ἀσιτία, καὶ κυκλάμινον δὲ κατακαύσαντα, καὶ τὴν τέφραν ὄξει μίξαντα, τὸ αὐτὸ ποιεῖν, καὶ αὐτὴν δὲ τὴν μυγαλῆν περιάπτειν.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐὰν μυγαλὴ δάκῃ, πίμπραται τὸ ζῶον ὅλον, καὶ οἱ ὀφθαλμοὶ δακρύουσιν, ἰχῶρ τε ἀποστάζει διὰ τοῦ οἰδήματος καὶ τῆς κοιλίας, καὶ τροφὴν οὐ προσίεται. τὸν κονιορτὸν οὖν τὸν ὑπὸ τῇ τρίψει τῶν τροχῶν γινόμενον, ὄξει δριμεῖ δεύσας, καὶ τὸν δηχθέντα τόπον νύξας, πρῶτον ἐπίχριε τῷ πηλῷ. ἔνιοι δὲ, ὧν ἐστι καὶ Ταραντῖνος, φασὶ χρῆναι σκόροδα κόψαντα, ἐπιθεῖναι, ὑποθυμιᾶν τε ἐλάφου κέρας. φησὶ γὰρ μὴν Ἄψυρτος ἄμεινον εἶναι ἐπὶ τῶν θηριοδήκτων ἅμα τις αἴσθηται, διακαίειν τὸν τόπον. Στρατόνικος δὲ ἐπὶ μυγαλῆς συμβουλεύει καταχαράσαντα μάλιστα τὰ ᾠδηκότα, καταβρέχειν ὄξει, καὶ ἁλσί· τῇ δὲ ἑξῆς ἡμέρᾳ ῥύψαντα εἰς ὕδωρ γλυκὺ, κιμωλίαν ὄξει φυράσαντα καταχρίειν. τὸ δὲ δῆγμα θεραπεύειν γλοιῷ, μέχρις οὗ ὑγιάνῃ.

Ἄλλο εἰς τὸ αὐτό.

Ἐάν τι τῶν ζώων ὑπὸ μυγαλῆς δηχθῇ, μελανθίου ὀξύβαφον τρίψας ἐν οἴνῳ εὐώδει, δίδου διὰ τῶν μυκτήρων. ἐπὶ δὲ τὴν πληγὴν κόπρον κυνείαν κατάπλασσε. τοῦτο δὲ καὶ ἐπὶ ἀνθρώπων ὠφέλιμον.

Ἱεροκλέους

καὶ δαφνίδων κόκκον τρίψας ἐν οἴνου κοτύλαις δυσί, προσεπιχέας ῥοδίνου, ἔγχει διὰ τοῦ στόματος. στῆσον δὲ αὐτὸν εἰς θερμὸν τόπον, ἔπειτα εἰσάγαγε αὐτὸν εἰς βαλανεῖον, καὶ καταντλήσον θερμῷ. τροφὴν δὲ δίδου πτισάνην καὶ δάφνης τὰ ἁπαλὰ φύλλα, χόρτον δὲ τὸν βέλτιστον, καὶ πότιζε θερμῷ ἕως ἂν ἱδρῷ, περιπάτοις τε χρήσθω, καὶ καῦσον ὡς εἴρηται, καὶ ἐγχυμάτιζε ἕως ὑγιὴς γένηται. ἐὰν δὲ ὑπὸ ἔχεως δηχθῇ, ἐκ τοῦ δήγματος πῦον ἐξέρχεται μέλαν, ἢ ἐπιτρέχει. καὶ ἐὰν ᾖ θῆλυ τὸ κτῆνος, θεράπευε οὕτως. τεμὼν τὸ δῆγμα, πρόσκαυσον, καὶ ἐγχυμάτιζε ταῦτα, ἃ καὶ πρὸς τὸ φαλάγγιον. τὰ δὲ κατερρωγότα ἀποσμήξας, τῷ μαλακῷ φαρμάκῳ χρῖε.

Περὶ Βουπρίστεως ἢ φαλαγγίου.

Ἐὰν Βούπριστιν, ἢ φαλάγγιον συγκαταπίῃ ἵππος σὺν τῷ χόρτῳ, πίμπραται αὐτῷ ἡ κοιλία, καὶ ἀπόσιτος γίνεται, τέταται δὲ ὅλος, καὶ τὰ ὑποχωρήματα φέρει συχνότερον, ἀναπνεῖ τε κατὰ μικρόν. θεράπευε οὖν οὕτως, δεσμεύων ἀνάκλα τὴν κεφαλήν, καὶ διέλε τὰς φλέβας τὰς ἐπάνω τῶν μυκτήρων, ἵνα τὸ αἷμα ἔξω ῥέοι διὰ τοῦ στόματος, καὶ ἐγχυμάτιζε κράμβην ἑψήσας, καὶ μετὰ γάρου, καὶ ἐλαίου δίδου φαγεῖν.

ΙΕΡΟΚΛΕΟΥΣ ΠΕΡΙ ΟΦΙΟΔΗΚΤΩΝ.

Ἐὰν ὑπὸ ὄφεως δηχθῇ ἵππος, πρῶτον μὲν φλεβοτομεῖν αὐτὸν χρή, κέγχρῳ τε καὶ πυρῷ δὶς τῆς ἡμέρας καταπλάσσειν. τοῦτο τε ποιεῖν δὶς τῆς ἡμέρας ἐπὶ τρισὶν ἡμέραις.

Ἄλλο εἰς τὸ αὐτό.

Ἐὰν ὑπὸ ὄφεως δῆγμα σχῇ ἵππος, οἴδημα γίνεται καθόλου τοῦ σώματος, καὶ οἱ ὀφθαλμοὶ ὕφαιμοι, καὶ ᾠδηκότες, ἤτε ἕδρα ἐξέστραπται, καὶ τὸ αἰδοῖον προεκπίπτει, καὶ περίψυχρός ἐστι. ἐγχυμάτιζε οὖν οἴνου ξε. α, δίδου δὲ φαγεῖν δάφνην, ἢ ἀθάραγνον, καὶ σύγχρει οἰνελαίῳ, καὶ δαφνίσιν ἀφηψημέναις. αἷμα δὲ ἄφελε ἀπὸ τοῦ αὐχένος, ἔπειτα πολεμωνίας βοτάνης καὶ ἀριστολοχείας ἀνὰ γο. ς, μίξας οἴνου ξε. ἑνὶ ἐγχυμάτιζε. ἐὰν δὲ ἀπὸ ἔχεως δέδηκται, λαβὼν ἀπὸ τοῦ ἐχίου βοτάνης τῆς ῥίζης, καὶ τῆς πολεμωνίας τῆς ῥίζης ἀνὰ γο. ς, καὶ τρίψας ἕκαστον, οἴνῳ τε προσμίξας διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔγχει.

τρώγων τὸν γόνον, καὶ καταφάγῃ, κίνδυνον ἔχει, καὶ διαφωνήσει. θεραπεύεται δὲ, ἐγχυματιζόμενος οἴνῳ μετὰ πεπέρεως, ἢ θύμῳ μετὰ οἴνου, ἢ πυτίᾳ ἐλαφείῳ σὺν τῷ οἴνῳ. ἐπιγνωσθήσεται δὲ διὰ τούτων, φθίνει τῷ σώματι, καὶ ὡσαύτως ἐκβολαὶ τοῦ σώματος ὅμοιαι δοθιῆσι, καὶ τὰ οὖρα ἀραχνώδη φέρει, καὶ τὴν τροφὴν μόγις ἀναλαμβάνει, καὶ ὀλίγην. ἄριστον δὲ ἐπὶ πάντων τῶν θηριοδήκτων τὸν πεπληγότα τόπον ὡσάν τις αἴσθηται διακαίειν.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Τὸ δὲ τῶν φαλαγγίων γένος ἐντίκτει ὁμοίως τοῖς ἀραχνίοις εἰς τὰ δράγματα τοῦ χόρτου. ἐὰν οὖν ἐσθίων φάγῃ αὐτοῦ τὸν γόνον, ἢ καὶ δηχθῇ ὑπὸ φαλαγγίου, κίνδυνον ἔχει. ἐπιγνώσῃ δὲ φλεγμαίνοντος τοῦ σώματος, καὶ ἐξανθημάτων ὁμοίων δοθιῆσι γινομένων, καὶ τῶν οὔρων ἀραχνιωδῶν ὄντων, ἔτι γε μὴν οὐκ ὀρεγομένου τῆς τροφῆς, ἀλλὰ μόλις, καὶ ὀλίγον λαμβάνοντος. θεράπευε οὖν ἐγχυματίζων πεπέρει μετὰ οἴνου, ἢ θύμῳ, ἢ ἀριστολοχείᾳ τῇ παχείᾳ, ἢ πυτίᾳ ἐλαφείῳ ὁμοίως. ἔνιοι δὲ δοκιμάζουσιν ἐὰν δηχθῇ, περιτέμνειν τὸν τόπον, ἢ περικαίειν, εἶτα ἐγχυματίζειν.

Πρὸς τὰ ἀπὸ τῶν φαλαγγίων δήγματα.

Πεπέρεως γο̄ α´, πυρέθρου γο̄ ας´, σταφυλῆς ἀγρίας γο̄ α´, λειοτριβήσας μετὰ οἴνου, ἔγχει διὰ τῆς φάρυγγος.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΡΌΣ

τὰ ὑπὸ φαλαγγίων ἢ ἐχέων δηχθέντων ὑποζυγίων.

Ἐάν τι τῶν ὑποζυγίων φαλάγγιον φάγῃ, ἢ δηχθῇ ὑπ' αὐτοῦ, καὶ τὸ αἰδοῖον οἰδεῖ, ὥστε δοκεῖν ἀραχνιώδη αὐτὸν οὐρεῖν, καὶ ἱδροῖ ὅλος. θεραπεύεται δὲ οὕτως. ἐὰν μὲν ᾖ δεδηγμένος, περίτεμε τὸν τόπον, ἢ περίκαυσον. ἐὰν δὲ βεβρωκὼς ᾖ, ἐγχυμάτιζε τούτοις τοῖς θεραπεύμασι, καὶ πρὸς τὸ δῆγμα χρῆσαι, λαβὼν ἀριστολόχειαν, τρῖψον μετὰ οἴνου εὐώδους, καὶ ἔγχει, ὡσαύτως σελίνου ἀγρίου. εἰ δὲ μή, ἡμέρου τὸ σπέρμα,

καὶ

ἈΨΎΡΤΟΥ ΠΕΡῚ σκορπιοπλήκτων.

ΚΕΦΑΛ. ΠϚ.

Τῷ δὲ ὑπὸ σκορπίου δηχθέντι, παρέπεται σκελῶν συρμός, καὶ χωλεία, καὶ μὴ τρώγειν, σύῤῥευσίς τε ἐκ τῶν μυκτήρων ἰχώρων χλωρῶν, καὶ μόγις ἀναπνεῖν, καὶ διεγείρεσθαι ὡσαύτως. θεραπεύεται δὲ καθὼς ἄνω γέγραπται πρὸς τοὺς ἐχιοδήκτους.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Εἰ δὲ ὑπὸ σκορπίου πληγέντες, ὑποσύρουσι τοὺς πόδας καὶ χωλεύουσι, καὶ οὐκ ἐσθίουσιν, ἰχὼρ δὲ ἀπὸ μυκτήρων ῥέει χλωρός, καὶ μόλις ἀναπνέουσι. θεραπευθήσονται μέντοι ὁμοίως τοῖς ἐχιοδήκτοις.

ἈΝΑΤΟΛΊΟΥ ΕἸΣ πληγὴν ἀπὸ σκορπίου, ἢ ἄλλου ἑρπετοῦ ἴασις.

Τὸ πεπληγμένον μέρος, κόπρῳ χοιρείᾳ κατάπλασσε, ἢ στρύχνον κόψας, ἢ τιθύμαλλον, ἢ ὑοσκίαμον, ἢ λινοσπέρμα, ἢ ὀπτὴν στυπτηρίαν, ἢ ἀφρόνιτρον, ἢ ἅλας ὀρυκτόν. ἓν γὰρ τούτων καταπλασθὲν, ταχέως ὠφελήσει.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ ΠΑ͂σαν ἀποθηρίου πληγήν.

Καλάμῳ τὸ τραῦμα κατακέντησον, ἢ τοῦτον αὐτὸν τὸν κάλαμον κατακαύσας, τῇ τέφρᾳ τὸ ζῶον ἀπότριβε, ἢ βοτάνην τὴν ἀρτεμισίαν μετὰ χαμαιμήλου λειώσας, καὶ μίξας οἴνῳ, δίδου πιεῖν. ἡ ῥίζη βοτάνης προσωπίτιδος τῷ αὐτῷ τρόπῳ ποιεῖ, ἢ συκῆς ῥίζης γράμματα δ´, μετὰ οἴνου ξέστου ἑνὸς χλιάνας, διὰ μυκτήρων δίδου, ἢ γῆν μετὰ ἐλαίου καὶ ὄξους, καὶ λασάρου, ἢ νεοσσοῦ χελιδόνος κοιλίαν, ἢ τὴν καλιὰν τῶν αὐτῶν νεοττῶν λειώσας, ἐπιτίθει τῷ πλήγματι, ἢ καλάμων κεκαυμένων τέφραν οἴνῳ ἀναλύσας πότιζε.

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ΦΑΛΑΓΓΊΩΝ.

Τὸ δὲ τῶν φαλαγγίων γένος εὐχερῶς ἐντίκτει ὁμοίως τοῖς ἀραχνίοις ἐπὶ τοῦ χόρτου. τούτων ἐὰν προσλάβηται

περιπέρεως λευκοῦ, ἢ μέλανος, κόκκοις λ', τετριμμένοις μετὰ οἴνου διὰ τοῦ στόματος, ἢ θύμῳ κεκομμένῳ μετὰ οἴνου, ἢ τορδίλῳ μετὰ οἴνου, ἢ ῥοδίνῳ μετὰ οἴνου, ἢ πηγάνῳ μετὰ οἴνου τετριμμένῳ, ἢ τῇ ἀρτεμισίᾳ βοτάνῃ ἑψηθείσῃ. ἔστι δὲ κίνδυνον ἔχον.

ἹΕΡΟΚΛΈ. ΕἸΣ ΤῸ ΑὙΤΌ.

Συντυχόντες τινὲς τὸν περὶ τῶν ὑπὸ ἔχεων, ἢ σκορπίων, ἢ φαλαγγίων, ἢ μυγαλῶν δηχθέντων λόγον, ἡμεῖς δὲ καθ' ἕκαστον εὐκρινῶς ἐροῦμεν. ὅταν τοίνυν ὑπὸ ἐχίδνης δηχθῇ, φρίκη τῷ σώματι ὑποτρέχει, καὶ οἱ ὀφθαλμοὶ οἰδοῦσι, τρίζουσί τε ὀδοῦσι καὶ αἱ τρίχες τῆς χαίτης ἀπορρέουσιν, ἔκ τε τοῦ σώματος ἐκβράσματα γίνεται ὀσμὴν ἔχοντα ἀηδῆ. θεραπεύεται δὲ ἐγχυματιζόμενος περιπέρεως λευκοῦ κόκκοις τριάκοντα κεκομμένοις μετὰ οἴνου διὰ στόματος, ἢ θύμῳ μετὰ οἴνου, ἢ βοτάνῃ τῇ ἀρτεμισίᾳ ἑψηθείσῃ μετὰ οἴνου. ἔνιοι δὲ τέμνοντες τὸ δῆγμα προσκαίειν συμβουλεύουσιν, εἶτα ἐγχυματίζειν. τὰ δὲ κατερρωγότα ἀποσμήχειν οὔρῳ χρὴ, καὶ μαλακῷ καταχρίειν φαρμάκῳ.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΡῸΣ ΤᾺ
ἀπὸ ἐχίδνης δήγματα καὶ μυγα-
λῆς, καὶ φαλαγγίου.

Συμβάλλεται τοῖς πεπληγμένοις γῆ ἀπὸ μυρμηκιᾶς ἐγχυματιζομένη μετὰ οἴνου, καὶ αὐτὰ δὲ ἀποτρίβειν τὰ πλήγματα. ἐὰν δὲ ἐν ὁδῷ ποτε συμβῇ τὸν ἵππον παθεῖν, ἔνθα μὴ ἔστιν εὑρεῖν τὰ ἐπιτήδεια, περιπέρεως λευκοῦ κόκκους τριάκοντα λαβὼν, οἴνου τε παλαιοῦ ξέστην ἕνα προσμίξας, διὰ κέρατος ἔγχει εἰς τὸν λαιμόν. ἢ θύμον τὴν βοτάνην λελειωμένην μετὰ οἴνου δίδου. λέγεται δὲ καὶ τὸν ἁρμόδιον εἶναι πρὸς τὰ ἀπὸ τῶν ἰοβόλων παντοῖα δήγματα, ἀσφοδέλου ῥίζαν μετὰ οἴνου παλαιοῦ λειωθεῖσαν, τοῖς δήγμασιν ἐπιτιθέναι. ποιεῖ δὲ καὶ τὸ λαβὼν χελιδόνος νεοσσοὺς, καὶ ζῶντας ἀνατεμὼν, τῷ δὲ τραύματι πρόσαγε. καὶ αὐτὴν δὲ τὴν καλιὰν τῆς χελιδόνος μετὰ οἴνου παλαιοῦ λειώσας, τοῖς πεπληγμένοις ἐπίθες τόποις. πρὸς δὲ τὰ ἀπὸ φαλαγγίων καὶ μυγαλῶν, μαλάχην κόψας, καὶ λειώσας ἐπιμελῶς ἐναπόθου.

σημεῖα δὲ προσγίνεται τῷ πάσχοντι ἵππῳ ταῦτα. ῥίπτει ἑαυτὸν ἐπ᾽ ἐδάφους, καὶ κυλίεται, καὶ χρεμετίζει. βαλὼν οὖν χυλὸν κράμβης καὶ ἔλαιον, καὶ νίτρον, ἐγχυμάτιζε διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος, ἢ λεπίδος γο γ, καὶ ἰσχάδας, καὶ χαλκάνθης γο δ, λεοτριβήσας καὶ ἔλαιον σὺν ὄξει βαλὼν, καὶ ποιήσας κολλύρια μεγάλα, ὅσον χωρήσουσιν οἱ μυκτῆρες, δι᾽ αὐτῶν ἔμβαλλε.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΕΡῚ ΦΘΕΙΡΩ͂Ν καὶ σκωλήκων τῶν ἐν δακτύλῳ, ἢ ἐν γαστρὶ γινομένων.

Μόρα ὠμὰ καὶ τὰς κριθὰς, ἃς ὁ ἵππος ἐσθίει, σκόρπισον. πολλοὶ δὲ καὶ τὴν ῥίζαν τοῦ μόρου ὕδατι ἑψήσαντες, τὰ περὶ τὴν κοιλίαν καὶ τὸν δακτύλιον ἀπαντλοῦσιν. εἰ δὲ καὶ τραῦμα ποιήσει, διὰ σιδηρίτιδος βοτάνης, καὶ πράσου χυλοῦ μεμιγμένων ἅλατι καὶ πίσσῃ, καὶ ἐλαίῳ, καὶ παλαιῷ ἀξουγγίῳ, θεραπεύονται.

Τοῦ αὐτοῦ περὶ φθειρῶν.

Ἐὰν φθεῖρες γένωνται ἐν τῇ χαίτῃ, ἢ καθόλου τοῦ σώματος, κώνειον χλωρὸν τρίψαντας ἐγχρίειν δεῖ, ἢ κυκλαμίνου ῥίζαν κόψαντας, καὶ ἔλαιον ἐπιχέαντας, συγχρίειν τὰ ἐφθειριακότα μέρη.

ΘΕΟΜΝΉΣΤΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐὰν φθεῖρες ἐπιγένωνται ἵππῳ, ἢ ἄλλῳ ὑποζυγίῳ, χρὴ καθαίρειν ὅλον τὸ σῶμα, εἶτα κυκλαμίνου ῥίζαν κόψαντα, τὸν χυλὸν ἐκπιέσαι, καὶ ἐλαίῳ μίξαντα, χρίειν. τῇ δὲ ἑξῆς κονίᾳ στακτῆς θερμῇ ἀποπλύνειν, καὶ πάλιν χρίειν.

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ἐχιοδήκτων.

Ἄψυρτος ἰουλίῳ σατουρνίνῳ δεκουρίωνι χαίρειν. ἐπερωτᾷς μοι τινὰ σημεῖα πρόσεστι τῷ ὑπὸ ἔχεως δηχθέντι. ἔστι δὲ ταῦτα, πέφρικε τὸ σῶμα, καὶ οἱ ὀφθαλμοὶ οἰδοῦσι, καὶ τὸ στόμα καὶ τοὺς ὀδόντας ἐγείρει, καὶ αἱ τρίχες τῆς χαίτης ἀποῤῥέουσιν. ἔσθ᾽ ὅτε δὲ καὶ αἱ οὐρήσεις καὶ ἐκβολαὶ τοῦ σώματος γίνονται ὀσμὴν ἔχουσαι. θεραπεύεται δὲ ἐγχυματιζόμενος

πεπέρεως

κρίαι, καὶ μὴ δυνηθεὶς θεραπεῦσαι καταγνωσθῇ. ὁ νευριτικὸς οὖν, τὸν αὐχένα ἀποτείνει, καὶ τὴν κεφαλὴν ἐκτείνει, τό, τε πρόσωπον ἀνανεῦσαι, καὶ τὸ στόμα ἀνοίγειν ἀδυνατεῖ, διὸ οὔτε ἐσθίειν, οὔτε πίνειν δύναται, καὶ προβάλλων τὰ αἰδοῖα ἐπὶ μικρὸν οὐρεῖ, καὶ ἡ γαστὴρ οὐχ ὑποχωρεῖ. συμβαίνει δὲ καὶ περιπατοῦντα μετὰ φέρεσθαι καὶ πίπτειν ἐπὶ τὸν τράχηλον, διὰ τὸ ἔχειν τὰ ἐντὸς νεῦρα κατατεταμένα σφόδρα, δι᾽ ὅπερ ὡς ἔφην προειλημμένος, ζῆν οὐκ ἂν δύναιτο.

ΑΨΥΡΤΟΥ

ΠΡῸΣ ΤᾺ ΚΑΤᾺ ΝΕΎΡΩΝ τραύματα.

ΚΕΦΆΛ. ΠΕ.

Ἄριστον τοῖς ἵπποις πρὸς τὰ κατὰ νεύρων τραύματα, ἀμόργης παλαιᾶς ἑφθῆς ἐπὶ τρίνου κοτύλην μίαν, πτελέας ῥίζης τοῦ φλοιοῦ ἑψήσαντα, τοῦ χυλίσματος κοτύλην μίαν, ταύρου χολοὺς ἡμικοτύλιον, ἀριστολοχείας λεπτῆς, στατῆρας δ΄. εἰ δὲ μὴ ᾖ ταυρεία, τράγου ἀγρίου, ταῦτα συγχέαντα εἰς ἀγγεῖον ἕψειν ἐν ὑπαίθρῳ. ὡσὰν δὲ ἑφθὸν γένηται, κάρφος λαβόντα, ἐπιστάξαι ἐν ὀστράκῳ, καὶ ἐὰν πήσσηται, ἆραι συντόμως καὶ χρῆσθαι.

Πρὸς νευρότρωτα.

Κηροῦ λίτραν μίαν, ἐλαίου γο η΄, ἰοῦ γο γ΄, φρυκτῆς λίτραν μίαν, μάννης γο γ΄, ὄξους τὸ ἀρκοῦν, τὴν μάνναν μετὰ τοῦ ἰοῦ σὺν ὄξει λειώσας αὐτάρκει, καὶ μίξας κατάχριε.

Πρὸς νεύρων πόνον.

Κηροῦ λίτραν α΄, στύρακος λίτραν ας΄, ἰοῦ λίτραν α΄, προπόλεως λίτραν ας΄, κηροῦ λευκοῦ λίτραν ας΄, μήκωνος λίτραν ας΄, δαφνοκόκκων λίτρας τέσσαρας ἥμισυ.

ἹΠΠΟΚΡΆΤΟΥΣ

Τὸ τῶν σκωλήκων πάθος, ἐστὶ δυσίατον, μᾶλλον δὲ ἀνίατον. σημεῖα

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐκτεμὼν τὰς μυρμηκίας, ἐπίχει θεῖον, ἄσφαλτον, ἢ κολόκυντα ξηρὰν καύσας, καὶ λειώσας ἐπίπασσε. ἢ πτέριν τὴν καλουμένην καύσας καὶ κόψας, καὶ σείσας, τὸ αὐτὸ ποίει. ἢ τραγοπώγωνος τὴν ῥίζαν ἑψήσας ἐν ὕδατι καὶ λειώσας κατάπλασσε. ἔχεις δὲ καὶ ἄλλα βοηθήματα πρὸς μυρμηκίας ὑπογεγραμμένα ἐν ταῖς σκευασίαις τῶν φαρμάκων.

Ἄλλο.

Στυπτηρίας φορίμης, καδμίας, βοτρυίτιδος, μίσυος ἀνὰ γο β΄, χαλκίτιδος γο δ΄, κόμεως γο β΄, πρωτοσάκτου τὸ ἀρκοῦν, τὸ κόμι ἐμβρέχων μετὰ τοῦ πρωτοσάκτου, τὰ λοιπὰ ἐπίβαλλε, καὶ ποιῶν τροχίσκους χρῶ.

Ἄλλο.

Ἀσβέστου λευκῆς, φέκλης, περιστερᾶς κόπρου, ἀρσενικοῦ ἀνὰ γο α΄, χαλκίτιδος γο ϛ΄, πρωτοσάκτου τὸ ἀρκοῦν, ταῦτα λειάνας, καὶ ἀνεὶς οἴνῳ, κατάχριε τὰς μυρμηκίας, προσδεσμῶν αὐτὰς θριξί, ἢ νευρειδίῳ. ἐπὰν δὲ ἀποπέσωσι, πρόσπασσε αὐτὰς τούτῳ ξυρῷ γινομένῳ.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΝΕΥΡΙΤΙΚΩ͂Ν

ΚΕΦΆΛ. ΠΔ.

Τῷ νευριτικῷ συμβαίνει τὴν αὐχένα πονεῖν καὶ τὴν κεφαλὴν ἐκτείνειν, καὶ τὸ ῥύγχος ἀνανεύειν. τὸ δὲ στόμα ἀνοίγειν ἀδυνατεῖ, διὸ καὶ οὔτε τρώγει οὔτε πίνει, καὶ προβάλλων τὸ αἰδοῖον, κατὰ μικρὸν οὐρεῖ, καὶ τὴν κοιλίαν οὐδὲν ποιεῖ. συμβαίνει δὲ ἐν τῷ περιπατεῖν περιφέρεσθαι καὶ πίπτειν ἐπὶ τὸν τράχηλον, διὰ τὸ ἔχειν τὰ ἐν τοῖς νεῦρα ἀποτεταμένα. ὁ δὲ τοιοῦτος ζῆν οὐ δύναται.

ἹΕΡΟΚΛΈΟΥΣ.

Πρὸς μὲν τοὺς προσειλημμένους νευριτικοῖς, οὐδὲν δύναται προσωφελῆσαι βοήθημα. καλὸν δὲ γεγράφθαι τὰ σημεῖα, ἵνα μή τις τὸν νευριτικὸν δόξας ἑτέρῳ πάθει περιπεπτω-

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Σύκας καὶ μυρμηκίας τὰς λεγομένας, εἰ γίνωνται ἐν οἱδήποτε μέρει τοῦ σώματος, μάλιστα δὲ ἐπὶ τῶν ἀκρωτηρίων, συμβουλεύει Ἄψυρτος μὴ καίειν, ἀλλ' ἀποτέμνειν καὶ ξύειν ἐγγύς, εἶτα χαλκῖτιν ὠμὴν τρίψαντα ἐπιτιθέναι καὶ ἐπιδεσμεῖν, καὶ τοῦτο καθ' ἡμέραν ποιεῖν. ὕδωρ δὲ μὴ προσφέρειν τῷ πότῳ, ἕως ἂν ὑγιὴς γένηται. μάλιστα δὲ ἀπαγορεύει μὴ καίειν, ὅταν γένηται ἐν τῇ θέσει τοῦ ποδὸς ἐπὶ τὴν στεφάνην. δυσχερῶς γὰρ ἀπουλοῦται.

Ἄλλο περὶ συκῆς ἐν πτέρναις, ὃ καλοῦσι πτερύγωμα.

Συμβαίνει ἐπὶ τὴν πτέρναν τοῦ ὀπισθίου ποδὸς παρ' αὐτὴν τὴν χελιδόνα ἕλκος γίνεσθαι, ὃ καλοῦσι συκῆν. ἐνοχλεῖται οὖν ἐκ τούτου, καὶ χωλεύει, καὶ πόνους ἔχει, καὶ ἅψασθαί τινα οὐκ ἐᾷ. τοῦτο οὖν δεῖ θεραπεύειν ὡς τάχιστα τῷ καυτηρίῳ, καὶ τοῖς ἄλλοις φαρμάκοις. χρονίου γὰρ γινομένου, ἐν τῷ περιπάτῳ κατ' ὄνυχα τείνειν τὴν ὁπλὴν ἐπισυμβαίνει, καὶ γίνεται καθ' ὁ χωλός. συμβαίνει δὲ τοῦτο ὄνῳ καὶ ἡμιόνῳ. ἵππῳ δὲ οὐ ῥᾳδίως.

Ἄλλο πρὸς μυρμηκίαν.

Ἀσβέστου γο̄ α΄, σφεκλαρίου κεκομμένου γο̄ α΄, κονίας στακτῆς ξέστην μίαν, λιβανωτοῦ γο̄ α΄, φέκλης γο̄ β̄, ἁλὸς κονίας γο̄ β̄, ἰοῦ γο̄ β̄, ὄξους γο̄ β̄. Ἄλλο.

Μίσυος, χαλκάνθης, τιτάνου, ἀσβέστου, ἰοῦ, γο̄ β̄, λειώσας, ἐκτεμὼν πρότερον τὴν μυρμηκίαν, καὶ καύσας, οὕτως ἐπίπασσε. ἐὰν δὲ περὶ ὀφθαλμὸν ᾖ, ἢ βλέφαρον, μετὰ μέλιτος λειώσας, ἐπίχριε, περιελὼν τριχῆ τὴν μυρμηκίαν, καὶ καυτῆρας ἐπιθείς. Ἄλλο.

Ἐὰν μυρμηκίαι γίνωνται ἐν τοῖς ποσί, λαβὼν χαλκίτιδος γο̄ β̄, καὶ σινωπίδος γο̄ α̅, τρυγὸς γο̄ β̄, λέπος ῥόας μετὰ ὄξους ἑψήσας. ἔπειτα καὶ αὐτὴν τὴν ῥοιὰν συντρίψας, καὶ τούτοις συμμίξας καὶ διηθήσας, εἰς ῥάκος ἐγχυμάτιζε. κέχρησο δὲ καὶ τῷ τραυματικῷ. Ἄλλο.

Πρῶτον ἐκτεμών, ἐπίθες μέλι καὶ ἄσβεστον ζῶσαν, καὶ ἰτέας φλοιὸν κόψας, καὶ σείσας, σύμμιξον, καὶ ἐπιχρίσας, θεραπεύσεις.

Ἱεροκλέους

τα, εἶτα ἀποσμηχέσθω οἴνῳ παλαιῷ καὶ ὕδατι θερμῷ μεμιγμένοις. μετὰ δὲ τὴν ἀπόσμηξιν, εὐθέως καταβρεχέσθω οἴνῳ καὶ ἐλαίῳ, προσεμπασσομένου ἀλεύρου ὀροβίνου. ἐὰν δὲ μὴ εὐπορήσῃς γλοιοῦ, κηρὸν καὶ πίσσαν ὑγρὰν, καὶ στέαρ χοίρειον καὶ ἅλας, καὶ ἔλαιον βάψας ἐν ταυτῷ κατάχριε πτεροῖς. ἐὰν δὲ ἑβδομαίῳ γενομένῳ ἐκ τοῦ καταχρίσματος μὴ ἐκπέσῃ τὰ ἐσχαρώματα, δέος μὴ ἀπέρρωγέ τι τοῦ ἐντὸς, καὶ ἀφύκτῳ κινδύνῳ περιπέσῃ. ὁ δὲ ἄριστος τῶν καυτηρίων καιρὸς, ὁ ἐαρινὸς καὶ θερινός.

Ἄλλο εἰς τὸ αὐτό.

Κηροῦ λίτραν μίαν, προπόλεως γο̄ β̄, ἀμμωνιακοῦ γο̄ β̄, οἰσύπου γο̄ ᾱ, χαλβάνης γο̄ β̄, μάννης γο̄ β̄, ἰξοῦ γο̄ δ̄, ἀφρονίτρου γο̄ ᾱ, πεπέρεως γο̄ β̄. Ἄλλο.

Κηροῦ λίτραν μίαν, προπόλεως γο̄ ᾱ, ἀμμωνιακοῦ γο̄ β̄, οἰσύπου γο̄ ᾱ, χαλβάνης γο̄ β̄, ἀσφάλτου γο̄ δ̄, ὀποπάνακος γο̄ β̄, νίτρου γο̄ β̄, στυπτηρίας σχιστῆς γο̄ ᾱ, πεπέρεως γο̄ β̄, ἰξοῦ γο̄ β̄, θείου γο̄ ᾱ.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΣΥΚΩ͂Ν ΚΑῚ ΜΥΡΜΗΚΙΩ͂Ν, ἃ καλοῦνται οἶμαι ὅτι περὶ τὴν στεφάνην γίνονται.

ΚΕΦΆΛ. ΓΒ.

Ἄψυρτος Ἡρωδίωνι Ἀλεξανδρεῖ ἱππιατρῷ χαίρειν. συκὰς τὰς γινομένας, ἢ μυρμηκίας λεγομένας ἐν τοῖς ἵπποις καὶ ἡμιόνοις, ἢ ὄνοις ἐν ᾡδήποτε μέρει τοῦ σώματος, μάλιστα δὲ ἐπὶ τῶν ἀκρωτηρίων, οὐ δεῖ καίειν ἀλλ' ἀποτέμνειν, ξύειν τε ἄσσον ὕελῳ, καὶ χαλκῖτιν ὠμὴν βάψαντα ἐν ὄλμῳ ἐπιδεσμεῖν, καὶ τοῦτο καθ' ἡμέραν ποιεῖν. ὕδωρ δὲ μὴ προσάγειν, καὶ ἔσται ὑγιής. μάλιστα δὲ δεῖ ἀπέχεσθαι τῆς κατακαύσεως, ὅταν ᾖ ἐν τῇ θέσει, τοῦ ποδὸς περὶ τὴν στεφάνην. δυσκόλως γὰρ ἀπουλοῦνται.

βύσαι σπογγίῳ. τῇ δὲ ἐχομένῃ ἡμέρᾳ ἐκκλύσαι ἀκράτῳ τὴν πληγὴν, καὶ διαχρίσαι τῷ φαρμάκῳ, ἕως τὴν ἀτοπίαν εἰς τὸ συνελθεῖν, εἶτα θεραπεύειν τῷ ξηρίῳ, τῷ διὰ τῆς στυπτηρίας συγκειμένῳ.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΕΡῚ ἈΠΟΣΤΉΜΑΤΟΣ.

ΚΕΦΆΛ. ΟΘ.

ἘᾺΝ ἀπόστημα ἐπιγένηται ἐξ ἅλματος, ἢ κυλίσματος, ἢ πληγῆς, ἢ πτώματος, ἄσβεστον ῥίψας λίαν, καὶ τραχείας οἶνον, ἐλαίου τὸ αὐτὸ μέτρον ἐπίβαλλε. καὶ ὅταν γένηται τὸ πάχος γλοιῶδες, περίχρισον τὸν ἐπηρμένον τόπον, προσεπιλαμβάνων ὀλίγον τι καὶ τοῦ ὑγιοῦς, ἢ ἄλευρον πύρινον καθαρώτατον φυράσας, ὄξος ἐπιχέας, καὶ μάννης ὁλκὰς β΄, καὶ ὠὰ β΄, ποιήσας τὸ πάχος κατάχρισον τὸν ἐπηρμένον τόπον, καὶ τοῦ ὑγιοῦς προσεπιλαμβάνων.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΡῸΣ ΚΑΡΊΔΑΣ.

ΚΕΦΆΛ. Π.

Κυπαρίσσων ἀκρέμονας κόψας καὶ κηκίδος λίτραν μίαν, ἀξουγγίου καὶ κηροῦ ἀνὰ ἡμίλιτρον, ὀμφακίας ὡσεὶ μίαν λίτραν, ὄξει φυράσας κατάπλασσε. Ἄψυρτος δέ φησι τῷ ἰδίῳ χρῖσαι ὀρῷ προαποσμίξαντα αὐτὸ καθ' ἡμέραν, ἐπιπάσσειν τιτάνῳ μελαίνῃ μέχρις ἂν ὑγιάνῃ.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΕΡῚ ΔΙΑΚΑΎΣΕΩΣ.

ΚΕΦΆΛ. ΠΑ.

Ὅταν ἀνάγκης ἐπιλαβούσης καυτηριασθῇ κτῆνος, ἅλατι λεπτῷ καὶ ἐλαίῳ τῇ πρώτῃ ἡμέρᾳ καταβρεχέσθωσαν οἱ γνόφοι οἱ ἐπιτιθέμενοι. ταῖς δὲ ἐρχομέναις ἡμέραις, γλοιῷ παιδικῷ καταχριέσθω ἐπὶ ἑπτὰ ἡμέρας δὶς τῆς ἡμέρας, ἵνα ἐκπέσῃ τὰ ἐσχαρώματα, εἶτα

τὸ ἴσον χαμαιλαίας βοτάνης ἀγρίας δραχμὰς β̄, ἀδάρκης δραχμὰς γ̄, ταῦτα πάντα τρίψας ἐπιμελῶς, καὶ μίξας ὄξος, καὶ λεάνας μετὰ ἀξουγγίου, χρῶ ἐπὶ τοὺς τόπους.

Περὶ παραπρίσματος.

Κινῶν τὴν φλέβα τὴν ἐπάνωθεν τοῦ μεσοκωνίου, ἔασον ἀποῤῥεῖν, καὶ ὀλύνθους ἁπαλοὺς ἐρινεοῦ προσφάτους κόψας εἰς λεπτὰ, ἕψει ἐν οἴνῳ, καὶ μετὰ βολβίτου κατάπλασσε. εἰ δὲ μὴ τοῦτο ἐνεργήσῃ, σχάσον τὴν φλέβα τῆς ἀγκύλης, καὶ ἄφες ἀποῤῥεῦσαι ὡσεὶ κοτύλην μίαν, καὶ ἅλας ὀπτὸν λεάνας, μετὰ ἐλαίου ἐπίθες, μίξας ἐρέγμου ἄλευρον, καὶ ὀλίγον μέλι.

ΙΕΡΟΚΛΕΟΥΣ

περὶ πρίσματος.

Ὑπὸ δρόμου σφοδροῦ μάλιστα γίνεται πρίσματα, καὶ τὰ σφυρὰ τὰ ἔμπροσθεν πίμπραται, ὡς δοκεῖν ὑγρασίας εἶναι πλήρη. σχάσας τοίνυν τὴν φλέβα τὴν ὑπὸ τὸ μεσοκώνιον κατάντλησον. ἐὰν δὲ μὴ βοηθήσῃ τὸ βοήθημα, ὑποξυρήσας τὸν τόπον τὸν ἐπηρμένον χάραξον, καὶ ὡς ἔχει τὴν ὑγρασίαν, ὀξυκράτῳ κατάβρεχε, τῇ δὲ ἐχομένῃ ἡμέρᾳ μαλάγματι χρῆσαι τῷ διὰ χαλβάνης.

Περὶ πρισμονῆς.

Ἐξελὼν τὴν κόπρον, καὶ βαλὼν τοῦ αἰγυπτίου νίτρου γο ῖ, καὶ τῆς αἰγυπτίας συκαμίνου τὰ ἁπαλὰ, ἢ τῆς ῥίζης συγκόψας, ἀνάζεσον ἐν οἴνῳ καὶ ὕδατι ἴσον ἴσῳ κεκραμένῳ. εἶτα λαβὼν καυτήριον καῦσον κοτυλίσιν. ὅταν δὲ ἱκανῶς ἔχῃ, δὸς αὐτῷ ὕδωρ πίνειν θερμόν.

ΙΕΡΟΚΛΕ

ΠΕΡΙ ΣΚΟΛΟΠΟΣ.

ΚΕΦΑΛ. ΟΗ.

ΕΑΝ ὑπὸ σκόλοπος πληγῇ ξυλίνου, ἢ ὀστέου, ἢ ὀστράκου τῆς ὁπλῆς, χρὴ ἐξελεῖν τὸν σκόλοπα, καὶ προκαθάραντα διαχρίσαι φαρμάκῳ τῷ διὰ ἰοῦ ἢ μίσυος, ἢ ἄλλῳ τραυματικῷ. καὶ ἀπο-

Ἄλλο μάλαγμα θερμὸν εἰς τὸ αὐτό.

Βαλὼν ἔλαιον εἰς κάκκαβον, καὶ θερμὸν ποιήσας πρόσβαλλε λιθαργύρου γο ἕξ, κηροῦ λίτραν α, μολυβδαίνας γο ἕξ, προπόλεως γο ἕξ, ταῦτα εἰς λοῦτραν σιδήρου θερμάνας, ἐπίθες ἐπὶ τὸ γόνυ.

Ἄλλο μάλαγμα πρὸς μελικηρίδας τὰς νεαρὰς καὶ προσφάτους σκορπίζον.

Ὄξους ἡμικοτύλιον, ἁλὸς ἀμμωνιακοῦ λίτραν ἕξ, κισσοῦ κορύμβου γο δ, κάχρυος σπέρματος κεκομμένου γο δ, κόπρου περιστερᾶς κόκκους ἕξ, μάννης γο β, κονίας ἀσβέστου γο δ, ταῦτα βαλὼν πάντα εἰς χύτραν. πρῶτον δὲ ὄξος, εἶτα ἀμμωνιακὸν καὶ ῥητίνην καὶ τὰ λοιπὰ βαλὼν ἕψει. ὅταν δὲ ἑψηθῇ, ἆρον ἀπὸ τοῦ πυρὸς, καὶ εἰς ὀθόνιον ἐπιχρίσας, ἐπίθει καὶ ἐπίδεσμε φασκίᾳ, καὶ λύε διὰ ἡμερῶν ε, καὶ καταύτλει θερμῷ. εἶτα ἐκ τοῦ αὐτοῦ φαρμάκου θερμάνας, ἐπίθες ἐπὶ ἡμέραις ε, καὶ θεραπεύσεις.

Ἄλλο περὶ παραπρίσματος προγνώσεως.

Πρῶτον μὲν ἐπάνω τοῦ κνιδὸς ἐπὰν ἐστήκοι, σηκοῦνται ἠλίκον κάπνος, ἢ μικρῷ μεῖζον σὺν τῷ ἐνὶ ἡνωμένα. ταῦτα δὲ συμβαίνει ἀπὸ δρόμου, ἢ ὁδοῦ μακρᾶς, ἢ φορτισμοῦ.

Ἄλλο παραπρίσματος ἴασις.

Λαβὼν χαστήριον, τρῆσον, καὶ ἔγκοψον τὸ ἀγκεῖον, εἶτα λαβὼν ἔλαιον καὶ ἅλας ῥίψον, εἶτα πυρίᾳ, καὶ τρίβε κηρωτῇ.

Πρὸς παραπρίσματα κολλυρίων σκευασία.

Χαλκίτιδος γο γ, ἰοῦ τὸ ἴσον, μαράθου μέλανος γο δ, μίσυος πεπηγμένου γο δ, χαλκάνθης γο γ, κηκίδος μελαίνης, ῥυγὸς, ψιλώθρου, ἀνὰ οὐγγιῶν τριῶν, ἄνθους τὸ ἱκανὸν, κυμίνου ἀλεξανδρίνου τὸ ἱκανὸν, βαλὼν ὄξος δριμὺ, καὶ εἰς θυαὺ ῥίψας καὶ ποιήσας κολλύρια, καὶ ξηράνας, χρῶ.

ΤΙΒΕΡΙΟΥ ΠΡΟΣ ὙΔΑΤΙΔΑΣ

ἆραι χωρὶς σιδήρου.

Ῥοδοδάφνης φύλλων δραχμὰς δ, εὐφορβίου δραχμὰς ἕξ, κόπρου περιστερᾶς δραχμὰς δ, καρδάμου σπέρματος τὸ ἴσον

ΠΕΛΑΓΩΝΙΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Στυπτηρίας λιπαρᾶ μετὰ ὄξους δριμυτάτου τοὺς πόδας συνεχῶς ἀπότριβε. Ἄλλο.

Ἁλὸς ὀρυκτοῦ ὁλκὰς β΄, ἀρσενικοῦ ὁλκὴν α΄, ἐλλεβόρου ὁλκὰς β΄, χαλκίτιδος ὀπτῆς τὸ ἴσον μέλιτι ἀναλαμβάνων χρῶ.

Πρὸς τὸ μελικηρίδας ἐκχέαι ἄνευ σιδήρου.

Ἀκακίας, βοτρυΐτιδος κεκαυμένης, ἰοῦ, ἐλλεβόρου μέλανος, ἀσφάλτου ἰουδαϊκῆς, νίτρου ἐρυθροῦ, χαλκάνθης κεκαυμένης, ἀξουγγίου παλαιοῦ, ἐλαίου χυλοῦ, ἀμμωνιακοῦ, χαλκίτιδος, πάντα ἴσα τὰ ξηρὰ κόψας, καὶ σήσας ἅμα τῇ ἀσφάλτῳ καὶ αὐτῇ σεσησμένῃ προκεκομμένου τοῦ ἀξουγγίου ἐπίβαλλε τοῖς ὑγροῖς, μιγνὺς ἄμφω, καὶ ποιήσας ἔμπλαστρον ὀθονίῳ, ἐμπλάσας περιτίθει περὶ αὐτῷ κυκλάσκιον ἐρυσίου πεποιημένον, καὶ οὕτως δέσμευε. λύων δὲ τῇ γ΄ ἡμέρᾳ χρῶ τῷ φαρμάκῳ ἕως οὗ εὕρῃς τὸν τόπον κατατετρημένον, ἴσα κοσκίνῳ, καὶ ἐξηνθημένον τὸ ἐγκείμενον, καὶ μετὰ τοῦτο ἀναξήραινε αὐτὸ τῇ βαρβάρᾳ τῇ διὰ ὄξους, ἢ ἐλαίου καὶ λιθαργύρου καὶ πίσσης, ἀσφάλτου τε καὶ ἀμμωνιακοῦ.

Ἔμπλαστρος πρὸς μελικηρίδας ἐκκεχυμένας θερμὴ καταχριομένη.

Ἐλαίου κοινοῦ λίτρας δ΄, ἀμμωνιακοῦ λίτραν αςʹ, μολυβδαίνας, ἢ χαλκάνθης κεκαυμένης ἀνὰ λίτραν αςʹ, ἰοῦ γο΄ ἕξ, μίξας ψιμμυθίου αςʹ, ἑψήσας χρῶ.

ΕΛΕΝΟΥ ΙΠΠΙΑΤΡΟΥ ΜΑΛΑΓΜΑ πρὸς μελικηρίδας.

Βαλὼν εἰς κάκκαβον ὀλίγον ἔλαιον, καὶ θερμάνας αὐτό, πρόσβαλλε λιθαργύρου γο΄ ἕξ, καὶ ἀξουγγίου τὸ ἴσον, καὶ διυλίσας, βάλλε κηροῦ λίτραν αςʹ, καὶ ῥητίνης λίτραν α΄, κώνης γο΄ ἕξ, χαλκίτιδος γο΄ α΄, μίσυος πεπηγμένης γο΄ ἕξ, ψιλώθρου τὸ ἴσον, ὀποπάνακος λίτραν δ΄, χαλβάνης γο΄ δ΄, ἁλὸς ἡμίνης ἔλαττον, ὄξους γο΄ ἕξ.

Ἄλλο.

χρόαν, εἴληφε καὶ τὸ ὄνομα. θεραπεύεται δὲ τῷδε φαρμάκῳ, ἐλαίου λίτρας δ΄, ἀμμωνιακοῦ θυμιάματος, μολυβδαίνας ψιμμυθίου ἀνὰ λίτραν α΄, χαλκοῦ κεκαυμένου γο΄ τὸ ἥμισυ, ἰοῦ γο΄ η΄, μίξας χρῶ. θερμοτέρῳ δὲ χρίων τῷ φαρμάκῳ, θᾶττον διαφορήσεις.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐὰν μελικηρίδας ἔχῃ ἵππος, ἤ τι τῶν ἄλλων ὑποζυγίων, φλεβοτόμει περὶ τὰ γόνατα, καὶ σπόγγον ἐπιτίθει δι᾽ ὀξυκράτου μίσγων μέλι. ἐὰν δὲ ἐπιμένωσι, κατάχριε. ἐὰν πλείονα χρόνον ὦσι, καῦσον αὐτὸν εἰς ἕκαστον γόνυ, μὴ κατὰ βάθος μέντοι, ἵνα μὴ τὴν ἁρμονίαν λύσῃς ἀλλὰ μὴ ἐλλιπῶς, μὴ δὲ ἐπισυνάψῃς. θεράπευε δὲ ὡς καὶ τὰ λοιπὰ καυτήρια ἀποδεσμευμένων.

Ἄλλο.

Ἐλαίου λίτρας δύο, ἁλὸς ἀμμωνιακοῦ γο΄ β΄, μολυβδαίνας γο΄ η΄, χαλκοῦ κεκαυμένου γο΄ β΄, λεπίδος χαλκοῦ γο΄ β΄, ἀφρονίτρου τὸ ἀρκοῦν, μάννης, λιβάνου, ψιμμυθίου ἀνὰ γο΄ γ΄, πάντα μίξας ἐν ταυτῷ χρῶ. Ἄλλο.

Νίτρου γο΄ γ΄, ῥοδοδάφνης φύλλα ξηρά, ἀξουγγίου παλαιοῦ, ἀσφέλλου ἀνὰ γο΄ γ΄, ἢ ἁλὸς ἀμμωνιακοῦ, μολυβδαίνας, λιθαργύρου, ψιμμυθίου ἀνὰ γο΄ α΄, χαλκοῦ κεκαυμένου γο΄ β΄, ἰοῦ τὸ ἴσον, καὶ ἐλαίου γο΄ ϛ΄, πάντα μίξας χρῶ. Ἄλλο.

Εἰ μελικηρίδας ἵππος ἔχει, ἀνακολλήμασιν αὐτὸν θεραπεύσεις, καὶ τῇ πρώτῃ ἡμέρᾳ, ἅλατι σὺν ἐλαίῳ τρίψεις, καὶ τῇ ἑξῆς θερμῷ ὕδατι ἀντλήσεις, ἐπιχρίων τοὺς ὄνυχας στέατι χηνείῳ καὶ βουτύρῳ.

ΠΡῸΣ ΚΙΡΣΟΎΣ

Ἐὰν κιρσοὶ ἐνοχλῶσι τὸν ἵππον, οὕτω θεραπεύσεις, σμίλῃ ἀνοίξεις καὶ καύσεις, καὶ τρίψεις ἅλατι καὶ ἐλαίῳ ἐπὶ δέκα ἡμέραις. εἰ δὲ ἔτι ἐνοχλεῖται, αἷμα αὐτοῦ ἀφαιρήσεις καὶ θεραπευθήσεται.

Ἐνίοτε κιρσοὺς ἔχει κτῆνος, καὶ ὅταν ἐξ ὕπνου ἀναστῇ, παρέλκει τὸν πόδα, ὡς δοκεῖν ἐκβεβλῆσθαι. χειροτριβήσας οὖν αὐτὸν ποίησον περιπατῆσαι, καὶ παραχρῆμα εἰς τάξιν καταστασθήσεται.

Πελαγωνίου

κύκλῳ, ἐλαίῳ ἐπάλειφε. εἰ δὲ ἀποσκληρύνωνται, ὀρόβους καὶ μέλι ἄλειφε.

Πρὸς τὰ ἐν ὀφθαλμοῖς καρκινώματα.

Ὀρόβους ἀληλεσμένους μετὰ ἐλαίου ῥοδίνου, καὶ ᾠοῦ ἔμβαλλε, καὶ μετὰ τὸ καθαρθῆναι τὸ τραῦμα, μέλιτι ἀττικῷ ἔγχει, ὥστε συνουλωθέντος τοῦ τραύματος ἰαθῆναι.

ΙΕΡΟΚΛΕ

ΠΕΡῚ ΜΕΛΙΚΗΡΊΔΩΝ ΚΕΦΆΛ. ΟΖ.

Τὰς μελικηρίδας καὶ τὰς πομφόλυγας καίειν Ἱερώνυμος συμβουλεύει καυτηρίοις ὀρθοῖς, ἕως ἂν διακαύσῃς τὸ δέρμα, τοῦ χιτῶνος φειδόμενος, τὸ ὑγρόν τε ἐκθλίβειν, ὥστε μηδὲν ἐξ αὐτοῦ ὑπολιπεῖν. τὰς δὲ καύσεις θεραπεύειν κηρῷ καὶ ἐλαίῳ καὶ στέατι συντήξαντα αὐτά. κἂν μὲν ᾖ θάλασσα, λούειν τῇ θαλάττῃ, εἰ δὲ μή, ὕδατι ψυχρῷ προσαντλεῖν. ἤρεσε δέ τισι καυτηριάζειν τὰς μελικηρίδας χαλκοῖς καὶ μὴ σιδηροῖς ὀργάνοις. ἔχεις καὶ ἐμπλάστρου σκευασίου πρὸς μελικηρίδας ὑποτεταγμένην, ἐν τοῖς συντάγμασι τῶν φαρμάκων πρὸς τὰ τέλη τοῦ βιβλίου τούτου.

Ἄλλο.

Παραπρίσματα δὲ λέγεται, ἢ μελικηρίδες ὑπό τινων ἢ ὑδατίδες, ἅτινα γίνεται ἐν τοῖς κυνόποσιν, ἢ σουροῖς λεγομένοις, ταῦτα οὐ δεῖ καίειν. εἰσὶ γὰρ νευρωτοί. ἔστι δὲ καὶ ἕτερόν τι γένος κιρσῶν, ὃ γίνεται μὲν κρυπτῶς, ἐπιγινώσκεται δὲ ὅταν ἀναπέσῃ ἐν τῇ στάσει, καὶ ποιήσῃ πλείονα χρόνον κατακείμενος. ἐγερθῆναι γὰρ οὐ δύναται, ἐὰν μή τις αὐτῷ βοηθήσῃ. ἀναστὰς δέ, ἀποτείνει τὸν μηρόν, καὶ τὸ σκέλος, καὶ ἐπισύρει μακρόν. μάλιστα δὲ αὐτῷ χειμῶνος τοῦτο συμβαίνει, ἀποκαθίσταται δὲ ἐλαυνόμενος καὶ περιπατήσας εἰς τὸ κατὰ φύσιν.

ΘΕΟΜΝΉΣΤΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἡ μελικηρίς, ὄγκος ἐστὶ περὶ τὰ ἄρθρα γινόμενος ὑγρός, καὶ παχύς, ἐν ᾧ καὶ μεταβαλλόμενος εἰς μέλιτος πάχος καὶ

λιδνὸν εἴη τὸ αἷμα, μέχρι καθαροῦ αἵματος ῥύσεως ἀπορρεῖν συγχωρείσθω, καὶ μελίκρατον διὰ στόματος ἐμβαλλέσθω. τροφὴ δὲ χλωρὰ, καὶ ἀλεύροις τρεφέσθω, προσβαλλομένου μέλανος οἴνου. τὸ δέρμα κυλισμοῖς καὶ ἀνατρίψεσι χαυνούσθω. τινὲς δὲ καὶ κισσοῦ φύλλα τρίψαντες, οἴνῳ τε μίξαντες, καὶ χλιάναντες διὰ μυκτῆρος ἐνέχεον.

ἹΕΡΟΚΛΈΟΥΣ

περὶ καρκινωμάτων.

Τὰ καρκινώματα φησὶ δεῖν Ἱερώνυμος τέμνειν ἐὰν ὁ τόπος ἐπιδέχηται. εἰ δὲ μὴ, καταπλάσσειν καρκίνους ποταμίους καύσαντα, καὶ μετὰ ὀξυρᾶς τρυγὸς τρίψαντα καὶ φυράσαντα ἐπιτιθέναι πίτυος φλοιὸν κεκομμένον. καὶ ἶριν κεκομμένην, καὶ κωνείου σπέρμα, καὶ σικύου ἀγρίου ῥίζαν κόψαντα μετὰ ὕδατος ψυχροῦ καὶ ὄξους καταπλάσσειν. ἐὰν μέντοι ἑλκωθῇ, ὕδωρ μὴ προσάγειν ἀλλὰ πλύνειν οἴνῳ. φαρμάκῳ δὲ χρῆσθαι, μολύβδαιναν καὶ χάλκανθον κεκομμένα, κονίᾳ ἀσβέστου μίξαντα ὀξίσης ξηρᾶς, ἐπιτιθέναι. τὰ δὲ κύκλῳ, ἐλαίῳ ἐπαλείφειν.

Ἄλλο.

Ἐὰν καρκίνωμα χῇ ζῶον, χρὴ τοῦτο περιτέμνεσθαι, καὶ μετὰ ταῦτα μέχρι τῆς ζώσης σαρκὸς ἐπικαίεσθαι, καὶ κανθαρίδας λελειωμένας μετὰ στυπτηρίας καὶ ἐλαίου κυπρίνου ἐπιτιθέναι.

ἹΠΠΟΚΡΆΤΟΥΣ

εἰς τὸ αὐτό.

Τῶν δὲ καρκινωμάτων, ἀρίστη ἐστὶ καὶ ταχίστη, ἡ διὰ τοῦ μαλάγματος τοῦ κωνείου, καὶ ῥητίνης, καὶ ἰξοῦ, καὶ χαλβάνης σύνθεσις. ταῦτα ἑψήσας, χρῶ θερμῷ βοηθήματι, ἐὰν τόπος ἐπιδέχηται. εἰ δὲ μὴ. καταπλάσμασι ξηροῖς καὶ τηκτοῖς τρύβις, καρκίνους ποταμίους καύσας καὶ τρίψας, ἐπιτίθει, μετὰ τρυγὸς ὀξυρᾶς, πίτυός τε φλοιὸν κεκομμένον, καὶ κίσσιριν κεκαυμένην, καὶ κωνείου σπέρμα καὶ σικύου ἀγρίου ῥίζαν κόψας ὁμοῦ, μεθ' ὕδατος ψυχροῦ καὶ ὄξους κατάπλασσε. καὶ αὖθις περίπλυνε οἴνῳ. φαρμάκῳ δὲ χρῶ τούτῳ. τρύγα λευκὴν καύσας μετὰ μολυβδαίνας καὶ χαλκάνθης κεκομμένων, καὶ λαβὼν πρὸς ταῦτα κονίαν ἀσβέστου, ἄγαν ξηρὰ πρόσαγε. τὰ δὲ

κύκλῳ,

ψήξας, τὸν χυλὸν δίδου πιεῖν χλιαρόν. Ἄλλο.

Χολὴ καὶ ὑγρὰ καὶ ξηρὰ τίκτεσθαι πέφυκεν, ἥ τις μάλιστα ὄνων καὶ ἡμιόνων τὰ γένη λυμαίνεται. τῆς οὖν ξηρᾶς σημεῖα ταῦτα. ὠχρᾶται κατὰ παντὸς τοῦ σώματος, καὶ τοῖς ὄνυξι τύπτει τὴν φάτνην ὥσπερ ἐπτοημένος, καὶ τοὺς ὀφθαλμοὺς τετάρακται οὕτως, ὡς ἀντιβλέπειν ἀνθρώπῳ μὴ δύνασθαι, τήν τε φορβείαν ἕλκειν ἐφ᾽ ἑαυτὸν βιάζεται, καὶ κυλίεται πυκνότερον. συμβαίνει δὲ τοῦτο, ἡνίκα τὰ περὶ τὴν καρδίαν χολῆς εἴη πεπληρωμένα. αἷμα τοίνυν ἀπό τε τοῦ τένοντος καὶ τῶν κροτάφων λάμβανε, καὶ μετ᾽ αὐτοῦ τὸ ζῶον ἀπότριβε, τέσσαράς τε ξέστας οἴνου διὰ τῶν μυκτήρων ἔμβαλλε. πρὸς τὸ διὰ τῆς τοιαύτης πλησμονῆς, δυσχερῶς αὐτὸ ἐμέσαι δυνηθῆναι, διὰ γὰρ τούτου καὶ τὴν γαστέρα λύεσθαι συμβαίνει. εἰ δὲ τοῦτο μὴ γένηται, ὑποκένου τὴν κοιλίαν, ἢ ἐλλεβόρου μέλανος δραχμὴν μίαν, καὶ λινοσπέρματος τὸ ἴσον λειώσας, καὶ μίξας οἴνου κοτύλαις δυσὶ διὰ στόματος δίδου. εἰ δὲ μὴ εὑρεθείη λινόσπερμα, ἀσκαμωνίας δραχμὰς δύο βαλὼν δίδου. μετέπειτα δὲ ἀψίνθιον καὶ κενταύριον ἐν μελικράτῳ ἀποβρέξας, διὰ τῶν μυκτήρων ἔγχει. λοῦε δὲ καθόλου ὕδατι ψυχρῷ. ἢ λιβάνου, μάννης, σμύρνης, τὸ ἴσον λειώσας ἅμα, ἔγχει διὰ στόματος, ἢ μυγαλῆν μετ᾽ αὐτῶν λειώσας, καὶ μετ᾽ οἴνου λευκοῦ κοτύλης μιᾶς καὶ θερμάνας, διὰ τῆς ἀριστερᾶς ῥινὸς ἔμβαλλε.

Περὶ ὑγρᾶς.

Τῆς ὑγρᾶς χολῆς σημεῖα ταῦτα. κείμενος οὐκ εὐχερῶς ἐγείρεσθαι δύναται, διεγειρόμενος τρέμει καὶ συμπίπτει. συμβαίνει δὲ τοῦτο, εἰ κριθὴν νεαρὰν, ἢ βεβρεγμένην, ἢ κεκομμένην φάγοι, ἢ καὶ σφοδρότερον κινηθεὶς πίοι ὕδωρ ψυχρόν. θεράπευε δὲ οὕτως, κνικίδος γο γ̄, πίτυος μίαν, ῥοῦ βυρσοδεψικοῦ τὸ ἴσον, φλοιοῦ μήλου ἐρυθροῦ τὸ ἴσον, λειώσας καὶ προσβαλὼν οἴνου κοτύλην μίαν, καὶ χλιάνας, καὶ διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἐγχέας, περιπατεῖν ἀνάγκαζε. Τῶν χολερικῶν σημεῖα ταῦτα. καθ᾽ ἕκαστα πόδα χωλεύουσι, τὸ δέρμα τεταμένον ἔχουσι, τὰς φλέβας γεμούσας αἵματος, πολλὴ δὲ τούτοις συμβαίνει θερμότης. θεραπεύειν οὖν χρὴ τρόπῳ τοιῷδε, αἷμα τοῦ τραχήλου λαμβανέσθω, καὶ τῇ ἑξῆς, σμιλίῳ ἡ φλὲψ ἐπανοιγέσθω, καὶ εἰ μοχθηρὸν καὶ πε-

οἴνῳ, καὶ ἐγχυματισμοῦ προσενεχθέντος, προσαντλείσθω ψυχρῷ ὕδατι περὶ τὸν ὀμφαλόν. στρατόνικος δὲ συντάσσει μέλιτος ὀξύβαφον, καὶ μαράθου σπέρματος ὀξύβαφον, μελιλώτου ὁλκὴν τρίψαντα ἐν οἴνου κοτύλῃ καὶ ὕδατος ξέσταις ἕξ, ἐγχεῖν διὰ στόματος. ἐὰν δὲ ἡ κοιλία ὑποστῇ κλυστῆρα ἐνθέντα, τὸ πνεῦμα ἐκβαλεῖν, ἢ καὶ ποδάρειον διὰ τῆς ἕδρας καθέντος τὴν χεῖρα ἐκκαθᾶραι τὰ κόπρια. ποτίζειν δὲ χλιαρῷ κατὰ βραχὺ νίτρον παραβάλλοντα, καὶ χόρτον ἁπαλὸν διδόναι. Ἄλλο.

Ἐχίου ῥίζης, τέταρτον μνᾶς, κόψας καὶ τρίψας μετὰ οἴνου ἔγχει, ἢ κισσοῦ πέταλα οἴνῳ μεμιγμένα μέλανι, ἢ σίδια καὶ ἀγριέλαιον κόψας καὶ ὑγράνας οἴνῳ, πρόσαγε τῷ στόματι ὥστε καταπιεῖν. ἐὰν δὲ μὴ πρὸς ταῦτα παύηται, τὰς ἐπάνω τῶν μυκτήρων φλέβας κεντήσας, αἷμα ἀφαίρει.

Περὶ χολέρας ὑγρᾶς.

Πυροὺς δίδου πεφρυγμένους, καὶ ἄλευρα πύρινα, καὶ τὴν ἡράκλειον πόαν καλουμένην τρίβων, καὶ οἴνῳ διεὶς ἔγχει εἰς τὸ στόμα μετὰ γάλακτος καὶ οἴνου. Ἄλλο.

Ἐὰν χολέρα ἐνοχλῇ τῷ ζώῳ, καὶ οὐ δύναται κοιμᾶσθαι, μύρτον ἄγριον τρίβων, καὶ οἴνῳ μίσγων, ἐγχυμάτιζε εἰς ἀμφοτέρους τοὺς μυκτῆρας, κριθάς τε μὴ χόρταζε. ποιεῖ δὲ αὐτῷ καὶ κατάκλυσιν, καὶ στάσιν ἀπαλωτέραν. Κισσὸν μέλανα τρίψας μετὰ οἴνου ἐγχυμάτιζε.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ
χολέρα ἐπαχθῆ.

Ἐπαχθὺς χολὴ διὰ τὴν περὶ γαστέρα φλεγμονῆς, διαγινώσκεται. δεῖ τοίνυν ἐμβάλλοντα τὴν χεῖρα, τὴν κόπρον ἀφέλκειν ἔξω, καὶ μετὰ ταῦτα ὀρίγανον ἀγρίαν, καὶ ἀγριοσταφίδα, καὶ ἅλας λεπτὸν μετὰ μέλιτος ἑψημένου μίξαι, καὶ ποιήσαντα κολλύρια ἐμβαλεῖν, ὅπερ καὶ κοιλίαν καθαίρει, καὶ τὴν χολὴν ὑπάγει. τινὲς δὲ σμύρνης λελειωμένης γο γ, μετὰ οἴνου εἰς τὸν λαιμὸν ἐμβάλλουσιν, καὶ τὸν δακτύλιον πίσσῃ ὑγρᾷ ἀλείφουσιν. ἕτεροι δὲ θαλαττίῳ ὕδατι, τὴν γαστέρα κλύζουσιν. ἄλλοι δὲ, νεαρᾷ ἅλμῃ τὸ αὐτὸ πράττουσιν. Ἄλλο.

Πράσων τὰς κεφαλὰς κόψας, καὶ κριθαῖς χλωραῖς συνε-

λήψας

ἐλαίῳ μεθ' ὕδατος, καὶ τῶν ἔργων παῦλαν ἔχων, καὶ ἐν ἡσυχίᾳ ἑστώς. ἐσθιέτω δὲ χόρτον χλωρὸν ἁπαλὸν, εἰ δὲ οὐκ ἔστι, τὸν ξηρὸν καταῤῥαίνοντας νίτρῳ ἢ γλυκεῖ, ἢ ὑδρομέλιτι παραβάλλειν, καὶ μαλάχην ἀφεψήσαντας ὕδατι θερμῷ μετὰ οἴνου γλυκέος, ἐγχυματίζειν διὰ τῶν ῥινῶν. κριθὰς δὲ μὴ παραβάλλειν, ἄχρις οὗ καταρθῇ, βρέχοντα δὲ, διδόναι τὸ ἀπόβρεγμα πιεῖν μετὰ τοῦ νίτρου, καὶ ῥίψει μὴ πολλῇ χρῆσθαι. ἔστω δὲ ὁ κλυστὴρ ἀσκίον καλάμιον ἔχον ἐνδεδεμένον καὶ κεκηρωμένον, τὸ προστιθέμενον τῷ σφιγκτῆρι. δεῖ δὲ τὰ παρακείμενα κόπρια προεκκομίσασθαι τῇ χειρί. ὑγρᾶς δὲ ἐπιγινομένης ἐπιγνωσθήσεται διὰ τούτων, ὀφθαλμοὶ μήλινοι γίνονται, καὶ στίλβοντες, ῥώθωνας διεσταλμένους ἔχει, ἱδροῖ τε τὰ ὦτα, καὶ τὰς λαγόνας, τότε στόμα θερμὸν ἔχει, καὶ αἱ ὑπὸ τὴν γλῶσσαν φλέβες, ὡσαύτως μήλινοι, καὶ ἐκτινάσσων ἑαυτὸν στρέφει. ἐνίοτε δὲ καὶ χωλαίνει τινὰ τῶν σκελῶν, καὶ οἰδοῦντα ἔχει. οὐρεῖ δὲ ὠχρὸν καὶ χολῶδες. κατακλιθεὶς δὲ καὶ ἐκτείνας ἑαυτὸν στρέφει. λέγεται δὲ βοηθεῖσθαι ἐγχυματιζόμενος ὀξυκράτῳ ἴσον ἑκατέρου κοτύλαις δυσίν. ἡμεῖς δὲ ἐχρησάμεθα καὶ τούτοις. κύμινον καὶ θύμον ἴσον ἑκατέρου τρίψαντες, οἴνῳ καὶ μέλιτι πλῆθος κοτύλης, καὶ ὕδατος τὸ αὐτὸ μιγνύντες, ἐγχυματίζομεν διὰ τοῦ στόματος, καὶ αἷμα ἀφαιροῦμεν ἐκ τῶν μεσοκωλίων. παραγγέλλουσι δέ τινες λούειν αὐτόν. ἕτεροι δὲ τῇ ἀκτῇ τοῦ πυρὸς χρῶνται ἐλαίᾳ καὶ καπνῷ.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐὰν χολέρα συνέχηται ὑγρὰ, ἡ κοιλία ὑγραίνεται, καὶ στρόφοι ἐγγίγνονται, καὶ ἑστὼς ἐν τῇ ἱπποστασίᾳ τὸ στῆθος πρὸς τὸν τοῖχον ὠθεῖ, καὶ δυσκόλως περιΐσταται, καὶ λακτίζει, καὶ πέφρικε, καὶ οὐρεῖ παχὺ καὶ μέλαν. κράμβης οὖν ἀγρίας φύλλα τρίψας, καὶ ἀναζέσας ἐν οἴνου παλαιοῦ κοτύλαις δυσί, καὶ μέλιτος ἡμικοτυλίῳ, ἐγχυμάτιζε διὰ στόματος. τὸ αὐτὸ δὲ ποιεῖ καὶ ὀποπάναξ καὶ πέπερι τριφθέντα μετὰ τοῦ παλαιοῦ οἴνου, καὶ ἐγχυματισθέντα. τῇ δὲ τροφῇ, τῇ εἰθισμένῃ χρῆσθαι, ὀλίγον μέντοι ἐλάττονι. ἡ δὲ ξηρὰ χολέρα, θεραπεύεται οὕτως. κράμβης ἀγρίας ὁμοίως καὶ νίτρου τριφθέντων ἐν

πίσσης ξηρᾶς γο ς´, κηροῦ γο ς´, ἀσφάλτου ἰουδαϊκῆς γο δ´, ἀμμωνιακοῦ γο β´, λειώσας τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου, ἕψει ἐπὶ πλεῖον. καὶ ἐπειδὰν ζέσῃ ἱκανῶς, ἐπίβαλλε τὰ τηκτὰ πρῶτον, τὴν πίσσαν τετριμμένην. καὶ ὅταν αὐτὴ διαλυθῇ, ἄρας τὸν κάκκαβον ἀπὸ τοῦ πυρὸς προσεπίβαλλε καὶ τὴν ἄσφαλτον, καὶ ἔα λυθῆναι, εἶτα ἐπιθεὶς πάλιν ἐπὶ τοῦ πυρός, ὅταν ἀναζέσῃ, πρόσβαλλε καὶ τὰ λοιπά.

Ἔμπλαστρος ξανθὴ εἰς τὸ αὐτό.

Πίσσης ξηρᾶς λίτραν α´, κηροῦ γο β´, μάννης λιβανωτοῦ γο α´, ἀμμωνιακοῦ θυμιάματος γο δ´, ῥητίνης ξηρᾶς γο α´, χαλβάνης γο α´, ὄξους κοτύλας β´, ἑψήσας τὴν πίσσαν, καὶ τὸ ὄξος, ἐπίβαλλε τὸ ἀμμωνιακὸν πλατύνων εἰς τὸ πῦρ, ἢ κόπτων, καὶ σήθων. ἄμεινον δὲ ποιεῖν ἐν ὄξει τήκεσθαι, καὶ ἐγκατακενοῦν τῇ χύτρᾳ, ἔπειτα τὴν ῥητίνην, καὶ τὴν μάνναν, καὶ τὴν χαλβάνην ἐπίβαλλε.

Ἄλλο.

Ἐλαίου παλαιοῦ ξε. α´, ἀξουγγίου, λιθαργύρου, ἀνὰ λίτραν μίαν, ταῦτα ὁμοῦ ἕψει ἕως οὗ πομφόλυγες ἐκβρασθῶσι, καὶ χλιαρῷ ὄντι τῷ φαρμάκῳ κατάχριε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΧΟΛΈΡΑΣ ὙΓΡΑ͂Σ ΚΑῚ ΞΗΡΑ͂Σ

ΚΕΦΆΛ. ΟΕ.

Ἄψυρτος ἰουλίῳ φρόντωνι ἑκατοντάρχῃ χαίρειν. ἔγραψάς μοι ἐπιζητῶν τίνα τὰ σημεῖα χολέρας ξηρᾶς. ἔστι δὲ ταῦτα, θερμὸς ὅλος γίνεται τῷ σώματι, μάλιστα δὲ τῇ κοιλίᾳ, καὶ ἀφοδεύων μετὰ βίας ἐκκρίνει. διὸ καὶ ξηρὰ λέγεται. καὶ διαφεύγει τὸ κατακεῖσθαι, καὶ ὀδυνᾶται σφόδρα τότε· σῶμα θερμὸν ἔχει καὶ κατάξηρον. συμβαίνει δὲ τοῦτο, ὅταν μὴ διέξοδος γένηται ἡ χολὴ διὰ τοῦ πόρου τοῦ ἐπὶ τὴν κύστιν ἄγοντος, καὶ διὰ τῆς οὐρήσεως ἔκκρισιν λάβῃ, ἀλλ' ἐμμένῃ, καὶ ἐν ὁδοιπορείᾳ γένηται ἢ δρόμῳ. θεραπεύεται δὲ κλυζόμενος νίτρῳ καὶ

ἐλαίῳ

Εἰς τὸ αὐτό.

Ὅταν σκέλος κατεαγῇ, καὶ τὴν βύρσαν ἐκδαρῇ, καὶ τὸ ἄρθρον ἐκπέσῃ, περιθεὶς τὴν βύρσαν, καὶ ἁρμόσας τὸ ἄρθρον, καταχρίσον τῷ φαρμάκῳ μὴ λίαν ζεστῷ. καὶ ἐπίδησον, καὶ κρεμάσας τὸ κτῆνος. ἐπάλειφε τὰ κύκλῳ οἰνελαίῳ. ἔστι δὲ τὸ φάρμακον τοῦτο, πίσσης ὁλκὰς κ̄, ὀποπάνακος, ῥητίνης τερεβινθίνης, ἰξοῦ δρυΐνου, κηροῦ ἀνὰ λίτρας ῑ, ἀσφάλτου λίτρας ε̄, ἀμμωνιακοῦ θυμιάματος, ῥητίνης πιτυΐνης, χαλβάνης ἀνὰ λίτρας ἕξ, μάννης, βδελλίου ἀνὰ λίτρας δ̄, σμύρνης λίτρας β̄, τὴν ἄσφαλτον καὶ τὴν ῥητίνην καὶ τὴν πίσσαν, καὶ τὸν κηρὸν ὁμοῦ τήξας, καὶ τὸ ἀμμωνιακὸν πρὸς πῦρ θερμάνας, καὶ πλατύνας, ἐπίβαλλε. τὴν σμύρναν δὲ, καὶ τὸ βδέλλιον κόψας μίσγε τελευταῖα, εἶτα τὸν ὀποπάνακα βαλὼν εἰς κάκαβον καὶ τὸν ἰξὸν, εἶτα τὴν χαλβάνην, καὶ ἔσχατον τὰ κεκομμένα ἐπιπλάσσων ἐν ὀθονίῳ χρῶ.

ἹΠΠΟΚΡΆΤΟΥΣ
περὶ κατάγματος.

Κατάγματος γενομένου ἐν κεφαλῇ, ἐὰν διακοπῇ τὸ ὀστοῦν καὶ ἡ μῆνιγξ, οἱ ὀφθαλμοὶ ὕφαιμοι γίνονται, καὶ αἵματος πλήρεις, καὶ βήττει, καὶ τὰ σκέλη ἔξει διωδηκότα. ὁ τοιοῦτος δὲ σωθῆναι οὐ δύναται.

ἹΕΡΟΚΛΈΟΥΣ
ἔμπλαστρον εἰς τὸ αὐτό.

Λιθαργύρου, ὄξους ἀνὰ λίτραν μίαν, ἐλαίου λίτρας αϛ̄, ἀμμωνιακοῦ γο̄ γ̄, κηροῦ γο̄ β̄, ῥητίνης γο̄ β̄, τερεβινθίνης γο̄ γ̄, ἀσφάλτου, πίσσης, ἰξοῦ ἀνὰ γο̄ ἕξ. ἕψει τὸ ὄξος, καὶ τὸ ἔλαιον, καὶ τὴν λιθάργυρον. εἶτα μέλλουσιν αὐτοῖς συστρέφεσθαι, ἐπίβαλλε τὴν πίσσαν ἕως καὶ αὐτὴ λυθῇ καλῶς, καὶ ἄρας ἀπὸ τοῦ πυρὸς τὸ ζουλίον. ἐπίβαλλε τὴν ἄσφαλτον, μὴ κινῶν αὐτό. ὅταν δὲ καὶ αὐτὴ λυθῇ, προστίθει καὶ τὰ λοιπὰ, καὶ ἕψει εἶτα, ὡς ἂν συστραφῇ λαβὼν διήθησον εἰς ὕδωρ.

Ἔμπλαστρος ἡ καλουμένη Βαρβάρα,
ποιοῦσα πρὸς κάταγμα.

Ὄξους δριμέος, ἐλαίου κοινοῦ, λιθαργύρου ἀνὰ λίτραν ᾱ,

πίσσης

ράκοντα, ὧν ἐν ταῖς εἴκοσι λύειν δεῖ τρίς, καὶ πάλιν δεσμεῖν καὶ καταβρέχειν τῷ ὀξελαίῳ καθ' ἡμέρας, καὶ μετὰ ταῦτα λύειν, εἶτα πάλιν ἐπιδεσμεῖν. ὡσαύτως δὲ καὶ τὰς πλασίγγας ἐπιτιθέναι. διελθουσῶν τε τῶν τεσσαράκοντα, ἐὰν ἡ πεπληγὼς καὶ περιπατῶν, λύε, καὶ χρῶ μαλάγματι τῷ διὰ στέατος, καὶ περιπατείτω κατ' ὀλίγον. ὅσα δὲ ἐπάνω τοῦ γόνατος καταάσσεται, μὴ ἅπτου. οὐ γίνεται γὰρ ὑγιῆ. καὶ ἐὰν ὁ μηρὸς κατεαγῇ, ἀπογίνωσκε. ὤμου δὲ θραυσθέντος, οὐκ ἔστι θεραπεία. ἐπιγίνεται γὰρ ὀπισθότονος. ἐὰν δέ ποτε συμβῇ θραῦσιν γενέσθαι μετὰ τραύματος, καὶ διακοπῇ ἡ βύρσα, μὴ ἅπτου, μηδὲ ὑποκάτω δέσμευε, σηπεδὼν γὰρ ὑποτρέχει. ἐὰν δὲ ἡ πλευρὰ κατεαγῇ, ὑγιὴς γίνεται. μηδέποτε δὲ κατάγματι πῶρον πεποιηκότι καυτήριον ἐπιθείς. ἀναβαλλομένων γὰρ τῶν ἐσχαρῶν, λύσις γίνεται τοῦ πώρου, καὶ ἔσται σοι πάλιν θεραπεύειν.

ἹΕΡΟΚΛΈ. ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Εἰ κάταγμα συμβῇ ὑποκάτω τοῦ γόνατος ἐν τοῖς ἐμπροσθίοις ποσί, θεραπεύεται οὕτως, τυπώσας εἰς τάξιν τὸ ἄρθρον. εἶτα περιθεὶς ἔρια ῥυπαρά, δέσμευε ἐν ἄμμασι διαβρέχοις ὄξει καὶ ἐλαίῳ, ἴσοις ἀκριβῶς καὶ συμμεμιγμένοις. ἐπιθεὶς τε ὁμοίως ἔρια βεβρεγμένα, πλασίγγιά τε προσθεὶς, ὡς ἔθος, δέσμευε ἐξ ἑκατέρου μέρους ἄμματι τῷ καλουμένῳ λύκῳ, καὶ τήρει ὀρθὸν ἐπὶ ἡμέρας τεσσαράκοντα, ὧν ἐν ταῖς κ΄ λύε τρίς, καὶ πάλιν δέσμευε καταβρέχων τῷ ὀξελαίῳ καθ' ἡμέραν, καὶ προστιθεὶς τὰ πλασίγγια μετὰ κ΄ ἡμέρας. διελθουσῶν μέντοι τῶν τεσσαράκοντα ἡμερῶν, ἐὰν ἡ πεπηγὼς ὁ πῶρος, χρῶ τῷ μαλάγματι διὰ στέατος, καὶ περιπατείτω κατ' ὀλίγον. εἰ δὲ ἐπάνω τοῦ γόνατος, ὁ μηρὸς κατεαγῇ, δυσθεράπευτός ἐστι. καὶ ἐὰν συμβῇ τὴν θραῦσιν γενέσθαι μετὰ τραύματος, καὶ διακοπῆς, ὁμοίως σφαλερόν. ἐὰν δὲ ἡ πλευρὰ κατεαγῇ, ῥᾳδία γίνεται ἡ ἴασις. μηδέποτε δὲ κατάγματι πῶρον πεποιηκότι καυτήριον προσαγάγῃς. λυθέντος γὰρ τοῦ πώρου ὁ τόπος δυσθεράπευτός ἐστιν. εἰδέναι γε μὴν χρή, ὡς κερκὶς τοῦ ὀπισθίου ποδὸς κλασθεῖσα, οὐ συμφύεται, τῷ μυελὸν μὴ ἔχειν ἀλλ' αἷμα, καὶ μάλιστα ὄνου καὶ ἡμιόνου.

εἰς τὸ

οὐ δύναται. σημεῖα δὲ ἐστὶ ταῦτα, ὀγκοῦται ὁ κώρυκος, καὶ περιπατῶν ἐφίσταται, καὶ οὐ τρώγει, ὅτε στῆναι δύναται, ἀλλὰ ῥίπτει ἑαυτὸν, καὶ κυλίεται ἀνανεύων ἐπὶ τὴν ῥάχιν. ἐπιζῇ δὲ ἡμέραν μίαν, ἢ δύο, τῇ δὲ τρίτῃ διαφωνεῖ. οὐκ ἐμπίπτουσι δὲ αὐθημερὸν τὰ ἔντερα, ἀλλὰ τῇ ἐπαύριον.

Ἄλλο εἰς τὸ αὐτό.

Ἅλμην ποιήσας, καὶ μίξας μετ' ἐλαίου, ἐγχυμάτιζε προσμίσγων καὶ ὕδωρ θαλάττιον, καὶ οἴνου τὸ ἀρκοῦν.

ΙΕΡΟΚΛΕ. ΕΙΣ ΤΟ ΑΥΤΟ.

Λακτισθεὶς δὲ ἵππος ὑφ' ἑτέρου ἵππου εἰς τὸ κενὸν, καὶ σφοδρῶς ῥαγέντος τοῦ περιτονίου περὶ τὸν κρεμαστῆρα τῶν ὀρχέων, κινδυνεύει. περιπατῶν γὰρ ἐφίσταται, ἵστασθαι δὲ μὴ δυνάμενος, ῥίπτει ἑαυτὸν, καὶ κυλίεται, καὶ ἀνανεύει ἐπὶ τὴν ῥάχιν. διαφθείρεται δὲ τῇ τρίτῃ ἡμέρᾳ. τότε γὰρ ἐμπίπτει τὰ ἔντερα αὐτοῦ εἰς τὸν λεγόμενον θύλακον, καὶ οὐκ αὐθημερόν. ἐὰν δὲ δηχθῇ ἵππος ὑφ' ἑτέρου, καταβρέχειν δεῖ τὰ δήγματα ὀξάλμῃ. τὰ δὲ κατὰ τὰ νεῦρα γινόμενα, δυσχερῶς χωλὴν ποιεῖ. θεραπεύεται μέντοι τῇ ἀλθαίᾳ, ὡς ἄνω γέγραπται.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΚΑΤΑΓΜΑΤΩΝ

ΚΕΦΑΛ. ΟΔ.

Ἄψυρτος φρόντωνι ἐφεσίῳ ἱππιατρῷ χαίρειν. ὅσα τῶν θραυσμάτων συμβαίνει ὑπὸ κάτω τοῦ γόνατος ἐν τοῖς ὀπισθίοις καὶ ἐμπροσθίοις, θεραπεύεται οὕτως. δεῖ κατατάσσειν εἰς τάξιν τὸ κάταγμα, καὶ οὕτως δεσμεῖν, προσυποτιθέντα ἔρια ῥυπαρὰ τελαμῶσι λινοῖς διαβρόχοις ὄξει καὶ ἐλαίῳ, ὅσοι ἱκανοί εἰσιν, ἴσοις, μὴ διαῤῥόμβοις, ἠραιωμένοις καὶ ἀφεστηκόσι, καὶ ὡσαύτως ἐπιῤῥίπτειν τὰ ἔρια βεβρεγμένα, καὶ καταλαμβάνειν. καὶ πλάστιγγας προστιθέναι τρεῖς, καὶ δεσμεύειν ἐξ ἑκατέρου μέρους ἅμματι τῷ λεγομένῳ λύκῳ, καὶ τηρεῖν ὀρθὸν ἡμέρας τεσσα-

τῷ δέ. ὀποῦ κυρηναϊκοῦ διπλάσιον κυάμου, διεὶς ἐν ὀξυκράτῳ ἴσον ἑκατέρου ὕδωρ κοτύλαις δυσί, διδόναι διὰ τῶν μυκτήρων, ἢ κονίαν ἀπὸ τῆς ἑστίας διέντα ἐν ὕδατος κοτύλαις τέσσαρσι διηθήσαντα δι' ὀθονίου. ἔστω δὲ ἡ κονία δρυΐνη, ἢ πρινίνη, ἢ ἀκακίας τὸν χυλὸν τῆς πυῤῥᾶς ὅσον οὐγγίαν μίαν διέντα οἴνου κοτύλαις δυσίν. ἢ ῥόαν τὴν ἐσθιομένην κόψαντα διδόναι μετὰ οἴνου κοτυλῶν δύο διὰ τοῦ στόματος. ἐὰν δὲ πεσὼν ἀφοδεύσῃ, ἢ ὑγρὰ τιλήσῃ, περίεργον τὸ ἐγχυματίζειν, ζῆν γὰρ οὐ δύναται.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑὙΤΌ.

Ἐάν ποτε συμβῇ κατακρημνισθῆναι τὸν ἵππον ἀφ' ὑψηλοῦ, ἢ εἰς βάθος ἐμπεσεῖν, καὶ τῶν ἄρθρων μηδὲν πάθοι, ὑποπτεύηται μέντοι ἠδικῆσθαί τι τῶν ἐντός, ὀποῦ κυρηναϊκοῦ διπλάσιον κυάθου τὸ μέγεθος, διεὶς ὕδατος κοτύλαις δυσίν, ἐγχυμάτιζε διὰ τῶν μυκτήρων, ἢ κονίαν ἀπὸ τῆς ἑστίας διέντα κοτύλαις τέτρασιν οἴνου, καὶ διηθήσαντα δι' ὀθονίου χρὴ διδόναι. ἔστω δὲ ἡ κονία δρυΐνη, ἢ πρινίνη. ἢ χυλοῦ ἀκακίας τῆς πυῤῥᾶς, ἢ ῥοιᾶς βρωσίμης γο̄ ᾱ, διέντα οἴνου κοτύλαις τρισί, διδόναι διὰ στόματος. ἐὰν δὲ πεσὼν εὐθὺς ἀποτιλήσῃ, περίεργον ἐγχυματίζειν, οὐ δυνάμενον ζῆν.

Ἄλλο εἰς τὸ αὐτό.

Ἀλεύρου ὀροβίνου, ζειίνου, θερμίνου ἀνὰ ξε. ᾱ, ταῦτα ἀλέσας καὶ σείσας λεπτῶς, ἐπίβαλλε οἴνου ἰταλικοῦ ξε. ά, καὶ μέλιτος ἡμίναν, καὶ φυράσας ὁμοῦ, ποίησον μᾶζαν μίαν, καὶ ἐπὶ ἡμέραις ἓξ δίδου.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ἽΠΠΟΥ ΛΑΚΤΙΣΘΈΝΤΟΣ

ΚΕΦΆΛ. ΟΓ.

Ὅταν γένηται μαχομένων τῶν ἵππων πρὸς ἀλλήλους λακτίζειν τοῖς ὀπισθίοις τοὺς ἀμφοτέρους εἰς τὸ κενόν συμβαίνει, ῥῆξιν γίνεσθαι τοῦ περιτονίου ὑπὸ τὸν κρεμαστῆρα τῶν ὀρχέων, καὶ ἐμπεσεῖν τὰ ἔντερα εἰς κόρυκον ἢ θυλάκιον λεγόμενον, καὶ ζῆσαι οὐ δύνα

ΙΕΡΟΚΛΕΟΥΣ.

Τοὺς τετρωμένους ἐν ταῖς κοιλίαις θεραπεύειν χρὴ οὕτως. ῥάπτειν γαστρορραφίδι (ὡς εἴθισαι) ῥάμματι ἐρεῷ, κεκλωσμένῳ, μὴ λεπτῷ. εἶτα ἐκλαμβάνειν δεῖ τὰς ἀρχὰς ἔξω, καὶ τότε ἐκτηνιάζειν τὴν πιμελὴν, καὶ τὴν βύρσαν σφηκώματι καναβίνῳ κεκηρωμένῳ. θεραπεύειν δὲ χρὴ τὴν φλεγμονὴν καταχρίοντα κιμωλίαν μετὰ ὄξους. ἑβδόμης δὲ ἐπιστάσης ἡμέρας, λύειν τὴν γαστρορραφίδα, καὶ ἐξαίρειν τὰ ῥάμματα. ἐὰν δὲ ἔντερον προπέσῃ, σπόγγῳ βεβρεγμένῳ ὕδατι θερμῷ καὶ ἐκπεπιεσμένῳ, ἀνωθεῖσθαι αὐτὸ χρή. αἱ γὰρ τῶν χειρῶν προσαγωγαὶ φλεγμονὰς εἰώθασι προσποιεῖν. ἐὰν δὲ τετρωμένον ᾖ τὸ ἔντερον, ἢ τετυμπανωμένον, χρὴ ἀπογινώσκειν. ἐὰν δὲ ὁ ἐπίπλους ᾖ προπεπτωκὼς, ἀποψαλίζειν αὐτὸν ἢ εἴσω ὠθεῖν ἁρμόζει. ἐὰν μέντοι τετρωμένος ᾖ ὁ ἵππος, καὶ πρόπτωσις μὴ γένηται, προβάλλῃ δὲ τὸν ἐμπρόσθιον πόδα, καὶ σκυθρωπάζῃ, καὶ ἀποτιλήσῃ τι αἱμοειδὲς, γινώσκειν χρὴ τῶν ἐντὸς τετρῶσθαί τι, καὶ δυσιάτως ἔχειν αὐτόν. ἐὰν δέ τι τῶν βαθυσάρκων τρωθῇ, πόρπαξι χρὴ διαλαβόντα, μοτοῦν αὐτὸν ἐλαίῳ διαβρέξαντα τὰ μότα καὶ ἐπιδήσαντα. εἶτα λύειν τοὺς πόρπακας, καὶ ἐπαντλεῖν ὕδατι θερμῷ, καὶ τότε ὀροβίνῳ ἀλεύρῳ καταπλάσσειν. ὁ δὲ τετρωμένος ἐν τοῖς ὀπισθίοις ὑπὸ κάτω εἰς τοὺς βουβῶνας, δυσχερῶς ὀπισθοτόνῳ ληφθεὶς διαφθείρεται.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΤΟῨ ΚΑΤᾺ ΚΡΗΜΝΟῨ ἢ εἰς τάφρον ἐμπεπτωκότος.

ΚΕΦΑΛ. ΟΒ.

ΕᾺΝ δέ ποτε γένηται κατακρημνισθῆναι τὸν ἵππον ἀπὸ ὕψους τινὸς, ἢ ἐμπεσεῖν εἰς τάφρον μεγάλην, ὃ συμβαίνει ἐν ταῖς παρεμβολαῖς, καὶ τῶν μὲν ἄρθρων καὶ σκελῶν μηδὲν πάθοι, ὑποψίαν δὲ ἔχῃ ἤδη κλᾶσθαί τι τῶν ἐντὸς, χρήσῃ ἐγχυματισμῷ

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΤΡΏΣΕΩΣ ἘΝ ΚΟΊΛΟΙΣ ΤΌΠΟΙΣ.

ΚΕΦΆΛ. ΟΑ.

Αψυρτος Ποπλίῳ Κοκκηίῳ Ἰούστῳ ἑκατοντάρχῃ, χαίρειν. ἔγραψάς μοι ἐπερωτῶν πῶς δεῖ θεραπεύειν τοὺς τετρωμένους ἐν τοῖς κοίλοις. θεραπευτέον δὲ οὕτως. δεῖ γαστρορραφεῖν τὸ περιτόνιον, ὅνπερ τρόπον οἱ ἰατροὶ ἐν ἀνθρώπῳ ῥάμματι ἐρεῷ, κεκλωσμένῳ, μὴ λεπτῷ, καὶ ἐκλαμβάνειν τὰς ἀρχὰς ἔξω, καὶ τότε ἀντηρειάζειν τὴν πιμελὴν καὶ τὴν βύρσαν σφηκώματι καννάβινῳ κεκηρωμένῳ, καὶ θεραπεύειν τὸ τραυματικῶς. φλεγμονῆς δὲ γινομένης, καταχρίειν τῇ κιμωλίᾳ μετὰ ὄξους. ἑβδομαίου δὲ γινομένου, λύειν τὴν γαστρορραφίαν, καὶ ἐξαίρειν τὸ ῥάμμα. ἐὰν δὲ ἔντερον προπίσῃ, σπόγγῳ βεβρεγμένῳ ὕδατι θερμῷ, καὶ ἐκπεπιεσμένῳ ἀνωθεῖσθαι. αἱ γὰρ τῶν χειρῶν προσαγωγαὶ φλεγμονὰς ποιοῦσιν. ἐὰν δὲ ᾖ τετρωμένον τὸ ἔντερον, ἢ τετυμπανωμένον, ἀπογινώσκειν δεῖ. ὁ δὲ ἐπίπλους ἐὰν ᾖ προπεπτωκὼς, ψαλίζειν αὐτὸν δεῖ, καὶ μὴ ἀνωθεῖσθαι. ἐὰν δὲ ᾖ τετρωμένος, καὶ πρόπτωσις μὴ γένηται, προβάλλῃ δὲ τὸν ἐμπρόσθιον πόδα, καὶ ἡ κατωπὸς ἢ σκυθρωπὸς ᾖ, καὶ διαπηδήσῃ διὰ τῆς ἕδρας, γινώσκειν δεῖ ὅτι τῶν ἐντός τι τέτρωται, καὶ ζῆν οὐ δύναται. ἐὰν δέ τι τῶν βαθυσάρκων τρωθῇ, μοτοῦν δεῖ ὄξει αὐτὰ καὶ ἐλαίῳ, καὶ ἀγκτῆρας ἐπιτιθέναι, ἐν οἷς ἀποτεθήσεται τὰ μοτά. ἔστωσαν δὲ ἔρια, καὶ τοῦτο ποιεῖν μέχρι ἡμερῶν τριῶν, καὶ τότε λύειν τοὺς πόρπακας, καὶ ἐξαντλεῖν ὕδατι θερμῷ, καὶ τῷ ὀροβίνῳ καταπλάσσειν. ὅσα δὲ ἐν τοῖς γόνασιν ὑπὸ κάτω συμβαίνειν τραύματα, δυσεπούλωτά εἰσι διὰ τὸ εἶναι λιπόσαρκα, καὶ λιπόδερμα. τῶν δὲ τετρωμένων ἐν τοῖς ὀπισθίοις ὑπὸ κάτω εἰς τὸ βουβῶνα, ἢ περὶ τὴν χώραν, δυσχερῶς ὀπισθοβόνος γίνεται, καὶ διαφανεῖ.

Ἱεροκλέους

φλόμῳ κεκαυθεῖσι καὶ ἀναμιχθεῖσιν οἴνῳ καταπλάσας θεραπεύσεις.

Σύνθεσις φλεγμονῶν λεπτυντική, καὶ σπίλων ῥευματιζομένων ἀναξηραντική.

Ἰσχάδων, λιπρισίνων ἀκρεμόνων ἐξαμμένων, ὄξους ἀνὰ λιτρῶν τριῶν βρέξας, καὶ ἀποχυλίσας, πρόσβαλλε νίτρου λίτραν μίαν, ἀμμωνιακοῦ γο ϛ, ὀποπάνακος, ἀλόης, ἀνὰ γο α. ταῦτα συλλειώσας ὁμοῦ, μίξον καὶ κατάπλασον, προβρέχων τοὺς ἐπιδέσμους τῷ περιττεύσαντι ὄξει ἀπὸ τῶν ἰσχάδων, καὶ ἔα ἐπὶ ἡμέρας τρεῖς δεδέσθαι, καὶ θεραπεύσεις. ἐὰν ἡ ῥυτίδας ἔχῃ τὰς λεγομένας ὀζαίνας, βαλὼν σιδίων γο γ, στυπτηρίας, μίσυος, χαλκίτιδος, σώρεως, χαλκάνθης, ἰοῦ ἀνὰ γο μίαν, καὶ συλλειώσας εἰς ἓν, ὥστε γενέσθαι ἔμπλαστρον, ἀποσμίξας τὸ ζῶον πρότερον οὔρῳ κατάπλασσε, καὶ ἐπίδησον ἐπὶ τρισὶν ἡμέραις, εἶτα ποίησον διακινῆσαι ἐν κάλπῃ, καὶ ῥοίζε. εἶτα πάλιν ἀπόσμιξον τῷ οὔρῳ, καὶ κατάπλασσε ἐκ τοῦ αὐτοῦ φαρμάκου ταῖς ἴσαις ἡμέραις, καὶ θεραπεύσεις.

Ἀνακόλλημα εἰς τὸ αὐτό.

Βόλβων μεγαρικῶν λίτραν μίαν, ὠὰ ε, κοχλίων ἀφρῶν λίτρας β, μάννης, λιβάνου λίτραν α, ἀλόης, χαλκοῦ κεκαυμένου. κοριάνου ἄνθους ἀνὰ οὐγγίας ἕξ. ταῦτα πάντα συντρίψας ἐν ὅλμῳ ἐπίχριε.

Πρὸς φλεγμονῶν σκορπισμόν.

Φίλικος ῥίζης, καλάμου ῥίζης, σκορόδου γαλλικοῦ, ἐβίσκου, σύκου ἄφρου, κυπαρίσσου σφαιρίων, κηροῦ, ἴρεως, σηπίας ὀστράκου κεκαυμένου, ἀνὰ λίτραν μίαν. πάντα ἐν ὅλμῳ συντρίψας, καὶ εἰς τὰ γόνατα τοῦ κτήνους δήσας, θεραπεύσεις ἄνευ σιδήρου.

Ἄλλο.

Κηροῦ λίτρας ἕξ, στέατος ἐλαφείου, χαλβάνης, λευκοίων, πεπέρεως λευκοῦ, ἀμμωνιακοῦ, ῥητίνης τερεβινθίνης, γλυτικῆς ἀνὰ γο γ, ἕκαστον εἶδος συμμίξας καὶ λειώσας χρῶ.

χρὴ χρίνην πρότερον ἐν οὔρῳ ἀνθρώπου ζεστῷ τὴν ψώραν ἀπολούειν. ἔπειτα δὲ ὕδατι, καὶ μετὰ ταῦτα ἡλίου θερμοτάτου τυγχάνοντος, ἐλαίῳ σχοινίνῳ ἢ κεδρίνῳ, ἢ κνιδῶν σπέρμα, καὶ ὄξος καὶ ἅλμην μίξας, ἀπότριβε. εἰ δὲ ἐπικρατέστερον τὸ πάθος εὑρίσκοιτο ἄσφαλτον μετὰ θείου καὶ πίσσης ὑγρᾶς, καὶ ἀξουγγίου παλαιοῦ ἐν ἴσῳ σταθμῷ μίξας, καθέψησον. πρότερον δὲ τὴν ψώραν σιδήρῳ ἀποξύσας, ἢ σμιλίῳ, μέχρι τῆς ζώσης σαρκός, οὕτω τοῖς προγεγραμμένοις χρῶ.

ΙΕΡΟΚΛΕ

ΠΕΡΙ ΟΡΧΕΩΝ ΦΛΕΓΜΟΝΗΣ.

ΚΕΦΑΛ. Ο.

Ταῖς τῶν ὀρχέων φλεγμοναῖς ταῖς ἀπὸ τραύματος γινομέναις ἢ δήγματος, ἤτοι ἀπὸ θηρίου τινός, ἢ ἀπ᾽ ἀλλήλων δακνόντων, βοηθήσεις οὕτω, σικύου ῥίζαν ἀγρίου ἐν ὕδατι θαλασσίῳ, ἢ πηγαίῳ ἅλας ἔχοντι, ἑψήσας, καὶ καταντλήσας σπογγιᾷ τὸν τόπον, εἶτα ψιμμύθιον καὶ ἔλαιον, καὶ στέαρ αἴγειον, καὶ ᾠοῦ τὸ λευκὸν τρίψας κατάχριε. εἰ δὲ δι᾽ ἑτέρας αἰτίας, καὶ μὴ ἐκ τραύματος φλεγμαίνοι, καταύτλει θερμῷ ὕδατι δὶς τῆς ἡμέρας, καὶ κατάχριε κιμωλίᾳ μετὰ ὄξους, ἢ γῇ κεραμικῇ σὺν ὤμους αὐτῶν, ἢ ἀψινθίου χλωροῦ κεκομμένου τῷ χυλῷ, ἢ κωνείου τοῦ φυομένου ἐν ταῖς κοπρίαις, ἢ στρύχνου χλωροῦ χυλῷ ὁμοίως. καὶ τὸ ἀψίνθιον δὲ μόνον ἁρμόζει μετὰ ὕδατος καταχριόμενον.

Ἔμπλαστρον πρὸς φλεγμονάς.

Ἀφρονίτρου λίτρας δʹ, χαλκοῦ κεκαυμένου, ἀσφάλτου ἰουδαϊκῆς, μάννης, ῥοδοδάφνης, χαλκάνθης, σπέκλου, ἰοῦ ἀνὰ λίτραν μίαν, ἀξουγγίου τὸ ἀρκοῦν, πάντα ταῦτα κόψας, καὶ ἐμπλάσας εἰς ὀθόνιον πυκνόν, ἐπίθες τοῖς ἀλγοῦσι τόποις.

ΠΑΝΑΤΟΛ. ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πᾶσαν φλεγμονὴν, ἅλσὶ καὶ ἐλαίῳ, ἢ πολυοφύλλῳ, ἢ

φλόμῳ

ΠΕΛΑΓΩΝΙΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Βοτάνην τὴν λεγομένην ῥοδοδάφνην, καὶ ἑτέραν βοτάνην περδίκιον τὴν ἐν τοῖς τοίχοις, ἤτοι σιδηρῖτιν, λαβὼν καὶ ποιήσας δεσμίδια τρία, ἀφέψησον εἰς ὄξος δριμὺ, καὶ ἔλαιον χυδαῖον μετὰ ἀφρονίτρου, καὶ μετὰ τὸ ἀφεψῆσαι, πρόσμιξον θείου ἀπύρου τὸ ἀρκοῦν, καὶ ἐπαλείφων εἰς ἥλιον ἅπαξ τῆς ἡμέρας, θεραπεύσεις. Ἄλλο.

Ἐλαίου ξε. ς̄, κεδρίας ξε. ς̄, πίσσης ὑγρᾶς ξε. ς̄, θείου δραχμὰς ς̄, μίσυος τὸ ἴσον, ἀσφάλτου δραχμὰς δύο, κηροῦ δραχμὰς γ̄, στυπτηρίας σχιστῆς δραχμὰς γ̄, ῥητίνης, νίτρου, τὸ ἴσον, σταφίδος ἀγρίας δραχμὰς ἕξ, ὄξους ξε. β̄, συνεψήσας ἐνάλειφον.

Ἄλλο.

Οὔρου παλαιοῦ βοὸς γράμμα α', κόπρου χοιρείας γο ς̄, τρυγὸς ἐλαίου ξε. τὸ ἥμισυ, θείου γο γ̄, πίσσης ὑγρᾶς κυάθους τρεῖς, συνεψήσας ἐν ταυτῷ θερμῶν ὄντων ἔτι, ἐνάλειφε ἅπαξ τῆς ἡμέρας.

ΤΙΒΕΡΙΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐὰν ἵππῳ ψώρα γένηται, ἢ ἄλλῳ τινὶ τῶν ὑποζυγίων, θεράπευε οὕτως, λαβὼν βατράχους λιμναίους, καὶ ὄξος δριμύτατον, καὶ ἔλαιον, ἀφρόνιτρον, ταῦτα μίξας κατὰ συμμετρίαν ἑκάστου, καὶ ἀναζέσας κατάχεε. Ἄλλο.

Λαβὼν ἀβρότονον, καὶ φλοιὸν καλάμου καύσας, πρόσμιξον ἀλθαίας τὸ ἀρκοῦν, καὶ ἐν ὕδατι ἀναλαβὼν κατάχεε.

Ἄλλο Διοσκορίδου.

Ἀμόργην ἕψων μέχρι μελιτώδους συστάσεως, καὶ συμμίσγων θέρμων ἀφέψημα, καὶ χαμαιλέοντα βοτάνην, καὶ στέαρ ὕειον, κατάχεε καὶ θεραπεύσεις. Ἄλλο.

Εἰς θερμότατον ἥλιον στήσας τὸν ἵππον, μετὰ ψύκτρας εἰς τοσοῦτον ἀπόξυε ἄχρις οὗ αἵματος ῥύσις ἐπιγένηται, καὶ τηνικαῦτα λαβὼν κισσοῦ ῥίζαν ἀγρίου, καὶ θεῖον πίσσαν ὑγρὰν, καὶ στυπτηρίαν, καὶ μίξας πάντα καὶ ἀναθερμάνας, ἀπόχεε τὴν ψώραν. Ἄλλο.

Ἡ ψώρα πολλάκις εἰ μὴ βοηθείας τύχοι, θάνατον ἀπεργάζεται

χρὴ πίνειν

ΘΕΟΜΝΉΣΤΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἡ ψώρα ἐν τοῖς ἵπποις καὶ τοῖς ἄλλοις ὑποζυγίοις οὐδέν ἐστιν, ἢ χυμοῦ χολῆς, καὶ αἵματος φθορὰ διὰ θερμότητα ὑποζεσάντων τοῦ βάθους, καὶ ἔξω κεχωρηκότων εἰς τὴν ἐπιφάνειαν. καὶ ἔστι μὲν εὐίατος τῷ τεχνίτῃ, καὶ ἀκίνδυνος, τῷ δὲ ἀτέχνως θεραπεύοντι, πολλάκις θάνατον ἐμποιεῖ τὰ προσφερόμενα. ἄψυχος γὰρ ὥσπερ τὸ πάθος ὑποδερματῖτιν μᾶλλον καλεῖ, οὐ διαφέρομαι δὲ ὀνόματι τὸ γένος εἰπών. χρὴ δὲ αὐτὸ μὴ ἄλλως θεραπεύειν, ἢ συνεργοῦντα τῇ φύσει, τοῖς διαφοροῦσι, τοῖς χαλῶσι, τοῖς ἀμύσσουσι πρῶτον, καὶ οὐ τοῖς ἐπουλοῦσιν. ἔστω οὖν ἄλλο φάρμακον ἐν ἀρχῇ τοῦ πάθους, καὶ ἄλλο ἐν ἐπιτάσει, καὶ ἄλλο ἐν παρακμῇ. καὶ ὅταν μὲν ἐν ἀρχῇ ᾖ, χρὴ φλεβοτομεῖν ἀπ᾽ αὐχένος καὶ βουβῶνος ἐν μιᾷ ἡμέρᾳ, μετὰ δὲ ταῦτα ἀπὸ τοῦ βουβῶνος μόνον. ἵνα μὴ εἰς τὰ κάτω κατάγων τὸν χυμόν, δυσδιεξόδευτον ἐργάσῃ, μὴ μέντοι δὲ αὐχένος, ἵνα μὴ μονωθεὶς ἐνσκήψῃ τῷ περικαρδίῳ τόπῳ. κατὰ γὰρ τὰς διαιρέσεις σφιγχθεῖσαι ἐγκαταῤῥέουσιν αἱ ὗλαι. μετὰ δὲ τὸ οὕτως ἀφαιμάξαι πίσσῃ καὶ στακτῇ, καὶ κονίᾳ, καὶ νίτρῳ, καὶ ἰῷ περίχρισον, ἵνα ταχέως εἰς ἐπιφάνειαν χωρήσῃ. ὅταν δὲ πᾶς ἑλκωθῇ, ἄλευρα κρίθινα ἑψήσας ἐν ὑδρελαίῳ, ἐπίχριε χλιαροῦ ὄντος τοῦ φαρμάκου, καὶ ὅταν γένηται τριταῖος, ἀπόπλυνον ὕδατι θερμῷ, ἢ στακτῇ, καὶ ἄμυσσε μέχρις αἱμάξεως, εἶτα ἀπομάξας κιλικίῳ, ἢ ῥάκεσιν, ἐπίχρισον πίσσῃ ὑγρᾷ, καὶ ἀμόργῃ καὶ ἐλαίῳ ἐν τρυγί, καὶ θείῳ ἀπύρῳ, καὶ ἀφαιμάσσων ἀπ᾽ αὐχένος, ἐγχυμάτιζε σικύῳ ἀγρίῳ καὶ νίτρῳ, ἐξ ἴσου κοπεῖσι διὰ οἴνου ἢ μελικράτου. λαμβανέτω δὲ ὁ τέλειος ξε. ἰταλικοὺς τρεῖς. ὁ νεώτερος δύο. ὁ δὲ πῶλος ἕνα.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό, ἐμπλάστρου

κατασκευή.

Ῥητίνης γο α΄, κηροῦ γο β΄, κόμμεως γο μίαν, ἀσβέστου ἢ πτισάνης γο ς΄, μίξας ἐν ταὐτῷ, καὶ ποιήσας ἔμπλαστρον ἐπιτίθει.

Πελαγωνίου

δήλου μιγνὺς καὶ ζυγελαίου ξε. α', καὶ θείου ἀπύρου γο α'.

Ἄλλο.

Κέδρου ἰταλικῆς γο ς', θείου ἀπύρου τὸ ἴσον, σανδαράχης γο γ', ὀροβίνου, λεκκίδος, ὀμφακίνου ἐλαίου, ἀνὰ γο ε', ἐλαίου δαφνίνου ξε. τὸ ἥμισυ, ὄξους δριμέος τὸ ἀρκοῦν, κόπρον κυνείαν, πάντα μίξας, καὶ ἑψήσας, βάλλε εἰς κοινὸν ἔλαιον, εἶτα ξυλοσπόγγιον ποιήσας, κατάχριε τὸν ψωριῶντα τόπον.

Ἄλλο.

Οἶνον μέλανα μεθ' ὕδατος ἴσου κεράσας, προσμίξας καὶ λεκκίδας χρῶ. ἐὰν δὲ μὴ παύηται, δὸς αὐτῷ κυνείαν κόπρον μετὰ οἴνου αὐστηροῦ, ἢ κυνόπρασον βοτάνην κόψας, καὶ ἀναζέσας μετὰ ἐλαίου κατάχριε.

Ἄλλο.

Νίτρου, θείου ἀπύρου ἀνὰ γο β', ἀφρονίτρου γο β', πίσσης ὑγρᾶς ξε. β', ἐλαίου ξε. α' σανδαράχης γο τὸ ἥμισυ, ὄξους τὸ ἴσον, δαφνίδας κε', μίξας πάντα καὶ λειώσας, εἶτα θερμάνας, σύγχριε ταῖς χερσίν.

ΕΥΜΗΛΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Φρύνον σφάξας μετὰ οἴνου καὶ ὕδατος ἐν χαλκείῳ ἕψησον, καὶ τῷ ἀποζέματι αὐτοῦ, ἤτοι περὶ ἰχῶρι ἐνάλειφε, ἢ πίσσῃ μετὰ μέλιτος καὶ θείου ἀπύρου, καὶ ἐλαίου παλαιοῦ ζυγός, καὶ προβατείας κόπρου, ἀνὰ ξίχα ἀπότριβε, ἢ ἄσφαλτον καὶ κεδρίαν μετὰ λιβάνου, ἐλλεβόρου καὶ ἀριστολοχείας, καὶ νίτρου ἀνὰ γο β', ἢ πίσσης ὑγρᾶς γο ξ', ἐλαίου ξε. β', μετὰ ὄξους ξε. ἑνὸς ἡμίσεως καθεψήσας τὸ αὐτὸ ποίει. πρότερον τὸ δέρμα ψήκτρᾳ ἢ ὀστράκῳ ἀναδείρας, καὶ ἐκ τραχείας, ἢ καλάμης καύσας λαβὼν πρὸ τοῦ τεφρωθῆναι, καὶ κόψας καὶ σείσας κοσκίνῳ λεπτῷ καὶ μίξας ἔλαιον, ἀνὰ ξίχα κατάχριε, ἢ ἀγριοσικύου ῥίζαν ἑψήσας ἐν ὕδατι, μετὰ τὸ ἀποζέσαι ἐπιβαλὼν οἶνον καὶ βόλβιτον, ποίει ὥσπερ κατάπλασμα, καὶ χρῶ, τῇ δὲ ἑξῆς ἡμέρᾳ εἰς θερμὸν ἥλιον ἐξαγαγὼν τὸ ζῶον, ὕδατι χλιαρῷ καὶ ἀφρονίτρῳ ἀπόπλυνε, ἔπειτα ἀξουγγίῳ παλαιῷ ἀπότριβε. τρίχα δὲ φέρουσι λείαν, ἐὰν χόρτον καύσας τῇ τέφρᾳ ἐπιχρίσῃς.

θερμῷ, ἢ ἄλλως, θείῳ καὶ ἀσφάλτῳ λελειωμένοις, ἔλαιον ἐπιχέας ψυχρὸν, κατάχριε, καὶ ἑστηκέτω ἐν τῷ ἡλίῳ, ἐν δὲ τῷ θέρει καὶ νυκτὸς ὕπαιθρος, ἢ πίσσαν μετὰ ἐλαίου παλαιοῦ καὶ κηροῦ λεάνας ὁμοῦ θεῖον λεπτὸν ἐπιμίξας χρῶ. ἄριστον δὲ καὶ τὸ στέαρ χοίρειον, καὶ πίσσαν καὶ κηρὸν ἴσον ἑκάτερον τήξας, καὶ θεῖον τρίψας καὶ μίξας, καὶ ἔλαιον ἐπιχέας θερμὸν, ἄλειφε. ὠφελεῖ δὲ καὶ ἡ κάθαρσις ἡ διὰ ἀγρίου σικύου, καὶ τοῦ νίτρου. τῇ δὲ λιμοψώρᾳ καλουμένῃ, καὶ πίτυρα γίνεται. βοήθει δὲ θέρμους ἑψήσας, καὶ τῷ ὕδατι αὐτῶν καταντλήσας τὸ ζῶον.

Ψώρας πρόγνωσις καὶ ἴασις.

Γρῶζον μὲν τὸ σῶμα ψιλοῦνται καὶ ἀπολευκοῦνται, καὶ συνέσπασαι, καὶ λεπίδες ἀποξύονται, καὶ πορεύεται προβαίνων πυκνὸν καὶ μικρὸν διὰ τὸ συνεσπάσθαι, ἐκνίψας οὖν κονίᾳ, καὶ ὕδατι θερμῷ ἀπολούσας, χρῖσον τῷ φαρμάκῳ τὰ λεπριῶντα. ὅταν δὲ χριόμενος ῥιγώσῃ, σύστελλε ἐν οἴνῳ θερμῷ, καὶ πῦρ παράκαιε καὶ φύλαττε ἵνα μὴ κυλίηται, μὴ δὲ ἐν πηλῷ ἑστηκέτω ἢ ἐν κόπρῳ, εἶτα ἐπιχρῶν, ἔκλουσον καὶ ἀνάτριβε, ἐμφυσήσας οἴνῳ καὶ ἐλαίῳ. καὶ ἐὰν μὲν ἱκανῶς ἔχῃ, ἔα. εἰ δὲ μὴ τῷ φαρμάκῳ κατάχριε. τοῖς δὲ σιτίοις καὶ ποτοῖς ὡς βέλτιστα τὴν ἐπιμέλειαν ποιοῦ.

Ἄλλο.

Τὸν φλοιὸν τῆς ἰτέας καύσας καὶ λαβὼν τὴν στακτὴν, μίξας μετὰ ὕδατος χρῖε, ἢ τὴν τοῦ σάπωνος καταστακτὴν λεγομένην, κατάχριε.

Ἄλλο.

Βλῆχνον φρίξας, καὶ τρίψας μετὰ ἁλὸς, καὶ ἐλαίῳ παλαιῷ δεύσας κατάχριε.

Ἄλλο.

Θείου ἀπύρου, ῥητίνης τερεβινθίνης, ἀσβέστου ὀλίγον, τὸ θεῖον καὶ τὴν ἄσβεστον λεάνας, ἀναλάμβανε τῇ ῥητίνῃ, καὶ ποιήσας ἔμπλαστρον χρῶ.

Ἄλλο.

Ἀσφάλτου λίτρας β̄, θείου ἀπύρου λίτρας β̄, νίτρου λίτρας β̄, ῥητίνης πιτυΐνης λίτρας β̄, κηροῦ λίτρας δ̄, κεδρίας ξέ. β̄, πίσσης ὑγρᾶς ξέ. ῑ, ἐλαίου ξέ. ιβ̄, ὄξους ξέ. τρεῖς, ἀμόργης ἐλαίου παλαιοῦ ξέ. β̄, ἀξουγγίου ξέ. δ̄, πάντα μίξας χρῶ.

Ἄλλο.

Ὄξους δριμέος ξέ. ἕνα, πισσελαίου ξέ. ἕνα, νίτρου λίτραν μίαν μίξας, τὸν ἵππον κατάχριε, πρότερον ἀπολούων δι' ὅλου, μιγ-

ἣν τάχιον θεραπεύων, στεγνώσεις τὴν ἔξοδον, στυπτικῶν γὰρ ὄντων τῶν προσφερομένων ἀναγκαῖον ἔσω τρέπεσθαι καὶ συμβαίνειν κακοποιεῖσθαι. ὅταν οὖν ἀκμάζειν δοκῇ, τότε θεράπευε, αἷμα ἀφαιρῶν ἐκ τῶν μεσοκνημίων καὶ βραχιόνων, ὁμοίως καὶ ἐκ τῶν ὀπισθίων, καὶ κατάχριε ἄσφαλτον τρίψας λίαν, καὶ θείου μέρος, καὶ πίσσης ὑγρᾶς, καὶ γλοιὸν παιδικόν. ἄριστον δὲ βούτυρον μίσγειν. ἐὰν δὲ μὴ ᾖ, τότε γλοιὸν ἐν ταυτῷ πάντα μίξας καὶ συντρίψας, καὶ μέλιτος πάχος ποιήσας χρήσῃ, καὶ τοῦτο δὲ, ὄξος δριμύτατον καὶ γλοιὸν παιδικὸν, καὶ κεδρίαν ἀναζέσας ἐν ταυτῷ, ξυλοσπόγγιον ποιήσας, θερμῶς κατάχριε. ἐὰν δὲ μὴ ᾖ κεδρία, πίσσῃ χρῶ μὴ πολλῇ, προαπόσμηχε δὲ οὔρῳ παλαιῷ, μίσγων ὕδωρ θερμὸν, καὶ ὅσα δὲ στυπτικὰ ἁρμόζει. ἐνεργεῖ δὲ καὶ τοῦτο, θείου, καὶ ἀσφάλτου, ἑκάστου τὸ ἴσον τρίψας, ἔλαιον ἐπιχέας ψυχρὸν κατάχριε, καὶ στηκέτω ἐν τῷ ἡλίῳ, νυκτὸς δὲ ὕπαιθρος, ἐὰν ᾖ θερεία. ἄριστον δὲ καὶ τοῦτο, στέαρ χοίρειον καὶ πίσσην καὶ κηρὸν, ἴσον ἑκάστου τήξας, καὶ θεῖον τρίψας μῖξον, καὶ ἔλαιον ἐπιχέας θερμὸν ἐνάλειφε. ἁρμόζει δὲ καὶ ἡ κάθαρσις ἡ διὰ τοῦ νίτρου καὶ τοῦ σικύου τοῦ ἀγρίου.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Εἰ ψώρα ἐπιγίγνοιτο, οὐ δεῖ παραχρῆμα αὐτὴν θεραπεύειν, ἀλλὰ ἐᾶσαι, μέχρις ἂν ἔξω τραπῇ. ἔστι γὰρ διάχυσις μάλεως τῆς ὑποδερματίτιδος, ἣν εἰ θᾶττον θεραπεύσεις, στεγνώσεις τὴν ἔξοδον. στυπτικῶν γὰρ ὄντων τῶν προσφερομένων, ἀνάγκη τὴν κάκωσιν εἰς τὸ ἔσω τραπῆναι. ὅταν οὖν ἀκμάζειν δοκῇ, αἷμα ἀφαίρει ἐκ τῶν μεσοκνημίων καὶ βραχιόνων, ὁμοίως καὶ ἐκ τῶν ὀπισθίων, καὶ κατάχριε ἄσφαλτον καὶ θεῖον τρίψας λίαν, καὶ μέρος πίσσης ὑγρᾶς, καὶ βούτυρον. ἐὰν δὲ μὴ ᾖ βούτυρος, γλοιὸν παιδικόν. πάντα οὖν συντρίψας, καὶ ποιήσας μέλιτος τὸ πάχος κατάχριε. ἢ ἄλλως, ὄξος δριμὺ, καὶ γλοιὸν παιδικὸν, καὶ κεδρίαν ἀναζέσας ἐν ταυτῷ, κατάχριε θερμῶς, σπογγιὰν ξύλῳ προσδήσας. εἰ δὲ μὴ ᾖ κεδρία, πίσσῃ χρῶ πλείονι. προαπόσμηχε δὲ οὔρῳ παλαιῷ μίσγων ὕδατι

Ἄλλο.

Θέρμους ἑψημένους καὶ γλυκεῖς, ὥστε καὶ ἄνθρωπον δύνασθαι αὐτοὺς ἐσθίειν, εἰς κόρον τῷ ζώῳ πρόσαγε, μέτριον καθ' ἡμέραν διδούς. εἰ δὲ μὴ ὦσιν οἱ θέρμοι γλυκεῖς, στρόφους ἐν τῷ ζώῳ κινήσουσιν.

Ἄλλο.

Κάστανα εἰς φοῦρνον φρυγέντα ἐν ὅλκῳ κόψας, σύμμιξον ταῖς κριθαῖς μὴ πάνυ λεπτῶς τρίψας, καὶ τῷ ζώῳ διδούς, θεραπεύσεις.

Προπότισμα εἰς τὸ αὐτό.

Ὧτινι ζώῳ λεπτότης πρόσεστι καὶ ἀνωμαλία, θεραπευέτω οὕτως, θεῖον ἄπυρον γο ς΄, ὠὸν ἄνεφθον ἕν, σμύρνης ποσότητα ὀβολοῦ ἑνὸς μετὰ οἴνου μίξας, τῇ φάρυγγι ἔμβαλε. τοῦτο δὲ καὶ πρὸς βῆχα, καὶ πόνους κοιλίας ὠφέλιμον.

Περὶ ἰσχνότητος.

Ἐὰν ζώου τινὸς τὸ δέρμα καταξηρανθῇ, καὶ διὰ τροφῆς μὴ αἰσθητὴν προκοπὴν, ὅπερ εἴωθε συμβαίνειν ἀπὸ καμάτου πολλοῦ, θεραπεύσεις οὕτως, ἐλαίῳ πηγανίῳ πρότερον τούτου ἀπόχρισον τὸ σῶμα ὅλον, καὶ μετὰ ταῦτα δίδου τὸ ὑποτεταγμένον προπότισμα, σταφυλίνου, τραγακάνθης, πηγάνου ἀγρίου, ἡδυόσμου ἀγρίου ἀνὰ γο α΄, σελίνου, μελιλώτου, καὶ ἀψινθίου ποντικοῦ τὸ ἴσον, ὁμοῦ πάντα συμμίξας, καὶ λεάνας, καὶ μετὰ οἴνου καὶ ὕδατος ἑψήσας, προπότιζε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΨΏΡΑΣ

ΚΕΦΆΛ. ΞΘ.

Ἄψυρτος Ἡγησαγόρᾳ κρατίστῳ ἰατρῷ χαίρειν. ἱπποτροφοῦντά σε ἀναγκαῖον εἰδέναι ψώραν τὴν ἐν τοῖς ἵπποις γινομένην, οὐ δεῖν προσφάτως θεραπεύειν, ἀλλ' ἐᾶν ἄχρις οὗ ἔξω τραπῇ πᾶσα. ἔστι γὰρ ἀνάχυσις μάλιστα διὰ ὑποδερματίτιδος

ἦν

ΘΕΟΜΝΗΣΤΟΥ ΕΙ´Σ ΤΟ` αὐτὸ ἀντίδοτος.

Ἀντιδότῳ χρήσῃ πρὸς τὰ κρυπτόμενα πάθη, ταύτῃ, ἣ ἀρμενίων μέν ἐστιν εὕρημα. ἐμοὶ δὲ διὰ πείρας πολλῆς ἔγνωσται, κρόκου στατῆρας δύο, ἴρεως ἰλλυρικῆς κεκομμένης στατῆρας ιβ, πεπέρεως στατῆρας ἕξ, μέλιτος ἡμικοτύλιον, σταφίδων ἡμιχοίνικον τῶν γιγάρτων ἐξῃρημένων, στροβίλων καθαρῶν τὸ ἴσον τῇ σταφίδι. ἐν ταυτῷ μίξας, καὶ οἴνου εὐώδους ἡμικοτύλιον, καὶ ἐλαίου κοτύλης τέταρτον ἐγχυμάτιζε ἐκ τούτου τὸ ζῶον ὅσον κοχλιάρια δύο.

ΠΕΛΑΓΩΝΙ´ΟΥ ΕΙ´Σ ΤΟ` ΑΥ´ΤΟ´.

Κριθῶν μοδίους τρεῖς, φάβατος ξε. ς´, ἐρεβίνθου ξε. ὀκτώ, σίτου ξε. ἕξ, φασιόλου ξε. δ´, τήλεως ξε. γ´, σταφίδων τε, καὶ στροβίλων ἀνὰ ξε. ἕνα λαβών, καὶ ἐκ τούτων ἁπάντων ποιήσας μόδιον ἕνα, βρέξον εἰς καθαρὸν ὕδωρ πρὸ μιᾶς τῆς χρείας ἡμέρας, καὶ τὸ ὕδωρ κενώσας, ἔασον ξηρανθῆναι μικρόν, καὶ ἐκ τούτου τῷ ἵππῳ ἕωθεν δίδου ἡμιμέδιμνον. τὸ δὲ λοιπὸν τῇ ἑσπέρᾳ, καὶ τοῦτο καθ' ἑκάστην μετὰ φιλοκαλίας ποίει, καὶ εἰ μὲν πάνυ λεπτὸς ᾖ, τριάκοντα συναπτᾶς ἡμέραις ἐγκεκλεισμένον ἐν θερμῇ ἱπποστασίᾳ κάτεχε, ὥστε ἔνδον ἐσθίειν καὶ πίνειν. εἰ δὲ ἧττον λεπτός, ταῖς ἡμέραις κ´ οὕτω τρεφέσθω. εἰ δὲ πάνυ ἐκ ταύτης τῆς φιλοκαλίας πίων γένηται, χρὴ αὐτὸν ἀφαιμάσσεσθαι ἐκ τῆς κοιλίας, ὡς ἂν μὴ ὑπὸ πολὺ λιπανθεὶς ὑποπέσῃ θανάτῳ. Ἄλλο.

Δελφάκιον μετὰ πτισάνης γαλαθηνὸν ἑψήσας, ἕως ἂν διαλυθῶσιν αὐτοῦ αἱ σάρκες, ἐκ τούτου διὰ κέρατος ταῖς ἡμέραις τρισὶν ἔγχει. Ἄλλο.

Πηγάνου δεσμὴν μικράν, σμύρνης γο β´, δαφνόκοκκα ιε´, κυμίνου αἰθιοπικοῦ γο γ´, ἐλαίου καλοῦ κοτύλης τὸ ἥμισυ, συνεψήσας μετὰ οἴνου μέλανος παλαιοῦ ξε. ἑνός, ἐγχυμάτιζε ταῖς ἡμέραις τρισί. Ἄλλο.

Σῖτον πεφρυγμένον ὕδατι καὶ μέλιτι μιγέντα, καθ' ἑκάστην ἡμέραν ὅσον μοδίου ποσότητα, δίδου ταῖς ἡμέραις εἴκοσι.

Ἄλλο.

δὲ ὑπό τινων κρόμυα, καὶ δύζωμον τὸν καρπὸν ἀνιέντας ἐν οἴνῳ, ἐγχυματίζειν διὰ τοῦ στόματος, ἢ ἀρτεμισίας βοτάνης ποιοῦντας, ἀπόβρεγμα διδόναι εἰς ποτόν. καὶ εἰς τὸ λοιπὸν δὲ ὕδωρ τοῦ νίτρου μιγνύντας διδόναι. ὠφέλιμον δὲ τούτοις καὶ τὴν κράσιν παραβάλλειν, ἐὰν ᾖ καιρὸς, πνείνην.

ἹΕΡΟΚΛΕΟΥΣ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Πρὸς οὖν τοὺς ἀγήλου αἰτίας ἰσχνοὺς γινομένους, χρῆσθαι δεῖ ἐγχυματισμῷ τῷ διὰ οἴνου καὶ ἐλαίου, καὶ σμύρνης ὁλκῆ τριοβόλου, ἢ πεπέρεως λευκοῦ κόκκους κ̄, τρίψαντα, ἢ πήγανον ἐν οἴνῳ ζέσαντα ἐγχυματίζειν. ἔστω δὲ πανταχοῦ, οἴνου δυώδους κοτύλη, καὶ ἐλαίου κύαθος. φησὶ δὲ Ἄψυρτος οὐκ ἄδηλον εἶναι τὴν αἰτίαν, ἀλλ᾽ ἀπὸ ψύξεως γίνεσθαι. ἐὰν μέντοι μὴ τρώγῃ, ἀλλὰ καὶ ὀρθὰς ἔχῃ τὰς τρίχας, ἐγχυμάτιζε διὰ στόματος αἵματι ὑὸς μὴ παλαιᾶς μετὰ οἴνου, ἐξ ἴσου ἀμφότερα μίξας. ἔνιοι δὲ κρόμυα καὶ δυζώμου σπέρμα διέντες οἴνῳ ἐγχυματίζουσι διὰ στόματος. καλὸν δὲ καὶ τὴν ἀρτεμισίαν βοτάνην ἀποβρέχοντα εἰς οἶνον, διδόναι, καὶ ὅλον δὲ τὸ ποτὸν τοιοῦτον παρέχειν. κράσιν δὲ, ἐὰν ὁ καιρὸς ᾖ, παραβάλλειν πνείνην. τῷ δὲ ἀπὸ κόπου συνεχοῦς ὄντι, καὶ διὰ τοῦτο ἰσχνωθέντι, βοηθήσεις οὕτως. ὀρόβους λευκοὺς ἐρείξας, ὅσον εἰς χοίνικα, κατάβρεχε οἴνου λευκοῦ εὐώδους κοτύλαις τέτρασι, καὶ ἐάσας ἡμέραν μίαν, δίδου τὸ μέτρον τῆς χοινικίδος καθ᾽ ἡμέραν πρὶν ἢ ποτίζειν τὸν ἵππον ἐπὶ ἡμέραις τριάκοντα, καὶ τὰς κριθὰς φρύγων παράβαλλε. τὸ δὲ ἔρεγμον μὴ λεπτὸν γινέσθω.

ΕὐΜΉΛΟΥ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Ἐὰν δίχα τινὸς ἀνωμαλίας ἴσχνωσις γίνηται τοῖς ζώοις, σιτείσθω καὶ κριθαῖς πεφρυγμέναις ἀναληφθήσονται. πολλάκις δὲ καὶ οἶνος ἐν τῷ περὶ αὐτῶν πινομένῳ ὕδατι μιγνύμενος, μέχρις οὗ τὴν κατὰ φύσιν ἀναλάβωσι ῥῶσιν ὠφελήσει. τὰ δὲ τῶν τοιούτων σώματα, πολλῆς τῆς τρίψεως δέονται πρὸς τὸ δι᾽ αὐτῆς πλείονα τὴν ὄρεξιν τῆς τροφῆς λαμβάνειν. χρὴ δὲ καὶ ἐν τόπῳ ξηρῷ αὐτὰ ἵστασθαι, τοῦτο γὰρ καὶ τῷ σώματι, καὶ τοῖς ὄνυξιν αὐτῶν συμβάλλεται. προσμιγνύσθω δὲ τῇ τροφῇ καὶ ὄροβος. καὶ καθευδέτωσαν δὲ αὖθις, ἄχυρον ὑποστρωννύσθω.

Θεομνήστου

ἁπαλὰ βρέξαντες ἐν οἴνῳ διδόασι, καὶ ἀνατρίβουσιν, ἐγχυματίζουσί τε. καὶ διὰ στροβίλων δὲ ὁμοίως τοῦτο ποιοῦσι, τὸ αὐτὸ μέτρον ἐν οἴνῳ διδόντες.

Ἔσθ᾽ ὅτε ἵπποι μὴ φέροντες τὸν λιμὸν καταπίπτουσιν, οἷς δυσχερῶς ἐκτὸς μεγάλης ζημίας βοηθῆσαι ἐστὶ δυνατόν. καὶ γὰρ ὅταν ἄρχηται ἀπὸ τοῦ τοιούτου λιμοῦ κινδυνεύειν, καθαροῦ ἄρτου μέρος εἰς οἶνον ἐμβρέξας, καὶ ἐν αὐτῷ τῷ οἴνῳ λεώσας, ὥστε χυλὸν ἐκ τούτου ποιῆσαι, καὶ μετὰ κέρατος ἐγχυματίσας βοηθήσεις, ἀλλὰ τοῦτο ἢ ἐν τῇ ἀρχῇ τοῦ λιμοῦ. ἢ ἐν ὁδῷ, ποίησον ὅπου οὐκ ἔστι τὰ χρειώδη εὑρεῖν. εἰ δὲ παραμένοι ἡ τοιαύτη νόσος, σεμιδάλεως κυάθους τρεῖς μετὰ οἴνου μίξας, διὰ κέρατος δίδου.

Εἰ λιμὸν τὸ ζῶον ὑπομένοι, καὶ τὰ ἁρμόζοντα τῇ θεραπείᾳ ἐλλείψῃ, γῆν ἐν οἴνῳ φυράσας, ἔμβαλε τῇ αὐτοῦ φάρυγγι, ἢ σφαιρία ποιήσας ἐξ αὐτῆς, διὰ στόματος δίδου.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΤΩ͂Ν ἸΣΧΝΑΙΝΟΜΈΝΩΝ ἘΞ ἈΔΉΛΟΥ ΑἸΤΊΑΣ.

ΚΕΦΆΛ. ΞΗ

Ἄψυρτος Φρόντωνι Βαλλερίῳ χαίρειν. ἔγραψάς μοι ἐπερωτῶν, τίνι δεῖ βοηθήματι χρῆσθαι πρὸς τοὺς ἀπισχναινομένους ἐξ ἀδήλου αἰτίας. βοηθοῦνται δὲ οὗτοι ἐγχυματιζόμενοι οἴνῳ καὶ ἐλαίῳ, καὶ σμύρνης τριοβόλου ὁλκῇ, ἢ πεπέρεως λευκοῦ κόκκους κʹ τρίψαντα διδόναι, ἢ πήγανον ἀναζέσαντα σὺν οἴνῳ ἐγχυματίζειν, ἢ ἐλελίσφακον τὸ αὐτὸ ποιεῖν, ἢ πολύφυλλον ὡσαύτως. ἔστω δὲ ἐν παντὶ τὸ πλῆθος κοτύλη οἴνου εὐώδους, καὶ ἐλαίου παλαιοῦ κύαθος. ἔστι δὲ οὐκ ἄδηλον τὸ πάθος, ἀλλὰ κατὰ ψύξιν. οἱ πρὸ ἡμῶν δὲ εἶπον ἄδηλον. ὁ δὲ τοιοῦτος, ὅταν ᾖ μὴ τρώγων, καὶ τῷ σώματι πεφρικώς, καὶ ὀρθὰς ἔχων τὰς τρίχας, ἐγχυματίζεται ὑὸς αἵματι μὴ παλαιᾶς μετὰ οἴνου, ἴσον ἑκάτερον διὰ τοῦ στόματος. λέγεται δὲ ὑπό-

Πρὸς τὴν τῶν ἐντὸς πρόπτωσιν.

Τὸ δέρμα, ὃ εἰς δύο διήρηται, ἐπιδέσμει πάλιν, καὶ τὸ περιττεῦον ἀπότεμνε καὶ τῷ τραυματικῷ βοηθήματι θεράπευε. ὠφελεῖ δὲ καὶ τὸ σκέπεσθαι τὸν ἵππον ὥστε ἱδροῦν. περιπάτου δὲ ἀπεχέσθω, καὶ ποτοῦ μάλιστα. καὶ τροφὴν ἐχέτω πτελέας φύλλα, καὶ ἡδύοσμον χλωρὸν, καὶ τρίφυλλον βοτάνην. ἐγχυμάτιζε δὲ οὕτως, καρδάμου λευκοῦ σπέρμα λειῶν μετὰ λιβάνου, ῥίζης καὶ πεπέρεως κόκκων ἕξ, καὶ δαύκου κρητικοῦ σπέρματος κυάθων τριῶν, μίξας οἴνῳ παλαιῷ καὶ μέλιτι. διὰ στόματος ἐπὶ ἡμέραις ἑπτὰ ἐγχυμάτιζε. ἢ ἀσπαράγου ῥίζαν, ἢ σπέρμα μεθ' ὕδατος ἑψήσας ἕως ἀποτριτωθῇ, ἐπὶ ἡμέραις τέσσαρσι, καθ' ἑκάστην ἡμίναν μίαν διὰ μυκτήρων ἔγχει. καὶ μετὰ ταῦτα ὀποπάνακα, σαγαπηνὸν, μέλι, βούτυρον, ἀνὰ γο β, μετὰ οἴνου παλαιοῦ ἡμίνης διὰ στόματος ἐπὶ ἡμέραις τρισί. Βλάπτειν δὲ, ἐπὶ τὸ πλεῖστον εἴωθε, ὡς τὰ ζῶα φλοιὸς κυρηναϊκὸς ἐν τῇ τροφῇ εὑρισκόμενος, ἢ ἐν πόματι. θεραπεύσεις οὖν οὕτως, μέλι καὶ ἡδύοσμον ἄγριον λεώσας ἐν ταυτῷ, καὶ ἐν οἴνῳ χλιάνας, διὰ μυκτήρων ἔγχει.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΒΟΥΛΙΜΙΩ͂ΝΤΟΣ

ΚΕΦΆΛ. ΞΖ.

Ἄψυρτος ἡρακλέωνι χιλιάρχῳ χαίρειν. τῷ βουλιμιῶντι δεῖ βοηθεῖν οὕτως, ἄρτον τὸ ἁπλὸν ἐμβρέξαντας ἐν οἴνῳ, καὶ ἀναθρίψαντας ἐγχυματίζειν διὰ τοῦ στόματος. καὶ τοῦτο μὲν ἐπὶ τῆς ὁδοῦ. ὅταν δὲ γένηται ἐν οἴκῳ, σεμιδάλεως κυάθους τρεῖς φυράσαντας, καὶ διέντας ἐν οἴνῳ, ὡσαύτως ἐγχυματίζειν, ἢ στροβίλους καθαροὺς τρίψαντας μετὰ οἴνου διδόναι.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Τῷ βουλιμιῶντι τούτῳ βοηθοῦσι τῷ τρόπῳ, ἄρτου τὰ

θῶν οὐδὲν αὐήσεις. ἐὰν δὲ ὁ πνεύμων πάθῃ, λευκῶν ὀρόβων χοίνικας δύο, καὶ ἁλῶν ὀξύβαφον α΄ φρύξας μεθ' ὕδατος, καὶ πλάσας ἄρτον, καὶ μετὰ τὸ ξηρανθῆναι καύσας, τρῖψον λίαν, καὶ ἐν τῷ ποτίζειν, ἐπίπασσε τῷ ποτῷ. ἐγχυμάτιζε δὲ καὶ διὰ στόματος οὕτως, κρόκον, σμύρναν, νάρδον συριακήν, κασίαν, ἄμυλον, ἀριστολόχειαν τὴν λεπτήν, γλαύκιον, ἄγρωστιν, ἔλαιον, ταῦτα πάντα τὰ ξηρὰ λεάνας, καὶ ἑνώσας τοῖς ὑγροῖς, ἐπίβαλλε μέλιτος ὀξύβαφον, οἴνου πρωτείου κοτύλην μίαν, καὶ διὰ μυκτῆρος ἔγχει, ἢ χυλῷ τῷ διὰ πτισάνης ἐπιπλεῖστον ὡσαύτως χρῶ. ἧπαρ δὲ εἰ πάθοι, ῥοΐζε, καὶ ἄλευρα πύρινα πρόσβαλλε τῷ ποτῷ χειμῶνος. θέρους δὲ κρίθινα, καὶ ἐγχυμάτιζε σύκων παλαιῶν ἀφεψήματι. πρὸς δὲ τοὺς νεφρούς, ἐν ἀκινησίᾳ διαφυλάττε τὸ ζῶον, καὶ ἐνάλειφε ἠρέμα κηρελαίῳ, καὶ σχολαζέτω ἕως ἂν θεραπευθῇ.

Ἄλλο.

Βοτάνη τίς ἐστιν ἐν τοῖς τείχεσι, καὶ ταῖς πέτραις γινομένη, ἣν ἰατρῶν μὲν παῖδες πολύγονον ὀνομάζουσιν. ἰδιῶται δὲ σύμφυτον, καὶ μακεδόνες ὀστεόκολλον ἄλλοι δὲ ταλαύτιον, ἣν καί φασι συνεψομένην διαμεμερισμένοις κρέασιν ἑνοῦν αὐτά. διὸ καὶ σύμφυτος λέγεται, καὶ ὀστεόκολλος δὲ οὐ διὰ τὴν ὀνομασίαν λαχοῦσα, αὕτη χλωρὰ μέν ἐστιν ἀεὶ καὶ ζῶσα καὶ ἄφυλλος, τούς τε κλάδους σχοινίου δίκην ἐκκρεμεῖς ἔχει λεπτοτέρους καὶ ἐπιμηκεστέρους σπαρτίῳ προσεοικότας. ταύτην λαμβάνοντες χλωράν, συνέψουσιν οἴνῳ, μέχρι τοῦ ἀποτριτωθῆναι, καὶ ἐγχυματίζουσι τὰς ἑαυτῶν ἱππάδας, καὶ τοὺς ἵππους. οἱ σπανοὶ χρῶνται δὲ αὐτῇ, καὶ προφυλακτικῶν ὅσων φαρμάκων, καὶ ἔτη τῶν ἐντὸς ὑποπτεύουσι διερρωγέναι τούτῳ βοηθοῦσι.

Πρὸς πάντα τὰ ἐντὸς πάθη.

Βούτυρον, ὀποπάνακα, σμύρναν, μέλι, ἴσῳ σταθμῷ βαλών, καὶ οἴνου συλλειώσας, διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔμβαλλε.

Ἐὰν ἀπὸ τραύματος ἔντερα προπέσῃ.

Πτερὸν γυπὸς ἐλαίῳ βρέξας, ἔμβαλλε εἰς τὸ στόμα, μέχρις οὗ τὴν καθαπόθρας ἀψάμμιον, ἔμετον ποιήσῃ. καὶ ἐὰν ἑλκύσῃ τὰ ἐντὸς, τότε τὸν τόπον ῥάπτε, συναγαγὼν τὰς ἑκατέρου ἀρχάς. τὸ δὲ ἕλκος τοῖς τραυματικοῖς βοηθήμασι θεράπευε.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΤΩΝ ΤΑ ΕΝΤΟΣ ΕΣΠΑΚΟΤΩΝ

ΚΕΦΑΛ. Ξϛ.

Ὅσοι εἰσὶν ἐσπασμένοι τι τῶν ἐντὸς, ὀφθαλμοὺς κοίλους ἔχουσι παρὰ τὸ πρότερον, καὶ ὑποδεδηκότας καὶ κατωπούς, καὶ τὰς λαγόνας ἀνεσπασμένας ἔχουσι, καὶ τρώγοντες, καὶ πίνοντες ἀπισχναίνονται. περιπατοῦντες δὲ, μικρὰ διαβαίνουσιν, ἑστῶτες τε συνεστήκασι τοῖς ὀπισθίοις πρὸς τοὺς ἐμπροσθίους πόδας. οἱ δὲ τοιοῦτοι παρέλκουσι χρόνον, ἐὰν μὴ ὦσιν αἷμα οὐροῦντες, ἢ ἀφοδεύοντες. ἐὰν δ᾽ ἔτι τούτων, ἢ τάχιον διαφωνοῦσιν, ἐντέρου δὲ διεσπασμένου, ἢ εἰς δύο διῃρημένου, σημεῖα ἐστι τάδε, φέρεται διὰ τῶν μυκτήρων ἡ ῥοφὴ, καὶ τὸ ὕδωρ ἐκ τῶν ἐντέρων, καὶ ἀθρόως πίπτει, καὶ συντόμως διαφωνεῖ.

Ἀντίδοτος εἰς τὸ αὐτό.

Ἴρεως ἰλλυρικῆς κεκομμένης, καὶ σεσησμένης στατῆρας ιβ΄, πεπέρεως στατῆρας ἕξ, μέλιτος κοτύλην α΄, σταφίδος ἀγυγάρτου ἡμιχοίνικον μίξας ἐν ταυτῷ, καὶ ποιήσας σύνθεμα ἐγχυμάτιζε ἐκ τούτου, ἐμβαλὼν γο̅ ϛ΄, μετὰ οἴνου κοτύλης μιᾶς, καὶ ἐλαίου κοτυλῶν δ΄, διὰ στόματος ὑπὲρ πάντων τῶν ἔσωθεν ἀλγημάτων.

Περὶ ἐρρωγότος τι τῶν ἐντὸς, ὅπερ ἐστὶν ἐπικίνδυνον.

Ἐπειδὴ ἄδηλόν ἐστι τῷ μὴ τεχνίτῃ ὅτι ποτέ ἐστι τὸ ῥαγὲν, ἀνάγκη τοῦτο μηνῦσαι, ἐκ τίνων σημείων ἐπιγινώσκεται τῷ ἀγνοοῦντι. ἐὰν οὖν ἡ κοιλία, ἢ ἔντερόν τι διαρραγῇ, σημεῖον γίνεται τοῦτο, φέρει τὴν κόπρον διὰ μυκτήρων, καὶ ἱδροῖ. ἐὰν δὲ ἡ κύστις ὑγρὰ, παραχρῆμα διὰ τῆς ἕδρας ἐκκρίνει. ἐὰν δὲ τοῦ πνεύμονός τι ῥαγῇ, αἷμα διὰ τῶν μυκτήρων ἐκβάλλει. εἰ δὲ τὸ ἧπαρ πάθοι, τὸ αἰδοῖον οἰδεῖ, καὶ ἡ κοιλία, καὶ ἥμηροι. ἐὰν δὲ ὁ σπλὴν κάμνει, καὶ τροφὴν οὐ προσίεται. ἐὰν δὲ οἱ νεφροὶ, αἷμα οὐρεῖ. ἐὰν μὲν οὖν ἡ κοιλία, ἢ ἔντερον ῥαγῇ, ἢ κύστις, βοηθῶν οὐ-

Ἄλλο.

Πτισάνης χυλὸν, καὶ στέαρ αἴγειον, καὶ ἀκρονάρια προβάτεια μετὰ κοριάννου καὶ ἀνήθου παλαιοῦ ἀφεψήσας, εἶτα κορίανον χλωρὸν καλῶς λεάνας, καὶ τῷ χυλῷ τῆς πτισάνης, ὡς καὶ τὰ λοιπὰ συμμίξας καὶ διηθήσας, ἐπὶ τρισὶν ἡμέραις δίδου. Ἄλλο.

Κράμβης φύλλα μετὰ σελίνου κατακοπέντα, καὶ ξέστῃ οἴνου συμμιγέντα, διὰ τῆς ἀριστερᾶς ῥινὸς διδόσθωσαν.

Ἄλλο.

Πετροσελίνου σπέρμα, δαύκου, σεσέλεως γαλλικοῦ, ἀβροτόνου, καὶ σχοίνου ἐξ ἴσου λεάνας, μετὰ ὑδρομέλιτος ἐγχυμάτισον.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΤΩ͂Ν ὙΠῸ ΚΟΝΊΑΣ ΚΑΈΝΤΩΝ.

ΚΕΦΆΛ. ΞΕ.

ἘΆΝ ποτε συμβῇ ὑπὸ ἀσβέστου κατακαῆναι τὸν ἵππον, ἢ κονίας, τῆς λεγομένης ὑπό τινων τιτάνου, ἐν ᾧ δήποτε τόπῳ τοῦ σώματος, ἢ ἐμβῇ εἰς κοπρίαν τὴν ἐκ τοῦ αὐτομάτου καιομένην, καὶ κατακαῇ τὰ σκέλη, ἢ ἄλλως πῶς συμβῇ, θεραπευέσθω ὕδατι ψυχρῷ θερείας. χειμῶνος δὲ, θερμῷ, καὶ καταχριόμενος τῇ λιπαρᾷ. εἰ θέλεις, μετὰ ἀξουγγίου, ἢ αὐτῇ τῇ ἀσβέστῳ μετ᾽ ἐλαίου. εἰς θάλασσαν τε μὴ ἐμβιβαζέσθω ἄχρις ἂν ἀπουλωθῇ.

ἌΛΛΟ ἹΕΡΟΚΛΈΟΥΣ

Ἐὰν συμβῇ ὑπὸ ἀσβέστου, ἢ κονίας κατακαῆναι ἐν οἱῳδήποτε μέρει τοῦ σώματος, ἢ καὶ ὑπὸ κοπρίας τῆς καιομένης, ἢ καὶ ἄλλως πῶς, θέρους μὲν ὕδατι καταντλείσθω. χειμῶνος δὲ θερμῷ, καὶ καταχριέσθω τῇ λιπαρᾷ, ἐὰν βούλῃ, μετὰ στέατος, ἢ αὐτῇ τῇ ἀσβέστῳ μετὰ ἐλαίου. εἰς θάλασσαν δὲ μὴ ἐμβιβαζέσθω, μέχρις ἂν ἀπουλωθῇ.

μέρει πάντα μίξαντα. ἔσαι γὰρ ὑγιὴς καὶ πίωμ ἐν ἡμέραις ξ βοηθούμενος.

ΠΕΛΑΓΩΝΊΟΥ ΚΑΤΑΣΚΕΥῊ ἀρτηριακοῦ.

Σμύρνης τρωγλήτιδος γο δ', κρόκου, σχοίνου ἄνθος ἀνὰ γο γ, κινναμώμου γο ε, πεπέρεως λευκοῦ γο ε, πεπέρεως μέλανος γο δ', κασίας γο τὸ ἥμισυ, ῥητίνης κολοφωνίας γο ε', ἀριστολοχείας γο δ', ἀκόρου γο γ, δαφνίδων γο γ.

Ἄλλο.

Σμύρνης γο ι, πεπέρεως γο γ, λινοσπέρμου φρυκτοῦ λίτραν μίαν, σαφίδων ξε. ςα, στροβίλων ξε. α, τὰ τηκτὰ ἑψήσας, ἐπίβαλλε τὰ ξηρὰ, προσμίσγων μέλι. ἐπὶ δὲ τῇ δόσει, ποίει σφαιρία καρύου μέγεθος, καὶ διὰ σόματος ἐπὶ ἡμέραις ὀκτὼ ἐμβαλὼν ἀποθεραπεύσεις.

Ἄλλο.

Σμύρνης γο γ, κινναμώμου γο ας, κρόκου γο γ, λιβάνου ἄρρενος γο δς, νάρδου συριακῆς, ῥητίνης τερεβινθίνης, πεπέρεως λευκοῦ, ἀμμωνιακοῦ ἀνὰ γο δ, νάρδου γο β, ζαγαπαύθης λίτραν μίαν, μέλιτος πρωτείου λίτραν μίαν, πάντα λειώσας, καὶ μίξας οἴνῳ διὰ μυκτήρων ἔγχει.

ΙΕΡΟΚΛΕ

ΠΕΡῚ ΤΩ͂Ν ἈΠῸ ὉΔΟΥ͂ ΚΕΚΑΥΜΈΝΩΝ

ΚΕΦΆΛ. ΞΔ.

Ἐὰν ἐκ τῆς ὁδοῦ ἢ δρόμου καυσωθῇ ἵππος, στέατος χοιρείου παλαιοῦ μάζας ποιήσας, καὶ οἴνῳ βρέξας ἐνώδει παλαιῷ, δίδου τρεῖς διὰ σόματος.

Εἰ καύσωνα ἵππος ὑπομένοι, γάλακτος αἰγείου ξε. α, ζαγαπαύθης γο β, ἱερείου γαλλικοῦ γο β, στροβίλων γο β, ὑσσώπου δεμάτιον ἕν, πρασίου κεκομμένου γο β, ἐκ τούτων πάντων καθ' ἑκάστην ἐγχυμάτιζε λίτραν μίαν μετὰ οἰνελαίου.

Ἄλλο

εἰσι τῶν πλησίων παθῶν. πολλὰ δὲ τῶν μὴ καθ' ἓν ἐκχωρισμένων, ὅτινα δυσχερῶς γνωρίσεις, εἰ ἐπιμελέστερον προσέχῃς.

Πρὸς ἐκεῖνα τὰ ζῶα, ὧν τὰ μέλη διαβ-νοῦσι θεραπεία.

Ἤρεσε κέλσῳ τὰ οὕτω κάμνοντα ζῶα, ἀπέχεσθαι τοῦ ποτοῦ, ὥστε αὐτὰ ὑπέρδιψα ποιῆσαι, καὶ μετὰ τὴν τοσαύτην ἔκκαυσιν τῆς δίψης στῆναι αὐτὰ παραγγέλλει ἐν ψυχρῷ ὕδατι ὥραν μίαν, ὅπερ διαβεβαιοῦται ἰσχυρῶς βοηθεῖν. φλῶρος δὲ παραγγέλλει πτελέας φύλλα καὶ τὴν κόπτειν μετὰ οἴνου καὶ, ἐγχυματίσαι διὰ κέρατος. ἡμεῖς δὲ ἐπιστάμεθα ἄλευρον σίτινον μετὰ ὕδατος διδόναι, ἢ τρία ὠὰ μετὰ γλόχωνος καὶ ὀξυκράτου καὶ ἐλαίου ἐγχυματίζειν.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ἈΡΤΗΡΊΑΣ ἙΛΚΟΘΕΊΣΗΣ.

ΚΕΦΑ'Λ. ΞΓ.

Ἐὰν ἀρτηρία ἑλκωθῇ, βήσσει σκληρῶς, καὶ τροφὴν οὐ προσδέχεται. ἐγχυματιζέσθω οὖν ὕδατι, σύκων εἰς αὐτὸ ἑψηθέντων ὡσεὶ κοτύλαις τέσσαρσι, μιχθέντων ὠῶν δύο διὰ στόματος, ἢ πτισάνης χυλῷ, ᾠοῦ συνεψημένου.

Περὶ ἀρτηρίας ῥαγείσης.

Ἐὰν ἀρτηρία ῥαγῇ, ἀναπνεῖ βαρὺ, καὶ ῥέγχει, καὶ βήσσει, καὶ διὰ μυκτήρων φέρεταί τι πυῶδες, καὶ τοῖς ἐμπροσθίοις ποσὶ χωλεύει, οἵτε ὄρχεις πυκνὰ πάλλονται, καὶ οἱ κενεῶνες ἕλκονται, τὰ σκέλη ναρκᾷ καὶ τρέμει, αἱ φλέβες ἰσχυρῶς ξηραὶ, ἢ πλήρεις τοῦ αἵματος, τὸ στόμα ἄφθας γέμει, καὶ τῆς σαρκὸς οὐκ ἐᾷ τὴν χεῖρα θιγγάνειν. ὀρόβους οὖν χρὴ βρέχειν ἡμέρας δύο καὶ νύκτας, καὶ ἀπηθῆσαι ὅταν διάβροχοι γένωνται. ὅταν δὲ ὡς μάλιστα ξηρὰ γένηται, κατακόψαι λεπτὰ, καὶ σήσαντα τιθέναι ἐν τῷ ποτῷ οἴνου ἡδέος μέλανος μέρη δύο, καὶ ὕδατος

ψ μέρη

δὲ ὁ ἑλκόμενος ἐκ τῶν λαγόνων καὶ ὑπέρπινος, τούτῳ οἶνον μὴ διδόναι. ὕδατος δὲ κοτύλῃ μιγνύειν κρόκου τριώβολον, καὶ ἀνατρίψαντας ἐγχυματίζειν διὰ τῆς ἀριστερᾶς ῥινός. συμβαίνει δὲ τῆς καθάρσεως γινομένης ἐν τε ἵππῳ καὶ τοῖς ὑποζυγίοις ἔκλυσιν γίνεσθαι τῆς δυνάμεως. καὶ τῶν μὲν ἐντοσθίων, συμπάσχειν οὐδέν. ἡ δὲ τοῦ αἵματος ῥύσις συμπτώσεως γινομένης ἀδυναμίαν παρέχει τῷ σώματι, διὸ δεῖ τροφῇ χρῆσθαι παντοδαπῇ καὶ πλείονι.

Ἀντίδοτος ἑτέρα εἰς τὸ αὐτό.

Πρὸς τοὺς ἑλκομένους ἐκ τῶν λαγόνων, ἢ ἄλλο τι ἀσθένημα ἐν πνεύμονι ἔχοντας, ἢ ἀπισχναινομένους, χρήσῃ συνθέματι τοιούτῳ, κρόκου στατῆρας δύο ἴρεως ἰλλυρικῆς κεκομμένης, καὶ σεσεισμένης στατῆρας ιβ, πεπέρεως στατῆρας ἕξ, μέλιτος κοτύλης τὸ ἥμισυ, σταφίδος ἡμιχοίνικαν τῶν γιγάρτων ἐξηρημένων, στροβιλίων καθαρῶν τὸ ἴσον τῆς σταφίδος, ἐκ τούτου ἐγχυμάτιζε κοχλιάρια δύο, ἐν οἴνου ἡμικοτυλίῳ, καὶ ἐλαίου τετάρτῳ τῆς κοτύλης διὰ τοῦ στόματος.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΡῸΣ ΤΟῪΣ ἐξατονοῦντας τοῖς μέλεσι.

Ἔσθ᾽ ὅτε ἵππος ἢ βουλιμιάσας, ἢ ἀτονίσας, σχεδὸν λύεται τοῖς μέλεσι, καὶ εἰσὶ διάφορα τὰ πάθη, ἀλλὰ τὰ σημεῖα τῆς ἀῤῥωστίας πλειστάκις ὅμοια τυγχάνουσι, καὶ τοῖς βουλομένοις θεραπεῦσαι, πλάνην ἐγγεννῶσι. ἔστι γὰρ εὑρίσκομεν ἐν τοῖς ζώοις σημεῖα ἄλλης ἀνωμαλίας, ἥπερ αὖ ἡμεῖς ὑπολαμβανόμενοι. ἔστι γὰρ ὅτε βουλόμεθα εἰδέναι ἵππον πυρετταίνοντα. ὁρῶμεν τὴν τούτου κεφαλὴν περὶ γῆν φερομένην, καὶ συνεχέστερον ἀσθμαίνοντα. ταῦτα δὲ τὰ σημεῖα, οὐ μόνον πυρετταίνοντος, ἀλλὰ καὶ ἀλγηδόνας ὑπομένοντος. ἔστι δὲ πάλιν ὀπισθοτονικοῦ νομιζόμενα σημεῖα, ἃ συμβαίνει ἐκείνοις τοῖς ζώοις, ἅ τινα ὑπὸ πολλοῦ ἡλίου, ἢ καμάτου ἐξατονήσωσι στῆναι μὴ δυνάμενα, ἀλλὰ συνημμένοις εἰς ταυτὸ τοῖς ποσὶ καταπίπτουσι, μὴ τοίνυν νομίσῃς αὐτὸς πόνον εἶναι κοιλίας, ἢ στρόφον, καὶ οὕτως θεραπεύσεις, ἀλλὰ τῷ πάθει μᾶλλον τὴν ἁρμόζουσαν προσενέγκῃ θεραπείαν, πολλὰ τοίνυν σημεῖα ὅμοι-

ἃ εἰσὶ

μίξας, διάπασον τὰ ἑλκόμενα, καὶ ὥσπερ ἐπὶ τοῦ προτέρου πάθους ἡμιώβολον ἀνακρεμάσας, ὅπως ἀποσυφθῇ ἐκποπλανον οἴνῳ, καὶ τοῦτο ποίει καθ' ἡμέραν ἐπὶ ἡμέραις γίνεται.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΤΩ͂Ν ἘΞ ὉΔΟΥ͂, Ἢ δρόμου κεκοπωμένων, καὶ περὶ τῶν ἑλκομένων ἐκ τῶν λαγόνων.

ΚΕΦΆΛΑΙΟΝ ΞΒ

Ἄψυρτος Μάρκῳ Αἰμιλίῳ Δεκουρίωνι χαίρειν. ἱπποτροφοῦντα σε βούλομαι εἰδέναι τοῖς ἐκ τῆς ὁδοῦ κεκοπωμένοις, ἢ δρόμου, ὠφέλιμον χρῆσθαι ταύτῃ τῇ θεραπείᾳ, ἄλφιτα λεπτὰ μίξαντας μετὰ οἴνου διώδους, καὶ ποιοῦντας μαγδαλίας καταλαμβανομένους τὴν γλῶτταν διδόναι. ἐὰν δὲ ᾖ ἕλκος ἐκ τῶν λαγόνων, διὰ ῥινῶν ἐγχυματιζέσθω, κρόκου ὁλκὴ τριωβόλου μετὰ ὕδατος κοτύλης, καὶ διὰ τοῦ στόματος.

Ἄλλο κόπου πρόγνωσις καὶ ἴασις.

Πρῶτον μὲν ἑστάναι ὁ ἵππος οὐ δύναται, ἀλλ' ἕστηκε κρέμων καθειμένην ἔχει τὴν κεφαλήν, καὶ τὰ ὦτα, ὀφθαλμοὶ κοῖλοι εἰσί, καὶ ὁ τράχηλος συντέταται, καὶ σκληρός ἐστι. καὶ ἐὰν ἐνοχλῇς αὐτόν, ἐπαίρει τὴν κεφαλήν, καὶ καθίησι. χρὴ οὖν πρῶτον ἱστᾶν αὐτὸν ἐν τόπῳ μὴ σκληρῷ, ἀλλὰ μαλακῷ, ἔνθα εἰσὶ κόπρια περιβεβλημένον ἱμάτια. εἶτα οἶνον καὶ ἔλαιον λαβόντα καὶ χλιάναντα, καταφυσᾶν καὶ τρίβειν, εἶτα ἐν ὕδατι θερμῷ λούειν δαψιλῶς καὶ περιξύσαντα ἀλείφειν, καὶ τρίβειν, καὶ περιβάλλειν ἱμάτια, καὶ ἐν σκέπῃ ἱστᾶν.

Ἄλλο, πρὸς τοὺς ἀποτεταμένους τῷ πνεύματι ἐξ ὁδοιπορίας.

Πρὸς δὲ τοὺς ἀποτεταμένους τῷ πνεύματι ἐξ ὁδοιπορίας, ἢ δρόμου, χρῆσθαι τῷ οἴνῳ μετὰ τοῦ ὕδατος, ἴσον ἑκατέρου κρᾶμα ποιοῦντας εἰς πλῆθος κοτυλῶν δύο, καὶ καθ' ἡμέραν ἐγχυματίζειν διὰ τοῦ στόματος, μέχρι ἡμερῶν ἑπτά. ἐὰν

ΠΕΡῚ ἈΦΘΉΣΕΩΣ.

ΚΕΦΆΛ. ΞΑ.

Ἐὰν ἄφθη, οὕτως γὰρ καλοῦσι τὸ πάθος, ὄξει καὶ ἀφρὸν ἀναφέρει, καὶ ἐκπυροῦται τὸ στόμα. ῥόαν οὖν τὴν ἐσθιομένην κόψας καὶ σείσας, διάχριε τὸ στόμα, ἀποδήσας πρῶτον τὴν γλῶτταν ἐπὶ ἡμιώρειον, εἶτα λύσας ἔκπλυνον ὕδατι, καὶ τοῦτο ποίει ἕως ἂν ὑγιὴς γένηται.

Ἄλλο.

Τὸ πάθος τοῦτο εἴωθε τοῖς ἵπποις ἀπὸ χλωροῦ χόρτου γίνεσθαι ἐν τοῖς στόμασι, μάλιστα ἐν ἦρος ὥρᾳ. ἔστι δὲ γένος ἓν, ἔχον διαφορὰς δύο. ὅτε μὲν γὰρ ἄνευ σήψεως δυσῶδες ἐπιγίνεται τῷ στόματι ἀφροὺς πυρώδεις ἐκπέμπον. ὅτε δὲ μεθ' ἑλκώσεως ἐναίμου ἐν αὐτῇ τῇ φάρυγγι, καὶ τῷ στόματι, ὧν τὴν θεραπείαν ἐνταῦθα ἐκθήσομαι.

Ἄφθης ἄνευ ἑλκώσεως θεραπεία.

Ἄφθαν τὴν δυσώδη, καὶ ἀφρώδη, καὶ διάπυρον, θεραπεύσεις οὕτως. ῥόας τὰς ἐσθιομένας κόψας ξηρὰς ὡς λειότατα, ἔπειτα τὴν γλῶτταν ἑλκύσας τοῦ ζώου, καὶ ταύτην τελαμῶνι τῇ φορβειᾷ προσδήσας, τὸ τοῦ ζώου διάπασον στόμα, καὶ διατρίψας μικρὸν ἀνακρέμασον ἐπὶ ἡμιώρειον, καὶ οὕτως ἀπόπλυνον ὕδατι. τοῦτο δὲ ποίει ἐπὶ ἡμέραις ἑπτὰ, καὶ θεραπεύσεις τὸ ζῶον. ἔστω δέ σοι τῆς θεραπείας σημεῖον, ἡ τῆς δυσωδίας ἀπαλλαγή.

Ἄλλο ὁ ἄφθης μεθ' ἑλκώσεως θεραπεία.

Ἄφθα ἐπειδὰν λάθη γενομένη, ἑλκοῖ τὸν λαιμὸν καὶ τὴν φάρυγγα, καὶ τὴν ἀρτηρίαν, ἣν θεραπεύσεις οὕτως. καταλαμβανόμενος ὁμοίως τῷ τελαμῶνι τὴν γλῶτταν, καὶ ἀποδεσμῶν ἔξω, καὶ μέλιτι διαχρίων τὰ ἑλκωθέντα, καὶ ἐῶν ἡμιώριον, ὅπως ἐν αὐτῇ τῇ γλώσσῃ περιλείχων τὰ ἕλκη, γυμνώσῃ αὐτὰ τῶν ἐφελκίδων, καὶ οὕτω πάλιν καταλαμβανόμενος τὴν γλῶσσαν, ἔχων ἐν ἑτοίμῳ ῥοιὰν ξηρὰν δι' ἄκρον λελειωμένην, καὶ ἐλαίας φύλλα ξηρὰ ὁμοίως λελειωμένα, ἑκάστου ἴσον ἐγκαταμίξας,

ἀριστοτέλους ἱστορηθέντων, μνήμην ἐν μέρει ποιήσασθαι. ὡς οὐ στεῖρος ἵππος, ἀλλὰ πιμελὴν ἔχει, πνεύμονά τε τρίβολον, οὐκ ἔχων τε προσπεφυκυῖαν τῷ χολήν. κεῖσθαι γὰρ αὐτὴν παρὰ τὸ ἔντερον πολλὴν καὶ δυσώδη, καὶ ἔτι πρὸς τούτοις, ὡς ἵππων καὶ ἡμιόνων ἐστὶν ὧν ὀστέον εὑρέθη ἐν τῇ καρδίᾳ, καί τοι πολλοῖς τὰ τοιαῦτα ἠγνοήθη, ὥσπερ μηκκωνίτῳ παλαιῷ, ὅς φησι τὸν ἵππον, καὶ τὸ κάτω βλέφαρον ἔχειν τρίχας ἃς καλοῦσιν ἕλληνες βλεφαρίδας, καθάπτεται γοῦν αὐτοῦ σίμων, τὴν ἄγνοιαν ταύτην αἰτιώμενος. ἐπεὶ δὲ οὐ περὶ τῆς φύσεως τοῦ ζώου πρόκειται λέγειν, ἀλλὰ τὰς ἐφ' ἑκάστῳ τῶν παθῶν θεραπείας παραστῆσαι, ταῦτα παρίημι, κἀκεῖνα νὴ Δία ὁπόσα φιλοκάλως ἀριστοτέλης ἱστορεῖ, τῇ τοῦ ζώου μαρτυρῶν συνέσει τε ἅμα καὶ σωφροσύνῃ, καὶ ὡς οὐκ ἂν τῇ μητρὶ μιχθείη, φησὶ γοῦν ἱπποφορβόν τινα τῶν ἵππων ἐπαγαγεῖν τῇ μητρί, καλύψαντα αὐτὴν ἀκριβῶς, καὶ λαθεῖν σπουδάσαντα. τὸν δὲ μιχθῆναι μὲν ὑπ' ἀγνοίας ὀρεχθέντα. γνόντα δέ πως ἐν ὑστέρῳ, κατὰ κρημνῶν ἀποτόμων ἑαυτὸν ἐπαφεῖναι οὐκ ἐνεγκόντα ζῆν ἐπὶ τοιούτῳ δυσσεβήματι. ἀλλὰ ταῦτα μὲν ἑτέρων δεῖται συγγραμμάτων. ἡμεῖς δὲ ἀρξόμεθα τῶν προκειμένων.

ΠΕΡῚ ΣΤΌΜΑΤΟΣ ἙΛΚΟΘΈΝΤΟΣ.

ΚΕΦΆΛΑΙΟΝ. Ξ.

ἘΆΝ στόμα ἑλκωθῇ, καὶ ὁ λαιμὸς καὶ ἡ ἀρτηρία, λαβὼν σίδια ξηρὰ κόψας, καὶ σήσας λεπτῷ κοσκίνῳ, διάπασσε τὸ στόμα, ἀποδήσας ἔξω τὴν γλῶτταν, ἐπὶ ἡμιώριον, ὥστε τὴν ψύξιν ἱκανὴν γενέσθαι, εἶτα λύσας καὶ ἀπολαβὼν τὴν γλῶσσαν ἔξω τοῦ στόματος, ἔκπλυνον οἴνῳ ἀκράτῳ. ἐὰν δὲ σίδια μὴ ἔχῃς, ἐλαίας φύλλα ξηράνας, κόψον, καὶ σήσας πυκνῷ κοσκίνῳ, ἔμπασσε ἀποδήσας πρῶτον τὴν γλῶσσαν ἐπὶ ἡμιώριον, εἶτα ἔκπλυνον ὕδατι μέχρις ἂν ὑγιάνῃ.

ἹΠΠΩΝ
ΘΕΡΑΠΕΙ'ΑΣ. ΒΙ'ΒΛΙΟΝ Β.
ἹΕΡΟΚΛΕ'ΟΥΣ

ΗΣΙ'ΟΔΟΣ μὲν ἥμισυ τοῦ παντός φησιν εἶναι τὴν ἀρχὴν, προτρέπων οἶμαι καὶ διὰ τούτων, τῶν ἀρίστων ἐπιτηδευμάτων ἅπτεσθαι, ὡς τοῖς γε ἀρξαμένοις διὰ ἡμισείας, ἤδη προηνυσμένου τοῦ σπουδάσματος. οὐ πολλοῦ δὲ ὄντες τοῦ περὶ ἡμισείας μοίρας, πλείονος ὅμως δεῖ τοῦ λειπομένου πρὸς τὴν τοῦ παντὸς συμπλήρωσιν. ἐγὼ δὲ οὐχ ἥκιστα ἐν τῷ περὶ τῶν ἵππων θεραπείας συγγράμματι, τοῦτό μοι δοκῶ δεῖξαι γεγενημένον. ἀρξάμενος γὰρ τὸ πρῶτον συγγράφειν βιβλίον, καὶ τοῦτο πληρῶσαι οὐκ εὐμαρῶς ἐλπίσας, ἀντίστροφον ἀτεχνῶς τινὰ μετὰ τοῦ τῶν μελῶν ποιήσας ἀποτείνω βίβλον ταυτηνὶ δευτέραν, μηδὲν ἐλλείπειν τῷ συντάγματι θέμενος διὰ σπουδῆς. ὥσπερ γὰρ ἥρμοττε μέτρον αὔταρκες ἐπιθεῖναι τῇ πρώτῃ τῶν ὑπὲρ τοῦ πολλῶν φυλαξάμενον μήκει κόρον, οὕτω προσῆκον ἦν, μὴ ἀτελῆ τὴν πραγματείαν καταλιπεῖν, ἄλλως τε καὶ περὶ σπουδαίων συνταττομένην πραγμάτων. τοῦτο γὰρ οἶμαι κάλλιστον, καὶ πανταχῆ περισπούδαστον ζῶον ἀνθρώποις ἵππος ἂν εἰκότως εἶναι νομίζοιτο. ὁδοιποροῦντι μὲν ἐπελαφρύνων τῷ δεσπότῃ τοὺς πόνους. πομπεύοντι δὲ σεμνοτέραν ἀποφαίνων, καὶ περιβλεπτοτέραν τὴν πομπὴν, ἐν γε μὴν τοῖς κατὰ πόλεμον ἀγῶσι συγκινδυνεύων καὶ μετέχων τῶν ἔργων, ὡς ἑλεῖν μὲν τοὺς φεύγοντας τῶν πολεμίων, διασώσασθαι δὲ τῶν φιλίων τοὺς σωτηρίας δεομένους, διόπερ εἰκότως. παρὰ μὲν ἀνθρώπων οὕτως τε τίμηται, ὡς ὀλυμπιάσι τε καὶ πυθοῖ καὶ πανταχοῦ τῶν ἀγώνων, ἵπποις ὥσπερ ἀνδράσι τάχους ἁμίλλης προκεῖσθαι γέρα. παρὰ δὲ τοῖς θεοῖς, τοσαύτης ἠξίωται σπουδῆς, ὡς μὴ μόνον ἀποζεύγνυσθαι τοῖς θείοις αὐτῶν ἅρμασιν, ἀλλ' ἤδη καὶ τῷ τῶν ἄστρων κατ' οὐρανὸν συντετάχθαι χορῷ. οὐκ ἀσυντελὲς μὲν οὖν ἴσως ἄν τινι δόξειεν εἶναι πρὸς τὴν τοῦ συγγράμματος πρόθεσιν, καὶ τῶν ὑπὸ τοῦ φιλοσόφου

ἀριστοτέλους

μετὰ ἐλαίου. μετὰ τοῦτο δὲ θυτόνας σμήξαντες, ἐπιπλάσσουσιν ἄλευρον ὀρόβινον.

Ἄλλο ἑρπυσοῦ ἴασις.

Λαβὼν σταφίδα ἡλιόπεπτον, ἐξελὼν τὰ γίγαρτα, τρίβε λίαν τὴν σάρκα, καὶ οὕτως χρῶ μέχρις ἂν ὑγιαίνῃ. ἀγαθὸν δὲ καὶ ἀσφοδέλου τὴν ῥίζαν ἐν οἴνῳ ἑψεῖν, καὶ τρίβοντα καταπλάσσειν.

ΙΕΡΟΚΛΕ

ΠΕΡῚ ὙΣΤΡΙΧΊΔΩΝ.

ΚΕΦΆΛ. ΝΘ.

Γίνονται τρίχες ἐν τῇ οὐρᾷ ὑείαις παραπλήσιοι. τρίβων οὖν τὴν οὐρὰν πρὸς τὸν τοῖχον ἑλκῶδες ποιεῖ, ἐκλέξας τοίνυν καθαρείως τὰς τρίχας, ὀπὸν ὄξει διείς, κατάχριε τὸν τόπον, προαποσμήξας νίτρῳ. μέτρον ἄριστον εἶπεν τῶν σοφῶν τις ἐν ἀποφθέγμασιν, ᾧ χρὴ πειθομένους, τῶν πέρας ἐπιθεῖναι τῇ παρούσῃ βίβλῳ.

ἐᾶν, καὶ ἐὰν περιεσωθείη, τὴν πρώτην ἄφελε αἷμα ἀπὸ σκελῶν, καὶ γονάτων, καὶ εἰς ψυχρὸν ὕδωρ ἐμβαλὼν, ἔασον μεῖναι ἡμιώρειον, εἶτα βάτου φύλλα ξηράνας, καὶ κόψας, ἔμβαλλε τῷ ποτῷ. Βοηθήσεις δὲ καὶ δι᾽ ἐγχυματισμῶν, ῥοιὰν τὴν ἐσθιομένην, καὶ ἄλφιτα, καὶ οἴνου εὐώδους ὅσον κοτύλην ταράξας, ἐν τῷ αὐτῷ μεθ᾽ ὕδατος ἴσον τὸ πλῆθος ποιήσας ὥστε κοτύλην, καὶ ἐγχέας διὰ στόματος.

ΙΕΡΟΚΛΕ-

ΟΥΣ ΠΕΡῚ ΚΕΡΚΊΔΟΣ.

ΚΕΦΆΛ. ΝΖ.

Ἐὰν κερκὶς θραυσθῇ, χρῶ τῇ θεραπείᾳ ταύτῃ, σπέρματος τήλεως, καὶ λίνου, καὶ ἀλεύρου κριθίνου ἑκάστου τὸ ἴσον, ὡς λεπτότατα ποιήσας ἐν οἴνῳ ἕψει κεκραμμένῳ, ἄχρις ἂν ταῦτα συστῇ καὶ κολλώδη γένηται, εἶτα καταντλήσας ὕδατι θερμῷ, κατάπλασσε ἐπὶ ἡμέραις ἑπτά. Καὶ ἐὰν μὴ πείθηται τῇ θεραπείᾳ ταύτῃ, καῦσον ὡς καλοῦσι μανδακηδὸν, μέχρι τῆς βύρσης, μὴ εἰς πλεῖον βαθύνων τὴν καῦσιν διὰ τὸ εἶναι τὰ μέρη ψιλὰ καὶ κατάνευρα.

ΙΕΡΟΚΛΕ-

ΟΥΣ ΠΕΡῚ ἘΡΠΥΣΤΟΥ͂.

ΚΕΦΆΛ. ΝΗ

Γίνεταί τι διαφθέριον ὑπὸ τὴν βύρσαν λευκὸν, ὡς μυδᾶν τὸν τόπον ἔνθα ὑπόκειται ὁ ἑρπυστής. περίτεμνε οὖν κύκλῳ. προσεπιλάμβανέ τε καὶ τοὺς ὑγιεῖς τόπους, καὶ ἐπίθες ῥόαν τῇ ἐσθιομένῃ. καταπλασσέσθω δὲ ἀλφίτοις τοῖς ἀπὸ τῶν κριθῶν, καὶ φακοῖς τοῖς ἀπὸ τῶν λιμνῶν, καὶ προϋποβρεχέσθω ὄξει ὁ τόπος. ἔνιοι δὲ μετὰ τὴν περιτομὴν, πρῶτον καθαίρουσι σκίλλῃ καὶ κράμβῃ κοπείσαις

μετὰ

Ἄλλο.

Στοιβὴν, ἔστι δὲ φλοιὸς ᾧ χρῶνται εἰς τὰ σάγματα ἔσωθεν τὰ ἐπιτιθέμενα τοῖς νωτοφόροις ζώοις, καύσας καὶ λειώσας, ἐπὶ μὲν τῶν μελάνων ζώων, ἐμβάλλων ἐλαίῳ κατάχριε. ἐπὶ δὲ τῶν ξανθῶν, λειώσας τὴν στοιβὴν, ἄρκειόν τε στέαρ συμμίξας ὤχραν κεκαυμένην, οὕτω χρῶ. ἐὰν δὲ λευκὸν ᾖ, ἀντὶ ὤχρας ψιμμύθιον προσβαλὼν, ἐπίχριε. τὴν δὲ ὅλην προθεραπεύε πρὶν ἀνελθεῖν τρίχας, ἵνα νεαρὰ οὖσα προσδέξηται τὸ χρίσμα.

Πρὸς αὔξησιν τριχῶν καὶ δασοποιΐα.

Βλάχνον τὴν βοτάνην καύσας, κἀκεῖθεν ξηρίον ποιήσας καὶ οἴνῳ συμμίξας, ἐπίχριε.

Πρὸς οὐλὴν ἵνα τρίχας ἐνέγκῃ.

Αἰθάλην ἀπὸ χόρδου ποιήσας ἐπίτριψον.

Εἰ θέλεις λευκὴν τρίχα μέλαιναν ποιῆσαι.

Μέλανος καλλιγραφικοῦ γρ. α. ῥοδοδάφνης ξύλον γρ. δ', στέατος αἰγείου τὸ ἀρκοῦν, συμμίξας καὶ λειώσας ἐπίχρισον.

Εἰ θέλεις λευκὴν τρίχα ποιῆσαι.

Ἀγριοσικύου ῥίζης ποσότητα δηναρίου ἑνὸς, νίτρου ποσότητα δηναρίων δύο, μέλιτος ξε. τὸ ἥμισυ. ἐλαίου τὸ ἴσον συμμίξας ἀπότριβε τὸ μέρος ὃ βούλει λευκᾶναι.

ΤΙΒΕΡΙΟΥ

ΠΕΡῚ ἽΠΠΩΝ ΤΙΛΌΝΤΩΝ.

ΚΕΦΆΛΑΙΟΝ ΝϚ.

Κυνίαν κόπρον ἐκλειώσας μετὰ οἴνου παλαιοῦ καὶ διυλίσας ἐπιμελῶς, ἐγχυμάτιζε διὰ στόματος ἐπὶ ἡμέρας τρισί.

ὨΝόμασάν τινες πάθος ἱππότιλον διὰ τὸ συμβαίνοντος. τιλᾶ γὰρ καὶ ἔκλυσις αὐτῷ παραγίνεται διὰ τοῦτο, καὶ τὰ σκέλη αὐτοῦ σωμαδέεται. τὸ μὲν δὴ εἶδος τοῦ ἀρρωστήματος ἐπικίνδυνον. θεραπεύεται δὲ οὕτως, ποιήσας τὸν ἵππον διψῆσαι ὑστέρου ὅσον ὀξύβαφον εἰς τὸ ὕδωρ ἐγχέας, δίδου αὐτῷ πι-

κονίαν καὶ ψιμμύθιον, καὶ λιθάργυρον τρίψας, καὶ ὕδατι φυράσας καὶ ἑψήσας χρῶ.

ἌΛΛΟ ΠΕΛΑΓΩΝΊΟΥ.

Χάρτην ἢ πάπυρον καύσας, καὶ μετὰ βουτύρου συμμίξας, ἐπίχριε. ἔστι γὰρ χρήσιμον. εἰ δὲ βούλει θᾶττον ταύτας αὐξῆσαι, χελώνην ἐπάνω κληματίδων καύσας, καὶ κάθεν ξηρίον ποιήσας ἐν χύτρᾳ καινῇ ἔμβαλλε. πρόσμιξον δὲ αὐτῇ καὶ στυπτηρίας ὠμῆς γο γ, ἅμα δὲ καὶ μυελοῦ ἐλαφείου τὸ ἀρκοῦν μετὰ οἴνου λειώσας, τῇ χύτρᾳ ἐπίβαλλε, καὶ ἐπίχριςον ἐξ αὐτοῦ ἐπὶ ἡμέραις πολλαῖς, καὶ οὕτω ποιήσει αὐτὰς αὐξηθῆναι. Ἄλλο.

Ἀπὸ θέρμων καυθέντων ξηρίον ποιήσας, ἢ φάβαις ὡσαύτως φρυγεῖσι, ἐπίπασσε τῷ τόπῳ. Ἄλλο.

Ναρδόσταχυν μετὰ ἀσταφίδων συγκόψας, ὀξεῖ ζέσον, καὶ οὕτω θερμῷ ὄντι τὸ βοηθήματι τὸ σῶμα, τὸ φαλακρὸν ἀπόρριπτε.

Περὶ χαυνότητος καὶ κινήσεως οὐρᾶς.

Ἐὰν τὴν σόβην πάνυ κεκινημένην ὁ ἵππος ἔχῃ, τὸ τῆς οὐρᾶς ἄκρον ἐπὶ τὴν ῥάχιν ἀναγαγών, ἀπότεμε ὡς τὸ ἥμισυ, φυλαττόμενος μὴ ἁρμονίαν ἀποκόψῃς. ὅταν δὲ τὸ τραῦμα θεραπευθῇ, ἕξει σόβην καὶ ἰσχυρὰν καὶ ὀρθήν. οἱ γὰρ τὰ προειρημένα ἔχοντες οὐραία, ὡς ἐπιπλεῖστον ἄχρηστοι νομίζονται.

Πρὸς ἔλυσιν οὐρᾶς.

Τήλεως σπέρμα καὶ λινοσπέρμου τὸ ἀρκοῦν, οἴνῳ ἀφεψήσας, καθ' ἡμέραν τούτῳ τὴν οὐρὰν ἀπόπλυνε, καὶ τάχιον θεραπεύσεις.

Πρὸς τρίχωσιν.

Κυνὸς κεφαλὴν καύσας, προχείρων τὸν τόπον βουτύρῳ ἐπίπασσε.

ΤΙΒΕΡΊ. ΠΡΌΣ ἝΛΚΗ ΚΤΗΝΩ͂Ν,

ἵνα ὁμοιόχρους γένηται ἡ θρίξ.

Κεδρὰς ἄλεσον ὡσεὶ ξέστας β, καὶ φύρασον, προσβαλὼν καὶ ἀφρονίτρου καὶ ἅλατος μικρόν, ἄρτους τε πλάσας, ἀπόθου εἰς φοῦρνον ἄχρις οὗ ἄνθρακες γένωνται, καὶ κόψας καὶ λειώσας, ἐλαίῳ τε φυράσας, περίχριε τὰ ἕλκη, τοῦτο ποίει ἐπὶ ἡμέραις κ, καὶ ἔσται ὁμοιόχρους.

Ἄλλο

ΠΕΡῚ ΦΘΟΡΆΣ ΤΡΙΧΩ͂Ν.

ΚΕΦΆΛΑΙΟΝ ΝΕ.

Φθορᾶς γινομένης τριχῶν ἐν τῷ μεσούρῳ τῆς οὐρᾶς, ἀποσμήχειν δεῖ τῷ οὔρῳ, καὶ τὰς πιτυρίας ἀποπλύνειν καλῶς καὶ καταβρέχειν οἴνῳ καὶ ἐλαίῳ. λέγεται δὲ καὶ ἀλείφειν τὸν τόπον, στέατι κυνός, ἢ ἀλώπεκος. ὠφελεῖ γὰρ ἄκρως. ἄριστον δὲ καὶ τῆς ἀλθαίας τὴν ῥίζαν ἑψῆσαι, καὶ καταβρέχειν καὶ πλύνειν τῷ ἀφεψήματι πράως, προαποσμήξαντα δῆλον. ὅτι ποιήσει γὰρ τὰς τρίχας εὐμήκεις, καὶ πυκνάς, τοῦτο ποιεῖ καὶ ἐπὶ ἀνθρώπων, ἀνδρῶν τε καὶ γυναικῶν. ἐὰν γὰρ ὦσιν ἀραιαί, ἔσονται πυκναί.

ἹΕΡΟΚΛΈ. ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐὰν φθορὰ γένηται τριχῶν ἐν τῷ μεσούρῳ τῆς κέρκου, ἀποσμηχέσθω ὁ ἵππος οὔρῳ, καὶ πλυθεὶς καλῶς, καταβρεχέσθω οἴνῳ, εἶτα στέατι χοιρείῳ, ἢ ἀλώπεκος ἀλειφέσθω. ἄριστον δὲ ῥίζαν ἀλθαίας ἑψήσαντα καταβρέχειν τῷ ἀφεψήματι προαποσμήξαντα. ἐὰν δὲ ἑλκωθῇ ἡ χαίτη, κείρας αὐτήν, ἀπόσμηξον νίτρῳ ὀπτῷ, καὶ καταφύσησον ἀκράτῳ, εἶτα οὔρῳ ἀποσμήξας κατάχρισον τῷ τραυματικῷ, ἕως ἡμερῶν ε. τῇ δὲ ἕκτῃ, ὕδατι καὶ τῷ μαλακῷ φαρμάκῳ, κἂν ἡ κέρκος ἐκπυώσῃ, ὅμως θεραπεύσεις καὶ ὑγιασθήσεται.

ΘΕΟΜΝΉΣΤΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Αἱ δὲ οὐρᾶς τρίχες ἐὰν ῥυῶσι, καὶ ἡ ἄσχημος, θεραπεύσομεν οὔρῳ τὸν καυλὸν ἀποσμήχοντες πρῶτον, εἶτα μαλάχης καὶ κράμβης χυλῷ καὶ ἀλθαίας ἀφεψήματι, καὶ οὕτως ἀποβρέχειν ἑκάστοτε οἰνελαίῳ. ἄλλοι δὲ ἀλώπεκος στέατι χρίοντες, μετὰ τὸ ἀποσμῆξαι τριχοποιοῦσιν.

ἹΠΠΟΚΡΆΤΟΥΣ.

Τριχῶν αὔξησιν τῶν ἐν χαίτῃ καὶ οὐρᾷ, εἰ βούλει ποιῆσαι, πρῶτον οὔρῳ παιδικῷ ἀπόπλυνε, εἶτα ἀσβέστου

κονίαν

μα, καὶ αἷμα ἀφαιροῦντα ἐκ τῆς ἰγνύας μὴ πολύ. μετὰ δὲ ἡ-
μέρας ἑπτὰ ἐκ τῶν ὀπισθίων ὑπὸ κάτω τῶν ἀγκυλῶν παρὰ
τοὺς ἀστραγάλους ὁμοίως αἷμα ἀφαιρεῖν μὴ πολύ, καὶ ἐκ τῶν
ἐμπροσθίων κατὰ τὰ αὐτά. ποτίζειν δὲ αὐτὸν θερμῷ ὕδατι
μιγέντι νίτρῳ καὶ ἀλεύρῳ πυρίνῳ καθαρῷ. ἐνίοις δὲ δοκεῖ
καὶ τοῦτο χρησιμεύειν, ἱραυθέμου δράκα καὶ μάννης ὀξύβαφον
διέντα οἴνῳ ἐγχυματίζειν κατὰ τῶν μυκτήρων καθ᾽ ἡμέραν
κοτύλην. μέχρις ἡμερῶν τριῶν, καὶ πτελέας φλοιὸν κοπτόμε-
νον ἐν ὄλκῳ καὶ οἴνῳ πλύνοντα, ἐγχυματίζειν, ἢ ὡς ἔνιοι σεῦ-
τλα ἀφεψήσαντα ἐλαίου κυάθοις τρισὶν ἐγχυματίζειν. ἀρέ-
σκει δὲ Ἀψύρτῳ μάλιστα ποιεῖσθαι τὴν κάθαρσιν. τοῦ γὰρ σώ-
ματος ὅλου εὖ διακειμένου. μὴ δὲ εἰς τοὺς πόδας ἐπιῤῥοὰς ἀτό-
πους ἔσεσθαι. μετὰ δὲ τὴν κάθαρσιν, ἱραυθέμου ὀξύβαφον
οἴνῳ διέντα ἢ ὑδώδει γλυκεῖ ὅσον εἰς κοτύλην, ἐγχεῖν εἰς τοὺς
μυκτῆρας. χόρτον δὲ χλωρὸν παραβάλλειν. εἰ δὲ οὐκ ἔστι, τὸν ξη-
ρὸν ὕδατι νίτρῳ καταῤῥαίνοντα. εἰ δὲ μὴ παύοιτο αὐτοῦ τὸ πά-
θος, ἔκτεμνε αὐτοῦ τοὺς ὄρχεις καὶ ὑγιανεῖ.

Σύνθεσις ἀκόπου εἰς τὸ
αὐτὸ πάθος.

Τερεβινθίνης, πιτυΐνης, ἐλαίου δαφνίνου, κηροῦ, νίτρου, στέατος ταυρείου, σταλάγματος ἀμμωνιακοῦ, μυρσίνου ἐλαίου, ἰρίνου ἀνὰ λίτραν μίαν, ἐλαίου κοινοῦ ξέστας ἕξ, οἴνου παλαιοῦ ξε. β̄, καστορίου, δακρύου, στυρακίνου ἐλαίου, πεπέρεως ἀνὰ γο ᾱ, μυελοῦ ἐλαφείου, κυπέρου ἀνὰ γο γ̄, ἑρπύλλου φύλλου περσίκου, λινοσπέρματος, ἐλελισφάκου ἀνὰ γο δ´, ὀποπάνακος, χαλβάνης, θείου ἀπύρου, σαμψύχου, βδελλίου, μάννης, ἀνὰ γο β̄, ἐλαίου κυπρίνου γο ἕξ, ταῦτα μίξας ἐν ταυτῷ χρῶ.

ΕΥ̓ΜΉΛΟΥ ΕἸΣ
τὸ αὐτό.

Αἵματος ταυρείου κοτύλης ἀττικῆς ϛ´, λιβάνου δραχμὰς ῑ, ἁλὸς σπάνου δραχμὴν μίαν λειώσας, καὶ ἐπιβαλὼν οἴνου κοτύλην ᾱ, καὶ θερμάνας, διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔμβαλε.

Ἀψύρτου

προπίπτει καὶ ἐπαίρεται, καὶ οἱ πόδες ἐν τῇ στάσει προσλαμβάνον-
ται τὰ κόπρια διὰ τὴν πύρωσιν ὡς καὶ ἐν τῇ ὑποδέσει. θερα-
πεύεται δὲ οὕτως, κωλυόμενος κατακεῖσθαι, καὶ ἐλαυνόμενος
κατ' ὀλίγον, ἐν σκέπῃ μέχρι τοῦ ἱδρῶσαι, τρίψει τε τοῦ σώμα-
τος καὶ αἵματος ἀφαιρέσει ἐκ τῆς ὑπερῴας μὴ πολὺ, καὶ πάλιν
διὰ ἡμερῶν ἑπτὰ ἐκ τῶν ὀπισθίων ὑπὸ κάτω τῶν ἀγκυλῶν
παρὰ τοὺς ἀστραγάλους, ὡσαύτως μὴ πολλῇ τῇ ῥύσει, ἔκ τε τῶν
ἐμπροσθίων. ποτίζειν δὲ αὐτὸν θερμῷ μετὰ νίτρου καὶ ἀλεύ-
ρων πυρίνων καθαρῶν. ἔστι δὲ καὶ τοῦτο, ἰρανθέμου ῥίζης δρά-
κα, καὶ μάννης ὀξύβαφον διέντα οἴνῳ, ἐγχυματίζειν διὰ τῶν
ῥινῶν καθ' ἡμέραν κοτύλην, μέχρι ἡμερῶν τριῶν, καὶ πτελέ-
ας φλοιὸν κόπτοντα ἐν ὅλμῳ, καὶ οἴνῳ πλύνοντα ἐγχυματί-
ζειν ὁμοίως. ἄριστον δὲ καὶ τοῦτο, σεῦτλα ἑψήσαντα ἐν ὕδατι,
καὶ τῷ ἀφεψήματι ἐκπιεσθέντι μίξαντα ἐλαίου κυάθους τρεῖς
κοτύλαις τρισὶν ὡσαύτως ἐγχυματίζειν, καὶ γυμνάζειν αὐτόν.
πᾶσιν μὲν οὖν τούτοις ἐχρησάμεθα. μάλιστα δὲ ἡμῖν ἀρέσκει
ποιεῖσθαι τὴν κάθαρσιν ἐν αὐτῷ. τοῦ γὰρ σώματος ὅλου εὖ
διακειμένου, τὰς εἰς τοὺς πόδας ἐπιῤῥοίας βελτίους εἶναι συμ-
βήσεται. μετὰ δὲ τὴν κάθαρσιν ἰρανθέμου ὀξύβαφον οἴνῳ δι-
έντα γλυκεῖ καὶ εὐώδει ὅσον εἰς κοτύλην, ἐγχεῖν εἰς τοὺς μυκ-
τῆρας. χόρτον τε χλωρὸν παραβάλλειν. εἰ δὲ οὐκ ἔστι, τὸν ξηρὸν
τῷ νίτρῳ καταῤῥαίνοντα. κάλλιον δὲ ὁ χλωρός, μὴ παυο-
μένου δὲ τοῦ πάθους, τοὺς ὄρχεις ἐκτέμνειν, καὶ ὑγιὴς γίνεται.

ἹΕΡΟΚΛΈΟΥΣ
εἰς τὸ αὐτό.

Εἴωθε ποδάγρα ἐνοχλεῖν ἵππῳ. οὔτε οὖν ἑστάναι, οὔτε πε-
ριπατεῖν δύναται, ἀλλὰ κατακλίνεται ὥσπερ οἱ κε-
κριθιακότες, τροφῆς τε οὐκ ὀρέγεται, καὶ τὸ σῶμα θερμὸν ἔχει καὶ
κατάξηρον. τὴν δὲ ὑπερῴαν μετέωρον, οἵ τε ὄρχεις αὐτοῦ καθ'
ἕκαστον ἐνάλλονται, καὶ ὁ καυλὸς προπίπτει καὶ ἐπαίρεται,
οἵ τε πόδες ἐν τῇ στάσει προσλαμβάνουσι τῶν κοπρίων διὰ τὴν
πύρωσιν, αἵ τε φλέβες, αἱ παρὰ τῶν νώτων κατατέτανται κατὰ
τὴν χαίτην. θεραπεύειν δὲ χρὴ μὴ ἐῶντα κατακεῖσθαι, ἀλλ'
ἐλαύνοντα κατ' ὀλίγον, μέχρι τοῦ ἱδρῶσαι καὶ τρίβοντα τὸ σώ-

τῶν τόπων. κινούμενοι γὰρ μᾶλλον πῶρον ἐπιφέρουσι καὶ φλεγμονήν. ἐν ῥεπίζεται δὲ εἰς τὸ κάλλιον ἐν τῇ χρήσει ὑπάρχειν μαλάγματι τῷ εἰς τὰ τραύματα συγκειμένῳ. μόνῳ δὲ ἡμιόνῳ τοῦτο συμβαίνει. ὄνῳ δὲ οὐ ῥᾴδιον. ἵππος δὲ οὐ γίνεται μαρμαρωτός, ἀλλὰ ποδαγρός.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Καλοῦσί τι πάθος οἱ ἔμπειροι μάρμαρον. συμβαίνει δὲ μάλιστα ἐν τοῖς ἐμπροσθίοις ποσὶ περὶ τὴν ὁπλήν, ὃ καλεῖται στεφάνη. ἔστι δὲ κονδυλώματα σκληρά, ὡς τελείως χωλεύειν. διὰ μὲν οὖν χειμῶνος, τῶν πηλῶν ἕνεκα· θέρους δὲ διὰ τοὺς αὐχμούς, καὶ ὑποτρίβουσι τοῖς ποσὶ συνεχῶς. γίνεται δὲ τοῦτο, ὅταν διὰ ὁδοιπορίας καὶ τραχείας ὁδοῦ θερμόπλωσις γένηται, οἵ τε ἰχῶρες εἰς τὸν δεσμὸν τῶν νεύρων ἐπὶ τὴν χοινικίδα συρρέωσι. τοῦτο δὲ συμβαίνει καὶ τοῖς περασφύροις καὶ νευρικοῖς. τότε οὖν οὐ δεῖ θεραπεύειν αἵματος ἀφαιρέσει. κινουμένων γὰρ τῶν τόπων, πῶρος συνίσταται μᾶλλον, καὶ φλεγμονὴ γίνεται, βέλτιον τοίνυν τῷ μαλάγματι κεχρῆσθαι τῷ εἰς τὰ στρέμματα συγκειμένῳ. ἡμιόνῳ δὲ τοῦτο συμβαίνει καὶ ὄνῳ σπανίως. ἵππος δὲ οὐχ ὑποπίπτει τούτῳ τῷ πάθει. Ἄλλο.

Σύκων ἄφρων, ἀσβέστου, ἀξουγγίου παλαιοῦ, ἀνὰ λίτραν μίαν, ὑσσώπου αὐλοὺς κυάθους τρεῖς, εἰς ταὐτὸ συντρίψας ἐπιτίθει.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΠΟΔΆΓΡΑΣ.

ΚΕΦΆΛΑΙΟΝ. ΝΔ.

Ἄψυρτος Ἀρτεμᾷ τῷ τομεῖ χαίρειν. ἱπποβοφοιτῶντα σε δύσχρηστον εἰδέναι ποδάγραν. εἰ ἐμπέσοι ἵπποις, οὔτε ἑστάναι δύναται, οὔτε περιπατεῖν, ἀλλὰ κατακλίνεται ἐοικὼς τῷ κεκριθιακότι, καὶ ἔστιν ἀνόρεκτος πρὸς πᾶν τὸ προσφερόμενον, καὶ τὸ στόμα θερμὸν ἔχει, καὶ κατάξηρον, τήν τε ὑπερῶαν μετέωρον, οἵ τε ὄρχεις αὐτοῦ ἐνάλλονται ἐναλλὰξ καθ' ἕνα, καὶ ὁ καυλὸς προπίπτει

Εἰ ῥεῦμα ἐν τοῖς ποσὶ τοῦ ἵππου ἐμπέσοι, οἰδαίνει τὰ τούτου γόνατα, καὶ χωλαίνει. ἐὰν οὖν ἐν τοῖς ὀπισθίοις ᾖ, καῦσον αὐτὸν καυτηρίοις στρογγύλοις ἔσωθεν περὶ τῆς ἀγκύλης καύμασι πέντε. ἔξωθεν δὲ πλατέσιν ἀμφοτέρωθεν. ἐὰν δὲ ἐν τοῖς ἐμπροσθίοις κάτωθεν ᾖ, τοῦ γόνατος καύσας μανδακηδὸν ἐπιμελοῦ ὡς καὶ τὰ λοιπὰ καύματα.

Πρὸς νεύρων παχύτητα.

Τῆλιν μετὰ σύκων ἀφρῶν κεκομμένων, καὶ οἴνου μίξας ἐπίθου, καὶ μετὰ τρεῖς ἡμέρας λύε. Ἄλλο.

Ἐὰν φλεγμονὴ περὶ τὰ σκέλη ἢ τὰ γόνατα γένηται ἀπὸ μακρᾶς ὁδοῦ, ἢ δρόμου πολλοῦ, συμβάλλεται ψυχρῷ ὕδατι τὰ φλεγμαίνοντα μέρη καταντλεῖν, ἢ εἰς ποταμὸν ἢ εἰς ῥεῖθρον εἰσάγειν, καὶ ἀναπατεῖν ἐκεῖσε ποιεῖν, ἔπειτα σπόγγον μετὰ λασάρου καὶ ὄξους καὶ ἰξοῦ, καὶ οἴνου ἀφεψημένου, καὶ ἀξουγγίου προσφέρειν.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΜΑΡΜΆΡΟΥ

ΚΕΦΆΛΑΙΟΝ ΝΓ.

Ἄψυρτος ἰουλίῳ φαύστῳ δεκουρίωνι χαίρειν. κτηνοτροφοῦντά σε, οὐκ ἄχρηστον εἰδέναι τοῦτο, ὅτι συμβαίνει ἐν τοῖς ποσὶ μάλιστα τοῖς ἐμπροσθίοις κατὰ τὴν ἔκφυσιν τῆς ὁπλῆς ἣν καλοῦσι στεφάνην μάρμαρα οἴδησιν ἔχοντα, καὶ κονδυλώματα σκληρά, καὶ πωρούμενα, ἐν οἷς διατελοῦσιν οἱ ἵπποι χωλεύοντες χειμῶνος δὲ διὰ τοὺς πηλούς. θερείας δὲ διὰ τοὺς αὐχμοὺς καὶ ὑποτρίβουσι καὶ ἐκκονῶσι τοῖς ποσί, καὶ θερμοπλῶσι συνεχῶς. γίνεται δὲ τοῦτο, ὅταν ἐξ ὁδοιπορίας καὶ τραχείας ὁδοῦ, θερμόπλησις γένηται οἵτε ἰχῶρες ὑποδράμωσιν εἰς τὸν σύνδεσμον τῆς χοινικίδος τῶν νεύρων, ὁμοίως τοῦτο συμβαίνει τοῖς περασφύροις καὶ νευρικοῖς, διὰ τὸ τὰς ἐν τῷ κνὶ φλέβας ἐμπύρους εἶναι. ἐν δὲ τοῖς τοιούτοις, αἵματος ἀφαιρεῖσθαι χρεῖον ἐκ

βίνου καὶ μέλιτος καὶ ὄξους φυράσας ἐπιτίθει τῷ τραύματι. εἰ δὲ τὰ αὐτὰ τραύματα ἔσαι βαθύτερα, μίλτον μετὰ μέλιτος μίξας, μοταρίοις τὸ τραῦμα ἀναπλήρωσον, εἶτα ἐπάνω ῥάκος ἢ σπογγιὰν μετὰ ὀξυκράτου ἐπίθες. πολλοὶ δὲ καὶ κηκίδας τετριμμένας, ἢ χυλὸν πρασίου μετὰ αἰθάλης ἐπιτιθέασιν.

Ἄλλο ὥστε φλεγμίναν δίχα
σιδήρου θεραπεῦσαι.

Σινήπεως, ἅλατος ἀλεξανδρίνου ἀνὰ γρά. δ', καρδάμου γο α', ὄξους γρά. β', ἀξουγγίου παλαιοῦ λίτραν α', πάντα λειώσας, καὶ εἰς ὀθόνιον ἐπιπλάσας, ἐπίθες ταῖς ἡμέραις τρισί, καὶ μετὰ ταῦτα λύσας καὶ ἀποσπογγίσας σπόγγῳ ἐπιῤῥαντίζε λασάρῳ κυρηναϊκῷ, οὕτω τὰς ἐφελκίδας ἀνοίξεις.

Ἄνθος χόρτου καύσας μετὰ ὀξυκράτου ψυχροῦ πρόσαγε, ἄχρις οὗ ἡ φλεγμονὴ καταμαρανθῇ, καὶ μετὰ ταῦτα σκόροδα λειώσας, ἐπὶ τῶν σφυρῶν ἐπίθες. ἔστι δὲ δοκιμώτατον.

Πρὸς ἄρθρα κεχαλασμένα καὶ ὕδατα.

Ἀλοκυσμύρναν, μάνναν, λίβανον, πίσσαν βρυτίαν, πάντα ἐν ταυτῷ λεάνας, ἐπίβαλλε καὶ σίτινον ἄλευρον, προσμίσγων καὶ τῶν ᾠῶν τὸ λευκόν, ἔπειτα ἀναλάμβανε καὶ χρῶ ἐπὶ τῶν ἄρθρων, ἐπιδήσας χάρτῃ ἐπιμελῶς, καὶ μετά τινας ἡμέρας λύσας, πάλιν τὸ αὐτὸ βοήθημα προσάγων θεράπευε.

Πρὸς θεραπείαν ἰγνύων φλεγμαινουσῶν.

Κηροῦ, ἀσφάλτου, θείου ἀπύρου, ἰσόσταθμα συλλύσας, ἕως θερμά εἰσι τῇ ἰγνύῃ κατάχριε. ἐπιτίθει δὲ καὶ πίτυρα μετὰ ὄξους.

Ἄλλο.

Ἐὰν ἵππος ἐν τοῖς ἄρμοις ἢ τοῖς ποσὶ παχύτερα ἔχῃ νεῦρα ἢ κονδυλώματα, ἀναγκαῖον δεῖν ἐπικαίειν τὰ τοιαῦτα. εἰ δὲ καὶ τὴν τῶν ἄρθρων ὑπεξέλθοι τάξιν, δεῖ ἀναγκαίου δήλου καὶ ἀφαιμάσσειν προσήκει, καὶ αὐτὰ τὰ μέλη ἁπαλῶς ἀνατρίβεσθαι. χρήσῃ δὲ καὶ τοιαύτῃ θεραπείᾳ, ὀξέλαιον ἐρίῳ ἀναλαβὼν, ἐπὶ τῶν ἄρθρων ἐπίθες ταῖς ἡμέραις τέτρασιν. οὕτω δὲ καθ' ἡμέραν ἡ τοιαύτη προσαγέσθω θεραπεία. μετὰ δὲ ταῦτα θερμῷ βοηθήματι στερεοῦσθαι χρὴ τὰ ἄρθρα. τοῦ δὲ βοηθήματος ἡ σκευασία αὕτη, σινήπεως κεκαθαρμένου λίτραν α', χαλβάνης γο γ', μυελοῦ ἐλαφείου γο γ', καὶ ὄξους τὸ ἀρκοῦν.

Εἰ ῥεῦ-

ξουγγίῳ προσμίξας μετὰ τὴν γονάτων ἐπίπλαττε, ἢ βλάχνου ῥίζαν, καὶ ὄροβον, καὶ ἀξούγγιον παλαιόν, μετὰ ὄξους δριμέος λειωθέντα πρόσαγε, ἢ σινήπεως ἀλεξανδρίνου γο ἕξ, καρδάμου γο ἕξ, ἰσχάδων ἀφρῶν γο ἕξ, ἅλατος γο β̄, ἀξουγγίου παλαιοῦ λίτραν μίαν, ὄξος τὸ ἀρκοῦν μίξας, πάντα χρῶ.

ΙΠΠΟΚΡΑ'ΤΟΥΣ

πρὸς ῥεῦμα.

Ἅλας λειοτριβήσας μετὰ μέλιτος χρῶ.

Πρὸς νεαρὰν φλεγμίναν.

Καυστικὸν συγκέρασον ἐν ὕδατι ψυχρῷ, καὶ δι' αὐτοῦ καθάρισον τὸ τραῦμα, ἔπειτα ἐπίθες σπογγιὰν ὄξει βεβρεγμένην ἐπὶ τέτρασιν ἡμέραις. τῇ δὲ πέμπτῃ, ἄλευρον κρίθινον μετὰ ὕδατος φυράσας, ἐπίθες, ἕως ἂν τὸ τραῦμα οὐλὴν ἐπαγάγῃ, ῥόας φλοιὸν κατακόπτων μετὰ λυκίου ἐπιτίθει τῷ ἀνεῳγμένῳ τόπῳ.

Πρὸς φλεγμονὰς καὶ ὑδατίδας.

Θερμοσποδιᾶς γο ᾱ, ἀσβέστου ζώσης γο ᾱ, μετὰ οἴνου φυράσας καὶ μέλιτος, παραφυλαξάμενος πρὶν ἢ ξηρανθῆναι, οὕτω τῷ καύματι ἐπίχριε. ἐπίμενον δὲ οὕτω θεραπεύων, εἰ νεαρὰ τὰ κονδυλώματα ἦ. εἰ δὲ παλαιά, εὐφυῶς καυτηριάζας θεράπευε καθὼς καὶ τὰ λοιπά. αὕτη δὲ ἡ αἰτία καμάτῳ ἐπιγίνεται, ὅτε ἵππος ἐν ξηρῷ τόπῳ, ἢ ἐν συλλίθῳ ἰσχυρῶς ἐλαθῇ, ἢ μετὰ πολλοῦ βάρους νωτοφορῶν ὁδεύσῃ. Ἄλλο.

Ῥοδοδάφνης γο γ̄, ἀσφάλτου γο γ̄, νίτρου γο γ̄, ἀξουγγίου γο γ̄, διηθήσας καὶ συμμίξας, καὶ ἐκ τούτων φάρμακον ποιήσας, ἐπίχρισον.

Πρὸς νεύρων πόνον καὶ ὑδατίδας.

Τὰ ἀπὸ συναγωγῆς ἀποστήματα σιδήρῳ χρὴ διανοίγεσθαι. εἶθ' οὕτως θεραπεύεσθαι, στέατος ταυρέου, χαλβάνης, βδέλλης, πεπέρεως λευκοῦ, ἀμμωνιακοῦ, ἐκ πάντων ἀνὰ γο γ̄, ἀλεύρου, λιβανωτοῦ γο δ̄, δαφνοκόκκων γο ᾱ, συμμίξας ποίησον φάρμακον, ἐξ οὗ πᾶν τραῦμα εἴωθε θεραπεύεσθαι. θεραπεύσεις δὲ καὶ οὕτω, κυκλαμίνου ῥίζης τέφραν, μετὰ ἀλεύρου, ὀρο-

μίξαντα, καταπλάσσειν καὶ ἐπιδεσμεῖν. τὸ αὐτὸ δὲ καὶ ἐρεγμοῦ ἄλευρον ποιεῖ καὶ ὑεία κόπρος. ἔστι δὲ γνῶναι τὸ ῥεῦμα ὅταν ἔχῃ ὁ ἵππος τὰ σκέλη οἰδοῦντα καὶ μεγάλα καὶ μάλιστα τὰ ὀπίσθια, ἃ φλεβοτομούμενα μᾶλλον ἐπιφέρει πλῆθος. οἴνου ἐν φυράσας σίδια, καὶ ἑψήσας ἐν ὕδατι, κατάπλασσε. ὠφελεῖ δὲ καὶ ἡ κνικὶς κοπτομένη καὶ καταπλασσομένη. σύγχισον ἢ καὶ τὸ στέαρ, ἀμόργην καὶ οἶνον αὐστηρὸν ἀναζέσας, ἀκρπυρία, ἢ ἀσφοδέλου ῥίζαν ἐν ὕδατι ἑψήσας, τὸ αὐτὸ ποιεῖ, ἢ ἅλι καὶ ἐλαίῳ καὶ μέλιτι τρῖβε. ἔστι δὲ τούτου τοῦ πάθους εἴδη τρία. ὧν ἓν μὲν τὸ προγεγραμμένον. ἕτερον δὲ εἰς ὕψος ἔχον τὴν ὁπλήν, ἐν ᾧ δεῖ μάλιστα τὰ κάτω ἀποχαράσσειν, ἵνα μὴ ἔκτριψιν λαμβάνῃ ἡ ὁπλή. τὸ δὲ τρίτον, ὅτε δὴ θραύεται ἡ ὁπλή. τοῦτο δὲ συμβαίνει ἐπὶ τῶν προβεβηκότων τῇ ἡλικίᾳ, ῥευματικοί γε μὴν καὶ οὗτοί εἰσιν ὅσοις ἐκπίπτει τὸ σίελον ἐκ τοῦ στόματος. ὥστε λαμβάνοντας τὰς κριθὰς, ὑγραίνειν αὐτάς, ὃ συμβαίνει μάλιστα τοῖς πρεσβυτέροις συνεχέστερον, οἳ καὶ πολυχρονιώτεροι διαμένουσι. καὶ νεωτέροις δὲ συμβαίνει, οὐχ οὕτως δὲ συνεχῶς.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ

τὰ ἐν τοῖς σκέλεσι ῥεύματα.

Δεῖ τὰ τοιαῦτα πάθη πεπυρωμένῳ σιδήρῳ καίοντα θεραπεύειν. τὰ δὲ ἀπὸ τοῦ καυτῆρος τραύματα ὑγιάσεις, σπογγιὰν ὄξει καὶ λασάρῳ βρέξας καὶ ἐπιθείς, καὶ μετὰ τὴν ἄλλην ἡμέραν κολλύριον ἐμβάλλων ὅπερ τὸ μυξῶδες ἐκβάλλει, τοῦ δὲ κολλυρίου ἡ σύνθεσις, ἐστὶν αὕτη, κόμμεως ἀμμωνιακοῦ τὸ ἴσον, ὄξει δριμυτάτῳ συμμίξας καὶ λειώσας καὶ πρὸς ἥλιον ξηράνας, ποίει κολλύρια.

Πρὸς τὸ δίχα σιδήρου νεαρὰ ῥεύματα θεραπεῦσαι.

Κάχρυος λίτρας β´, χαλβάνης γο ἕξ, ῥητίνης λίτρας δ´, λιβάνου, ἀλεύρου λιπαρωτέρου κυάθους δ´, νίτρου γο ἕξ, ἅλατος ξε. ἐν α, μίξας καὶ λειώσας καὶ ἐπιβαλὼν ὄξος, ζέσαι ποίησον, καὶ θερμὸν ἐπιπλάσσας ῥακίῳ μαλάγματος τρόπῳ, κύκλῳ τῶν γονάτων ἐπίθες ἐπὶ τρισὶν ἡμέραις. καθ᾽ ἡμέραν δὲ θερμαίνων ἀνακαινοποίει, καὶ οὕτως ἐπιτίθει, ἢ ἀσφάλτου ἰουδαϊκῆς λίτραν κ´, σινήπεως σπέρματος λίτραν α´, ῥοδοδάφνης λίτραν α´, κ-

ξυγγίω

ῥίζ., ἢ ἀσφοδέλου ῥίζαν ἑψήσας ἐν ὕδατι τὸ αὐτὸ ποίει ἐλ΄, καὶ ἐλαίῳ μέλιτι τρίβε. ἔστι δὲ τοῦ ῥεύματος τοῦ ἐν τοῖς ποσὶ γένη τρία. ὧν ἓν μὲν τὸ προγεγραμμένον. ἕτερον δὲ εἰς ὕψος αἶρον τὴν ὁπλήν, ἐν ᾧ δεῖ μάλιστα κάτωθεν ἀποχαράσσειν, ἵνα μὴ ἔκτριψιν ἀπολαμβάνῃ ἡ ὁπλή. τὸ δὲ ξίνον ὅτι δὴ θραύεται ἡ ὁπλή. τοῦτο δὲ συμβαίνει, ὅταν ᾖ προβεβηκὼς τῇ ἡλικίᾳ. ῥευματικοὶ δὲ καὶ οὗτοί εἰσιν, οἷς ἐμπίπτει σίελον εἰς τὸ στόμα, μάλιστα τοῖς πρεσβυτέροις ὅταν λαμβάνωσι τὰς κριθάς, ὥστε καὶ ὑγραίνειν αὐτάς, οἵτινες καὶ πολυχρονιώτεροι διαμένουσι, καὶ νεωτέροις δὲ συμβαίνειν οὐχ ἥτως δὲ πολὺ οὐδὲ συνεχῶς ὡς τοῖς παλαιοῖς.

Ῥεύματος πρόγνωσις καὶ ἴασις.

Πρῶτον μὲν οἰδαίνουσι τὰ γόνατα, καὶ χωλαίνει καὶ οὐ δύναται ἐπιβαίνειν, ἀλλ᾽ ὅταν τῇ χειρὶ πιέζῃς, ἀνίσταται ὀρθός. ἐὰν οὖν ἐν τοῖς ὀπισθίοις ᾖ, καῦσον αὐτὸν καυτηρίοις στρογγύλοις. ἔσωθεν μὲν καύμασι πέντε ὑπὲρ τῆς ἀγκύλης. ἔξωθεν δὲ πλατέσιν ἀμφοτέρωθεν. ἐὰν δὲ ἐν τοῖς ἐμπροσθίοις κάτωθεν ᾖ τοῦ γόνατος, καύσας μανδακηδὸν ἐπιμελοῦ ὥσπερ καὶ τὰ λοιπὰ καύματα.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ῥεύματά εἰσιν ἐν τοῖς ποσὶν ἐμπίπτοντα, ἅ τινες προσαγορεύουσι σεῖρας. ἕτεροι δὲ χειράματα, σειριᾶν γοῦν τὸν ἵππον φασὶν ὡς καὶ Ἄψυρτος λέγει. θεραπεύεται δὲ οὕτως, ἀφαιρείσθω αἷμα ἐκ τῶν ποδῶν, διακοπτομένης τῆς φλεβὸς ἐν τῷ μεσοκυνίῳ ἐκ τοῦ ἐκτὸς μέρους, ἢ τοῦ ἐντὸς ὅρα δέ. μὴ κατὰ τὴν ἔκφυσιν τῆς ὁπλῆς, καὶ ἀποχαρασσέσθω κάτωθεν καὶ ὑποξυέσθω. ἀποσμηχέσθω δὲ οἴνῳ, εἶτα ἀκακίας χυλὸν ῥίψαντα τοῦ κίρρας μετὰ ὕδατος, καὶ ποιήσαντα μέλιτος πάχος καταχρίειν. τὸ αὐτὸ δὲ καὶ περὶ πίσσης ὑγρᾶς καὶ στέατος ὑείου ποιεῖν, καὶ περιπατεῖν προάγειν αὐτόν. εἰς ὕδωρ δὲ μὴ ἐμβιβάζειν, συμβαίνει μάλιστα τὸ πάθος χειμῶνος. ἐν δὲ τῷ θέρει καθίσταται καὶ ὑγιοῦται, οὐ ῥαδίως μέντοι οἱ ὀρχοτομούμενοι γίνονται ῥευματικοί. οὐ δὲ ἐμπίπτουσιν εἰς τὸ τοῦ ἀρθρίτιδος μάλιστα νόσημα, Ἄψυρτος δὲ πρόσκαιρα καὶ ταῦτα λέγει βοηθήματα, ἄλευρον, ὀρόβινον οἴνῳ καὶ μέλιτι μίξαντα

γαλιά, δεῖ θεραπεύειν ὡς προγέγραπται τῷ ξηρῷ μαλάγματι, ἄχρις οὗ καταβῇ κάτω, καὶ περιακρὶς γένηται. ἔστι δὲ χρήσιμον πρὸς τούτοις καὶ τὸ δι' ἀξυγγίου μάλαγμα, συμφέρει τε περιπάτοις χρῆσθαι, καὶ δρόμοις μὴ συντόνοις, εἰς ψυχρόν τε ἐμβιβάζειν λυσιτελεῖ.

Πῶς αἱ φλεγμοναὶ αἱ ἐν τοῖς γόνασι διαλυθῶσιν

Ῥοδοδάφνης, ἀσφάλτου, νίτρου, ἀξυγγίου παλαιοῦ, ἀνὰ γο γ΄, συμμίξας καὶ φάρμακον ποιήσας χρῶ.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ῬΕΥ͂ΜΑΤΟΣ ἘΝ ΠΟΣῚΝ, ἬΤΟΙ ΧΕΙΡΌΜΑΤΟΣ.

ΚΕΦΆΛΑΙΟΝ ΝΒ.

Ἄψυρτος Ἀπολλωνιάδῃ ἱππιατρῷ χαίρειν. ῥεύματα ἐμπίπτει εἰς τοὺς πόδας ἅ τινες εἶπον σεῖρας. ἕτεροι δὲ χειρώματα, δι' οὗ λέγεται σειριᾶν αὐτοὺς πόδας. ῥωμαϊστὶ δὲ λέγεται συφράγγια. θεραπεύεται δὲ οὕτω, αἷμα ἀφαίρει ἐξ αὐτῶν τῶν ποδῶν διακόπτων τὴν φλέβα τὴν ἐν τῷ μεσοκνημίῳ ἐκτὸς ἐκ τοῦ μέρους, ἢ τοῦ ἐντὸς ὡσαύτως. ἐκ δὲ τῆς ἐκ φύσεως τῆς ὁπλῆς οὐ δεῖ, καὶ ἀποχάραξον κάτωθεν καὶ ἀπόξυε, ἵνα ἐκεῖθεν ἐκπίπτῃ, καὶ ἀπόσμηχε οἴνῳ καὶ ἀκακίας χυλὸν τοῦ κίρρας, ῥίψας μετὰ ὕδατος καὶ ποιήσας μέλιτος τὸ πάχος κατάχριε, ἢ στέαρ ὕειον τρίψας μετὰ πίσσης ὑγρᾶς, τὸ αὐτὸ ποίει καὶ περιπατείτω, εἰς ὕδωρ δὲ μὴ ἐμβίβαζε. συμβαίνει δὲ τὸ πάθος τοῦ χειμῶνος. θερείας δὲ ἀποκαθίσταται καὶ ὑγιάζεται, οὐ ῥᾳδίως δὲ ἐμπίπτουσιν οἱ πονοῦντες εἰς τὸ τῆς μάλεως πάθος τοῦ ἀρθρίτιδος, ἀλλ' οὐδὲ οἱ ὀρχούμενοι ὡς ἐπιπλεῖστον γίνονται ῥευματικοί. ὠφέλιμα δὲ πρόσκαιρα ταῦτα, ἄλευρον ὀρόβινον οἴνῳ ἀναμίξας ἢ μέλιτι, κατάπλασσε καὶ περιδέσμευε. τὸ δὲ αὐτὸ καὶ δι' ἐρέγματος ὡσαύτως ποίει, ὕειον κόπρον οἴνῳ φυράσας. μετὰ δὲ οἴνου σιδία ἑψήσας καὶ ῥίψας, κατάπλασσε καὶ περιδέσμευε, ὠφέλιμος δὲ καὶ ἡ κηκὶς κοπτομένη καὶ καταπλασσομένη. σύγχρισον δὲ καὶ τῶν ἀμόργην καὶ οἶνον αὐστηρὸν ἀναζέσας ἀποπυ-

ρίας

ἐπιφορὰν τοῦ ῥεύματος στεγνοῦντες τὸν τόπον. θεραπεύεται δὲ οὕτως, σφαίρας τὰς ὑπὸ τῆς θαλάσσης ἐξεῤῥιμμένας εἰς λεπτὰ κατατίλλοντες, καὶ τὴν κιμωλίαν μίξαντες, καὶ βρέξαντες ἐν ὕδατι ἐπὶ ἡμέρας πέντε καταπλάσσουσι καὶ ἐπιδεσμοῦσιν ἕως ἡμερῶν δύο. τῇ δὲ τρίτῃ λύουσι καὶ πάλιν τὸ αὐτὸ ποιοῦσιν. ἐκπιέζει γὰρ τὸν ἰχῶρα, τέφραν ἐκ χαλκείου τὴν ἀναπεπτασμένην ἐπὶ τὴν κάμινον, μέλιτι ἡψημένῳ μίσγειν, καὶ ἐπιπλάσσοντα εἰς ῥάκος ἐπιδεσμεῖν, ἢ ἄλευρον κρίθινον ἐν ὕδατι μίξαντα, τὸ αὐτὸ ποιεῖν, ἢ ἐρινεὸν κόψαντα ἐπιδεσμεῖν, καὶ εἰς ψυχρὸν ἐμβιβάζειν. καὶ τὸ ξηρὸν δὲ μάλαγμα, ὠφέλιμον αὐτοῖς. χρῆσθαι δὲ τούτοις, ἐφ' ὅσον ὑγρός ἐστιν ὁ ἰχώρ. ὅταν δὲ παγῇ καὶ περιέλθῃ, εἰς τὸ ἐντὸς μέρος τοῦ γόνατος, γίνεται στραγγαλιά, ἣν δεῖ θεραπεύειν ὡς προείρηται τῷ ξηρῷ μαλάγματι, ἄχρις οὗ καταβῇ κάτω, καὶ γένηται παρακερκίς. ἄριστον δὲ εἰς τοῦτο καὶ τὸ διὰ ἀξουγγίου μάλαγμα, ἔστι ῥεύματος γένος καὶ τοῦτο, ὅταν ἢ ἔχῃ τὰ σκέλη οἰδοῦντα καὶ μεγάλα, καὶ μάλιστα τὰ ὀπίσθια, ἃ φλεβοτομούμενα μᾶλλον ἐπιφέρει πληθύν. συμφέρει δὲ περιπάτοις καὶ δρόμοις χρῆσθαι μὴ συντόνοις, καὶ εἰς ψυχρὸν ἐμβιβάζειν.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐμπίπτει τῷ γόνατι ῥεῦμα. καλοῦσι δὲ αὐτὸ ῥωμαϊστὶ φλιμέλιον, ὃ οὐ δεῖ τέμνειν. ῥυσοῦται γὰρ ἡ ὁπλή. ἀλλ' οὐδὲ καίειν. ἐπάγονται γὰρ μᾶλλον τὴν τοῦ ῥεύματος φορὰν στεγανοῦντες τὸν τόπον. θεραπεύεται δὲ οὕτως, σφαίρας τὰς ὑπὸ τῆς θαλάσσης ἐξεῤῥιμμένας εἰς λεπτὰ κατατίλλοντα, καὶ κιμωλίαν μίξαντα βρέχειν ἐν ὕδατι ἡμέρας ε, εἶτα καταπλάσσειν καὶ ἐπιδεσμεῖν ἐπὶ ἡμέραις δυσί. τῇ δὲ τρίτῃ λύειν καὶ πάλιν τὸ αὐτὸ ποιεῖν, ἐκπιεσθήσεται γὰρ ὁ ἰχώρ. ἢ τέφραν ἐκ χαλκείου τὴν ἀναπεπτασμένην τῇ καμίνῳ μέλιτι ἡψημένῳ μίσγειν, καὶ ἐπιπλάσσοντα, εἰς ῥάκος ἐπιδεσμεῖν, ἢ ἄλευρον κρίθινον ἐν ὕδατι μίξαντα τὸ αὐτὸ ποιεῖν, ἢ ἐρινεὸν κόψαντα καὶ μίξαντα ὁμοίως ἐπιδεσμεῖν, ἔστι καὶ τὸ ξηρὸν μάλαγμα ὠφέλιμον. χρῆσθαι δὲ τούτοις ἐφ' ὅσον ὑγρός ἐστιν ὁ ἰχώρ. ὅταν δὲ παγῇ καὶ περιέλθῃ εἰς τὸ ἐντὸς μέρος, καὶ γένηται στραγ-

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ἘΝΤΕΡΟΚΟΊΛΗΣ.

ΚΕΦΆΛΑΙΟΝ Ν.

Ἄψυρτος δίῳ ἱππιατρῷ πολίτῃ χαίρειν. ἔγραψάς μοι περὶ ἐντεροκοίλης. ἐὰν οὖν ἵππῳ τοῦτο γένηται, ὅπερ μάλιστα παλαιοτέροις εἴωθε γίνεσθαι, τὸν ὄσχεον, τουτέστι τὴν καλουμένην θυλάκην ἀποπιέσαντα, χρὴ καθὸ τὸ βάρος νένευκε, βαλόντα πόρπακα ἀποδῆσαι στερρῶς, καὶ καταβρέχειν ὄξει καὶ νίτρῳ. εἰ δὲ κατασαπῇ ὁ πόρπαξ, καταπλύνειν ὕδατι ψυχρῷ τοὺς μηροὺς καὶ τὸ ἕλκος, καὶ θεραπεύειν φαρμάκῳ ἁπαλῷ. ἀναλαμβανέσθω δὲ καὶ ἀναληπτηρίδι ὁ τόπος καὶ ἰαθήσεται.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Ἐὰν ἐντεροκοίλη γένηται, ὅπερ μάλιστα περὶ τὸ πλατὺ γέροντι συμβαίνει, τὸν ὄσχεον, τουτέστι τὴν καλουμένην θυλάκην ἀποπιέσαντα, χρὴ καθὸ τὸ βάρος νένευκε πόρπακα ἀποδῆσαι ὡς στερεώτατα, καὶ καταβρέχειν ὄξει, καὶ νίτρῳ. ἐὰν δὲ ἐκσαπῇ ὁ πόρπαξ, καταντλεῖν ὕδατι ψυχρῷ τοὺς τε μηροὺς καὶ τὸ ἕλκος καὶ θεραπεύειν. ἀντιλαμβανέσθω δὲ καὶ ὁ τόπος καὶ ἰαθήσεται.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ῬΕΥΜΑΤΙΣΜΟΥ͂ ἘΝ ΓΌΝΑΤΙ.

ΚΕΦΆΛΑΙΟΝ ΝΑ.

Ἄψυρτος σεμνᾷ ἑκατοντάρχῃ χαίρειν. ἐπεὶ δ' ἀκότα σε περὶ τοὺς ἵππους ἀναγκαῖον καὶ τοῦτο εἰδέναι, ῥεύματα εἰς τὰ γόνατα ἐμπίπτοντα ἅτινα ῥωμαιστὶ λέγεται φλεμέλια, οὐ δεῖ τέμνειν. ξυσοῦνται γὰρ τὸ γόνυ διὰ τὴν οὐλήν. χεῖρον δὲ τοῦτο ποιοῦσιν οἱ καυτηρίοις χρώμενοι. ἐπάγονται γὰρ μᾶλλον τὴν

πλεῦν ὕδατι θερμῷ δὶς τῆς ἡμέρας, καὶ τὸ ἅλας ἐμπάσσοντας τῷ ὕδατι καταχρίειν τῇ κιμωλίᾳ μετ᾽ ὄξους, ἢ κεραμικῆς γῆς ὡσαύτως, ἢ ἀψινθίου χλωροῦ κεκομμένου τῷ χυλῷ. ἢ τοῦ κωνείου τοῦ φυομένου ἐν ταῖς κοπρίαις, ἢ στρύχνου τῷ χυλῷ, ὁμοίως δὲ καὶ τὸ ψιμμύθιον λειόμενον ἁρμόζει μετὰ τοῦ ὕδατος καταχριόμενον.

ΙΕΡΟΚΛΕΟΥΣ

εἰς τὸ αὐτό.

Ἐὰν οἰδήσωσιν οἱ ὄρχεις, καταντλείσθωσαν ὕδατι θερμῷ νίτρου παρὰ μεμιγμένου βραχέος. καταχριέσθωσαν δὲ ὄξους ὕλῃ. εἰ δὲ μὴ ὑπακούῃ ἐν τῇ θεραπείᾳ ταύτῃ, αἷμα ἀφαιρείσθω ἀπὸ τῶν σκελῶν ἐγγὺς τῶν ὀρχέων. εἰ δὲ μὴ οὕτως παύοιτο, καυτηριαζέσθω διὰ μέσου φυλαττομένων μὴ τῶν ὀρχέων παράψαιντο.

ΙΠΠΟΚΡΑΤΟΥΣ. ΠΡΟΣ

ὀρχέων φλεγμονάς.

Τὰς τῶν ὀρχέων φλεγμονὰς, χρίε κεραμικῇ γῇ πεφυραμένῃ ὄξει, ἢ στρύχνῳ μετὰ ὄξους καθεψηθέντι φλεβοτόμει δὲ ἀπὸ τῶν βουβώνων καὶ πότιζε ὕδατι ψυχρῷ. εἰ δὲ μὴ παύηται, πυρία οὔρῳ θερμῷ παιδικῷ ὑποτιθεὶς μυλίτας λίθους πεπυρωμένους, ἕως ὑπὸ τῶν λίθων οἱ μηροὶ ἱδρώσουσι, κατάντλει δὲ καὶ ὕδατι θερμῷ, καὶ σύγχριε ἐλαίῳ καὶ ποίει περιπατεῖν.

Πρὸς οἴδησιν ὀρχέων.

Κενταύριον μετὰ κόπρου βοείου, καὶ κυμίνου, καὶ ὀξυκράτῳ λειώσας, χρίε μέχρι θεραπείας.

ΠΕΛΑΓΩΝΙΟΥ.

πρὸς τοὺς ἀπὸ αἰδοίων

πύος φέροντας.

Ἀλεκτρυόνα καὶ σκυλάκιον ἐπὶ ταυτὸ ἑψήσας μεθ᾽ ὕδατος, ἔπειτα διηθήσας τὸ ὕδωρ, καὶ προσβαλὼν ἀσφάλτου λελειωμένης δραχμὴν μίαν, προπότιζε ἐπὶ ἡμέραις β.

σιον. εἰ δὲ μὴ ἅλας περὶ ὕδατι ἐμβάλλουσιν. ἄψυρτος δὲ δοκιμάζει καὶ τοῦτο, βελόνῃ λεπτῇ ἀκροθιγῶς κεντεῖν τὸ περὶ τὸν καυλὸν δέρμα, καὶ ὄξος προσραίνειν δριμὺ τοῖς κεντήμασιν, ἀνασπᾶσθαι γὰρ οὕτως εἰς τὴν φύσιν. τὸ αὐτὸ δὲ καὶ κνίδαι παρατριβόμεναι ποιοῦσι, καὶ ἡ ἕδρα καὶ τὸ ὑποσταύριον κεντούμενα τῇ ῥαβδίδι καθιστᾶσιν αὐτὸ εἰς τὴν χώραν.

ΠΕΛΑΓΩΝΊΟΥ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Λιβανωτὸν καὶ ὠὸν καὶ κύμινον μετὰ οἴνου μίξας ἐγχυμάτισον, ἢ κόπρον χοιρείαν μετὰ ὄξους μίξας καὶ δίκταμνον, ἢ πάνακος ῥίζης γρ. β΄, μετὰ οἴνου τρίψας τὸ αὐτὸ ποίει, ἢ πηγάνου ἀγρίου ῥίζαν μετὰ ξυλοκεράμβης μίξας πρόσαγε δι' ἐγχυματισμοῦ. τοῦτο δὲ καὶ πρὸς στρόφους ποιεῖ. Ἄλλο.

Ἔλαιον μετὰ οἴνου μίξας, ἐπὶ τὰς ψύας ἐπίχει. εἰ δὲ μὴ ὠφελήσει, ἐκ μέλιτος ἑψηθέντος καὶ ἁλὸς ποιήσας κολλύριον λεπτότατον, ἔμβαλλε τῇ ὀπῇ ὅθεν τὰ οὖρα διαφοροῦνται, ἢ μυῖαν ζῶσαν, ἢ ψύχα λιβανωτοῦ, ἢ ἀσφάλτου κολλύριον, ἢ σκορόδου μέρος περὶ αὐτῷ τρόπῳ ὡς ἔφημεν ἔμβαλλε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ὈΡΧΈΩΝ ΦΛΕΓΜΟΝῆΣ ΚΑῚ ΟἸΔΉΣΕΩΣ.

ΚΕΦΆΛΑΙΟΝ ΜΘ.

Ἄψυρτος Μέμνονι ἱππιάτρῳ χαίρειν. ἱπποτροφοῦντά σε δεῖ γινώσκειν ὡς τὰς τῶν ὀρχέων φλεγμονὰς γινομένας ἐκ τραύματος, ἢ δήγματός τινος θηρίου, ἢ ὅταν χαλεπαίνωσι πρὸς ἀλλήλους, θεραπεύουσιν οὕτως σικύου ἀγρίου ῥίζαν θλάσαντες, καὶ ἑψήσαντες ἐν ὕδατι καὶ ἅλατι πυριῶσι σπόγγῳ χρώμενοι καὶ ψιμμύθιον καὶ ἔλαιον καὶ στέαρ αἴγειον, καὶ ὠὸν τὸ λευκὸν τρίψαντες καταχρίουσι καὶ ὑγιάζουσιν. ὅταν δὲ ὦσιν ὑπ' ἄλλης αἰτίας φλεγμαίνοντες, βοηθεῖν δεῖ οὕτως, προσαντλεῖν

τλεῖν

μέχρις ἡμερῶν δ΄. διελθουσῶν δὲ τούτων λύε τοὺς πόρπακας καὶ ὀρόβινον προσκατάπλασσε, ὕδατι θερμῷ βρέχων ἕως ἀνακαθαρθῇ, εἶτα ἐπίχριε τῇ λιπαρᾷ, καὶ ἔσται ὑγιής. διακοπῆς μέντοι διαμπερὲς ἐν τῷ τόπῳ γινομένης οὐκ ἂν δύναιτο ζῆσαι διὰ τὸ παρακεῖσθαι τὴν καρδίαν, καὶ ψύξιν διὰ τοῦ τραύματος λαμβάνειν.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΑΙΔΟΙΟΥ ΠΡΟΠΤΩΣΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ.

Ἄψυρτος νουμηνίῳ ἀλεξανδρεῖ χαίρειν. αἰδοῖον τὸ προπεσόν, εἰ μὴ δυνατὸν πάλιν εἰς τὴν χώραν ἀποκαταστῆσαι, παραγγέλλουσι ῥοίζειν αὐτὸ ἐν ποταμῷ πρὸς τὸ πρόσαντες, ἢ ἐν θαλάσσῃ. ἕτεροι δὲ κατακλίναντες, καὶ τῶν σκελῶν ἀνακρεμάσαντες, κηρωτῇ προσανατρίβουσι μετὰ στέατος ὑείου καὶ νίτρου λεπτοῦ, καὶ καταντλοῦσι ὕδατι ψυχρῷ πολλῷ, καὶ καθιστῶσιν οὕτως εἰς τὴν χώραν. κάλλιον δὲ ἐὰν ᾖ θαλάσσιον· εἰδ᾽ οὐκ ἔστιν, ἐμπάσσειν εἰς τὸ ὕδωρ ἅλας. ἡμεῖς δὲ ἐχρησάμεθα καὶ τούτῳ. ἑστῶτος τοῦ ἵππου, ῥαφίδι λεπτῇ ἀκροθιγῶς κεντοῦντες τὸ περὶ τὸν καυλὸν δέρμα ὄξος δριμὺ προσραίνομεν τοῖς κεντήμασι, καὶ οὕτως ἄνεισιν εἰς τὸ κατὰ φύσιν, τὸ αὐτὸ δὲ καὶ κνίδαι παρατριβόμεναι ποιοῦσι, καὶ ἡ ἕδρα ἢ καὶ τὸ ὑποταύριον κεντούμενα τῇ ῥαφίδι καθιστᾶσιν εἰς τὴν χώραν.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Αἰδοῖον προπεσόν, εἰ μὴ δύναιτο εἰς τάξιν καταστῆναι, ῥοιζέσθω ἐν ποταμῷ εἰς ἀνάῤῥουν ἢ ἐν θαλάσσῃ. τινὲς δὲ κατακλίναντες καὶ τῶν σκελῶν ἀνακρεμάσαντες, ἀνατρίβουσι κηρῷ μετὰ στέατος αἰγείου, καὶ νίτρου λεπτοῦ καὶ καταντλοῦσιν ὕδατι πολλῷ ψυχρῷ. κάλλιον δὲ ἐὰν ᾖ θαλάσ-

ΠΕΡῚ ΣΤΉΘΟΥΣ.

ΚΕΦΆΛΑΙΟΝ ΜΖ.

Ἄψυρτος Ἀντιπάτρῳ ἱππιάτρῳ Ἀλεξανδρεῖ χαίρειν. ἐάν ποτε συμβῇ ἐν τῷ στηθυνίῳ διακοπὴν γενέσθαι ὑπὸ σιδήρου, ἢ δι' ἄλλης τινὸς αἰτίας θεράπευε οὕτως, πόρπακας λινοὺς ἢ καναβίνους μὴ λεπτοὺς ἐπιτίθει περὶ ἑκάτερα τοῦ τραύματος εἰς τὴν βύρσαν ὅσοι ἱκανοί εἰσι, καὶ μοτὰ ποιήσας ἔρια οἴνῳ καὶ ἐλαίῳ ἐντίθει, καὶ οὕτως ἐπίδησον καταλαβόμενος τοῖς πόρπαξι, καὶ διὰ τρίτης λύσας, καταύτλει θερμῷ ὕδατι ὡς πλείστῳ, καὶ τὸ αὐτὸ ποίει καθ' ἡμέραν, προσαντλῶν μέχρις ἡμερῶν ἄλλων τεσσάρων. διελθουσῶν δὲ, λύε τοὺς πόρπακας, καὶ τῷ ὀροβίνῳ πρόσπασσε, προσβρέχων ὕδατι χειμῶνος καὶ θέρους θερμῷ. ἂν δὲ ἀνακαθαρθῇ, ὑπόχριε τῇ λιπαρᾷ, καὶ ἔσται ὑγιής. ἔσθ' ὅτε δὲ συμβαίνει ἐκφυσήματα γίνεσθαι δι' ὅλου τοῦ ἵππου ὑπὸ βύρσαν, ὥστε ὑπολαμβάνειν φλεγμονὴν εἶναι τῶν ἐντός, διὸ δεῖ ἐν τῷ στήθει ἐκκόπτειν τῆς βύρσης ἀπέχοντα ἀλλήλων ἐν τρισὶ τόποις τῇ περιοχῇ τοῦ ἀντίχειρος τῷ ὄνυχι διπλάσιον, καὶ οὕτως διελεύσεται τὰ ἐμφυσήματα κίνδυνον δὲ οὐχ ἕξει. γινομένης δὲ τῆς διακοπῆς ἐν τῷ τόπῳ διαμπερὲς, μὴ θεράπευε. οὐ δύναται γὰρ ζῆν διὰ τὸ περικεῖσθαι τὴν καρδίαν καὶ ψύξιν λαμβάνειν.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Ἐάν ποτε συμβῇ ἐν τῷ στηθυνίῳ διακοπὴν γενέσθαι ὑπὸ σιδήρου, ἢ ἄλλης τινὸς αἰτίας, οὕτως θεραπευέσθω, πόρπακας ἐνθεὶς μὴ λεπτοὺς περὶ ἑκάτερα τοῦ τραύματος τὴν βύρσαν διαλαβὼν ἐφ' ὅσον ἱκανοί εἰσι, καὶ μοτὰ ποιήσας ἔρια διάβροχα οἰνελαίῳ ἐντίθει, καὶ ἐπιδέσμει οὕτως καταλαβόμενος τοῖς πόρπαξι, καὶ διὰ τρίτης ἡμέρας λύσας, καταύτλει θερμῷ ὕδατι, καὶ τὸ αὐτὸ ποίει καθ' ἡμέραν προσαντλῶν,

μέχρις

τὸ ἴσον μίξαντας ἐλαίου κοτύλῃ χρῆσθαι. ἡμεῖς δὲ ἐχρησάμεθα βονθήμασι καὶ τεύτλοις, κόπρον περιστερᾶς ἢ τῶν κατ᾽ οἶκον ὀρνίθων ὅσον χειρὸς πλήρωμα, διέντες οἴνῳ καὶ νίτρῳ ἐκεκλύσαμεν, καὶ τὴν τροφὴν βρέχοντες τῷ οἴνῳ διεδώκαμεν, καὶ εἰς τὸν ποτὸν δὲ ἐβάλομεν, καὶ μὴ κόπον γίνεσθαι αὐτῷ παρηγγείλαμεν. περιπατείτω δὲ ὀλίγα, καὶ τρίψις ἔσω δι᾽ οἴνου καὶ ἐλαίου, παρὰ τρίχα μὲν σκληρῶς. ἁρμόζει δὲ ἡ φλεβοτομία γινομένη ἀπὸ τῆς οὐρᾶς τῆς ἐκφύσεως ἀπέχουσα τῆς ἕδρας δακτύλοις δʹ. ἑτέροις δὲ πνευματοῦνται, ὧν οἱ ῥώθωνες ἀνεπτυγμένοι εἰσί, καὶ δυσπνοοῦσι, καὶ ἐν τῷ ἀναπνεῖν τῇ κοιλίᾳ συμπίπτουσι καὶ ταῖς πλευραῖς, καὶ οὗτοι καταπεραβοῦνται ὑπὸ τῆς ξηρᾶς τροφῆς. θεραπεύονται δὲ, ἀνατάσει δίψους ἐγγινομένου, καὶ χλωρῷ χόρτῳ διδομένῳ.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Κγνόπρισις συμβαίνει, ὅταν ὁ καταπερατούμενος ὑπὸ ξηρᾶς τροφῆς ἥτις αὐτὸν καταβλάπτει καὶ δύσπνοιαν ποιεῖ, καὶ πίμπρησι τὰς λαγόνας μάλιστα, καὶ ἡ γαστὴρ ἐπέχεται σκληροτέρα οὖσα, ἀποπατεῖ τε μικρὰ τῆς ἕδρας ὑποφυσωμένης. ἔνιοι δὲ προσηγόρευσαν τὸ πάθος, πνεῦμα ἐν κιθάρᾳ, προσήκει τοίνυν σικύου ἀγρίου τὴν ῥίζαν κόψαντα, τὸν χυλὸν ποιῆσαι εἰς κοτύλας τρεῖς, καὶ οἴνου θυώδους τὸ ἴσον καὶ ἐλαίου κοτύλην, καὶ νίτρου δραχμὰς ὀκτὼ, ταῦτα μίξαντα, καὶ ἀναλαβόντα κλύζειν. ἄψυρτος δὲ ἐκεῖνα δοκιμάζει, κόπρων περιστερῶν, ἢ τῶν κατοικιδίων ὀρνίθων χειρὸς πλήρωμα οἴνῳ διέντα, καὶ νίτρῳ κλύζειν, ῥαίνειν τε ἔτι ὅτι νίτρῳ τὴν τροφὴν καὶ εἰς τὸν ποτὸν βάλλειν. περιπατείτω δὲ ὀλίγα, καὶ τρίψις ἔσω δι᾽ ἐλαίου, καὶ οἴνου παρὰ τρίχα. εἰ δὲ δεῖ καὶ φλέβα διελεῖν, διαιρήσεις δὲ ὥς φησιν ἄψυρτος ἀπὸ τῆς ἐκφύσεως τῆς οὐρᾶς, ἀπεχέτω δὲ τῆς ἕδρας δακτύλους δʹ, ἔστι δὲ καὶ ἄλλη ἁπλουστέρα ἐμπνευμάτωσις, ὅταν ἀναπτύσσῃ μὲν τοὺς μυκτῆρας, ἐν δὲ τῷ ἀναπνεῖν, συμπίπτει τῇ κοιλίᾳ καὶ ταῖς πλευραῖς, τούτους ἀπείργειν δεῖ τοῦ πολλοῦ ποτοῦ χλωρὸν αὐτοῖς χόρτον παραβάλλοντας.

Ἀψύρτου

μάξας, καὶ ποιήσας κολλούρια δύο ἢ τρία, εἰς τὴν ἕδραν αὐτοῦ ἔμβαλε. Ἄλλο.

χλιαρὰν στακτὴν μετὰ ἐλαίου καὶ μέλιτος ὀλίγου, ταῖς φάρυξιν ἔμβαλε, καὶ εἰ χρεία ἀπαιτήσοι, διὰ τοῦ δακτυλίου τὴν χεῖρα ἐμβαλὼν, τὴν κόπρον ἐκκόμισον. Ἄλλο.

Κυμίνου καθαροῦ κοχλιάριον ἓν μεστὸν, πηγάνου σπέρματος κοχλιαρίου τὸ ἥμισυ, ὀποπάνακος ὅσον κυάμου τὸ μέγεθος, λασάρου ὅσον κυάμου τὸ ἥμισυ, οἴνου παλαιοῦ ξε. ἰταλικὸν α´, ἐλαίου ὀμφακίνου τὸ ἀρκοῦν, δίδου ἐπὶ τρισὶν ἡμέραις τῷ ζώῳ. κριθὰς δὲ μὴ ἐσθιέτω. Ἄλλο.

Ὁ στροφούμενος ἵππος, διαγινώσκεται οὕτως. κυλίεται συνεχῶς καὶ ἡ γαστὴρ φυσᾶται, καὶ κατακλιθεὶς στενάζει καὶ στρέφεται ὧδε κἀκεῖσε. τὰ δὲ ἔντορα βομβεῖ. θεράπευε οὖν οὕτω· πυρία, καὶ χειροτρίβει, καταφυσῶν οἴνῳ καὶ ἐλαίῳ θερμῷ ὅλον, καὶ ἐγχυμάτιζε στύρακι καὶ οἴνῳ καὶ ἐλαίῳ, καὶ ἀριστολοχείᾳ ἢ πράσου χυλῷ, μετὰ οἴνου, καὶ ἐλαίου. κλύζε δὲ οἰνελαίῳ καὶ τὴν χεῖρα πιαίνων ἐλαίῳ ἔμβαλε εἰς τὴν ἕδραν, καὶ ἔκβαλε τὰ παρακείμενα κόπρια. καὶ τὴν κύστιν δὲ διάτριβε προσηνῶς, δίδου τε φαγεῖν ὀρόβους, ἢ βρόμον μίξας τοῖς ὀρόβοις καὶ πότιζε χλιαρόν.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΚΕΝΟΠΡΙΣΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ ΜϚ.

Ἄψυρτος κοΐντῳ λολλίῳ μαρυλλίῳ χαίρειν. ἱπποτροφοῦντά σε, εὔχρηστον εἰδέναι τίνα τὰ σημεῖα τῆς κενοπρίσεως, καὶ διὰ τί συμβαίνει. γίνεται δὲ διὰ τοῦτο, ὅταν ᾖ κατακρατούμενος ὑπὸ τῆς ξηρᾶς τροφῆς, ἥτις αὐτὴ μὴ καταπέσσεται, δύσπνοιαν δὲ παρέχει καὶ πλησμονὴν, καὶ ἐκ τούτου περιτέταται τὰς λαγόνας, καὶ ἀφοδεύων σκληροτέραν ἔχει τὴν κοιλίαν, καὶ ἀποκρίνει μικρὰ, καὶ φυσᾶται ἡ ἕδρα. λέγεται δὲ κενόπρισις, ὑπὸ δέ τινων πνεῦμα ἐν κιθάρᾳ, οἵτινες εὑρήκασι τὸ μέσον τρυπᾶσθαι ὀστέον τῆς κιθάρας τρυπάνῳ λεπτῷ. ἕτεροι δὲ ἐγκλύζειν αὐτὸν σικύου ἀγρίου ῥίζαν ἀποχυλίζοντας κοτύλαις τρισὶ, καὶ οἴνου

τὸ ἴσον

χωρεῖ, ἀναπνεῖ τε θερμόν, καὶ τὸ στόμα μέμυκε, καὶ κατάξηρον ἔχει τὴν γλῶσσαν καὶ τραχεῖαν, καὶ τὰ ὦτα κεχαλασμένα, καὶ νυστάζει. θεραπεύεται δὲ λουτρῷ θερμῷ καὶ σκεπάσμασι θερμαινόμενος, ἐγχυματιζόμενός τε διὰ τοῦ στόματος ἢ τῶν ῥινῶν, σμύρνης δραχμαῖς ε. ἐν οἴνου παλαιοῦ κοτύλαις ἓξ κεκραμέναις. μετὰ δὲ τὸν ἐγχυματισμόν, ἔξαγε εἰς δρόμον, μὴ πολὺν διαστήσας χρόνον, μὴ δὲ σύντονον τὸν δρόμον ποιῶν τροφήν τε παράβαλλε, σέλινα ἱκανὰ ἐὰν ᾖ· δίδου δὲ καὶ ποτὸν θερμὸν ὕδωρ, καὶ κενώσας τὴν κοιλίαν, ποίει πάλιν ἐμβροχάσαι, ἵνα ἱδρώσῃ, ἢ καρδάμου σπέρμα τετριμμένον μεθ' ὕδατος, ἐγχυμάτιζε διὰ τοῦ ἀριστεροῦ μυκτῆρος· περιβλήμασί τε περίστελλε, καὶ τροφὴν δίδου τὴν λεγομένην μηδικὴν πόαν, εἶτα ἀποξύσματα τῶν ἐμπροσθίων ὀνύχων ῥίψας, ἐν ὕδατος κοτύλαις τέσσαρσιν, ἐγχυμάτιζε, ἢ ἀπὸ ὀρύγματος μυγαλῆς λελειωμένου.

ἈΝΑΤΟΛΊΟΥ.

Ἵππον στροφούμενον ἰάσῃ, ὕδατι θερμῷ λούσας αὐτὸν καὶ συγκαλύψας ἱματίοις, ἔπειτα σμύρνης δραχμὰς πέντε καὶ οἴνου παλαιοῦ κοτύλας ἕξ, καὶ ἐλαίου κοτύλας γ, ὁμοῦ διηθήσας, καὶ ἐπὶ τρισὶν ἡμέραις ἐγχυματίσας, καὶ τὴν κοιλίαν δὲ ὕδατι θαλασσίῳ θερμῷ κλύσον, μύρτων ἐν αὐτῷ ἀφεψηθέντων, ἢ πολυόφυλλον, καὶ ἀβρότονον, ἢ πικρὰ ἀμύγδαλα καὶ οἶνον μέλανα καὶ αὐστηρὸν μίξας, ἢ σίδια ῥοιᾶς μετὰ ὕδατος ἐγχυμάτιζε, ἢ νίτρον λειώσας καὶ θερμάνας μετὰ οἴνου, τὸ αὐτὸ ποίει. Ἄλλο.

Τέσσαρα ὠὰ εἰς τὸ στόμα αὐτοῦ κατάξας, ποίησον μετὰ τῶν λεπῶν τὸ ζῶον καταπιεῖν.

Εἰ ἐπικρατὴς γένηται ὁ στρόφος καὶ μὴ προχωρῇ ἡ κοιλία.

Ὅταν τὴν οὐρὰν ὁ ἵππος μεταξὺ τῶν σκελῶν ἐμβάλλῃ καὶ ἐπικλίνεται ἐπὶ τὴν ἑαυτοῦ κοιλίαν, πηγάνου ἀγρίου σπέρμα μετὰ ἡμίνης οἴνου προπότιζε. Ἄλλο.

Κρόμμυα λειώσας ι, ἢ σύκων ξηρῶν γράμματα θ, νίτρου γράμμα ἓν κόπρου περιστερᾶς γράμματα δ, ταῦτα πάντα

νὸς τόπου. εἰ δὲ μὴ, νόσος αὐτῷ ἐγγενήσεται. δεῖ οὖν αὐτὸ ταῖς τροφαῖς παρηγορεῖν, καὶ μάλιστα τῇ χλόῃ. δοκεῖ γὰρ μᾶλλον τότε, τὴν ῥύσιν καὶ τὴν ἔκκρισιν ποιεῖσθαι. καθὸ κυβερνᾶσθαι μὲν μὴ τριβέσθαι δὲ ἵνα μὴ στενῶνται οἱ πόροι. ἐὰν δὲ ἔμφραξις ὑποδράμῃ καὶ ἐπίδοσις μὴ ᾖ τοῦ αἵματος, ἀλλ' ἐπισχεθῇ αὐτομάτως, ταχέως εἴωθε ψωρίασις γίνεσθαι.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΣΤΡΌΦΟΥ ΠΡΌΓΝΩΣΙΣ ΚΑῚ ἼΑΣΙΣ.

ΚΕΦΆΛΑΙΟΝ ΜΕ.

Ὁ στροφούμενος ἵππος, πρῶτον μὲν σκάλλων τῷ ποδὶ καταπίπτει, καὶ κυλίεται, καὶ ἑστηκὼς στροφεῖται, τήν τε κεφαλὴν στρέφει πρὸς ἑκατέρας τὰς λαγόνας, καὶ ἱδροῖ. λιπαρὰν οὖν τὴν χεῖρα ποιήσας καθεὶς εἰς τὴν ἕδραν, εἶτα ἐκτρίψας μάλιστα κενταύρειον, καὶ ὅσον τοῖς τρισὶ δακτύλοις ἐπιχέας οἴνου τε καὶ ἐλαίου κύαθον χλιάνας, ἔγχει. εἶτ' ἐντροχασάτω. εἰ δὲ μὴ, ὀποπάνακος ἢ σμύρνης ἢ σελίνου καρπὸν, ἢ τὸ βρύον τὸ ἀπὸ τῶν ἰνδῶν, ἢ χελιδόνιον, ὅτι ἂν τούτων ἔχῃς. εἰ δὲ μὴ, τρήσας ἔγχει, καὶ τρίψας οἴνῳ καὶ ἐλαίῳ καὶ καταφυσήσας, λοῦσον θερμῷ, καὶ πιεῖν δίδου ὠμὴν λύσιν.

ἹΕΡΟΚΛΈΟΥΣ.

Ἁπλοῦν ἐστι τὸ πρὸς στρόφον βοήθημα ᾠὸν καταμίξας αὐτοῦ πρὸς τοὺς ὀδόντας, χάλασον ὡς ἀξούγγιον καὶ ἰάσῃ.

ἹΠΠΟΚΡΆΤΟΥΣ.

Ὁ στροφούμενος ἵππος ἐπιγινώσκεται οὕτως, ὧδε κἀκεῖσε ῥίπτει ἑαυτὸν πολλάκις εἰς τοὔδαφος, καὶ πάλιν διεγείρεται, καὶ περιασύρεται τὴν κοιλίαν τῷ ἐδάφει, πατεῖ τε καὶ στενάζει καὶ ἱδροῖ τοὺς διδύμους, καὶ οἷον δεδακρυμένῳ ἔοικε, καὶ τὴν οὐρὰν τείνει, καὶ ἀπὸ τόπου εἰς τόπον ἀπο-

χωρεῖ

τος δὲ διδόσθω χλωρός, καὶ κυλιόμενος δὲ μὴ κωλυέσθω ἀπὸ πρώτης ἡμέρας. ἐγχυματιζέσθω δὲ ἀλεύρῳ πυρίνῳ ἐν ὕδατι χλιαρῷ. ἔνιοι δὲ πρὸ τοῦ ἐγχυματισμοῦ δοκιμάζουσιν, ἀλείψαντες τὴν χεῖρα καὶ καθιέντες διὰ τῆς ἕδρας, τὰ παρακείμενα κόπρια ἐκβάλλειν οὐ γινομένου, ὑγρεῖ.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΑἹΜΟῤῬΟΊΑΣ.

ΚΕΦΆΛΑΙΟΝ. ΜΔ.

Ἄψυρτος ἀγρουττίῳ κορινθίῳ χαίρειν. ἔγραψάς μοι ἐπερωτῶν πόθεν συμβαίνει τοῖς ἵπποις καὶ ἱπποζυγίοις αἱμοῤῥοεῖν ἐκ τοῦ νώτου. συμβαίνει δὲ ὅταν ἐνστῇ ὁ καιρὸς ἀπὸ τῶν ξηρῶν πρὸς τὰ χλωρὰ περὶ τὴν ἐαρινὴν ὥραν χωρεῖς γίνεσθαι τὴν ἰχῶρα τοῦ αἵματος, καὶ ὑποτρέχειν ὑπὸ τὴν βύρσαν τοῦ νώτου, καὶ τὴν ἔξοδον ποιεῖσθαι διὰ τῆς ἐπιφανείας περὶ τρίχα ὃ λέγουσιν αἱμοῤῥοΐδα. τούτου δὲ ἐπιγινομένου, καθαίρεται τὸ κτῆνος, καὶ εὔρωστον ὑπάρχει, διὸ οὐ δεῖ φλεβοτομεῖν τὸν τοιοῦτον ἐξ οὐδενὸς τῶν τόπων. μετάγεται γὰρ πάλιν ἀπὸ τῆς ἐξόδου εἰς τὰς φλέβας, καὶ νοσοποιεῖ. δεῖ οὖν τῇ τροφῇ παχύνειν αὐτὴν, καὶ μάλιστα τῇ χλόῃ. δοκεῖ γὰρ τότε μᾶλλον ἐπὶ πλεῖον τὴν ῥύσιν ποιεῖσθαι καὶ τὴν ἔκκρισιν. ἔστι δὲ τούτῳ ἐν τῇ κυβερνήσει ἡ τρίψις ἀσύμφορος, διὰ τὸ στεγανοῦσθαι τοὺς πόρους. ἐὰν γάρ ποτε γινομένης τῆς ἀναχύσεως ἔξοδος μὴ ἐπακολουθήσῃ ὡς προγέγραπται, ψωρίασις ἐπιγίνεται.

ἹΕΡΟΚΛΈ. ΕΙΣ ΤῸ ΑΥΤΌ.

Συμβαίνειν αἱμόῤῥοιαν γίνεσθαί φασι πολλάκις ἀπὸ τοῦ νώτου τοῖς ὑποζυγίοις ὅταν τὸ ἔαρ ἐπιστῇ. ὁ γὰρ τοῦ αἵματος ἰχὼρ συνιὼν ὑπὸ τὴν βύρσαν τοῦ νώτου ὑποτρέχει, καὶ διὰ τῆς ἐπιφανείας ἔξοδον ποιεῖται περὶ τρίχα, καὶ τοῦτό τινες αἱμοῤῥοΐδα ὀνομάζουσιν. ἔστι δὲ κάθαρσις τοῦ κτήνους, καὶ εὐρωστότερον γίνεται, διόπερ οὐ χρὴ φλεβοτομεῖν ἐπὶ τοῦτο ἐξ οὐδε-

σῶντα εἰς τοὺς μυκτῆρας, κοριάνου χλωροῦ χυλόν.

Πρὸς τοὺς αἷμα ἐμοῦντας.

Ἀψίνθιον καὶ ναρδόσταχυ ἐν χαλκείῳ καινῷ μετὰ ὕδατος ἀφεψήσας προπότιζε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ἘΜΦΡΆΓΜΑΤΟΣ.

ΚΕΦΆΛΑΙΟΝ ΜΓ.

Ἄψυρτος ἱππιατροῖς χαίρειν. ἐμφράγματος γινομένου σημεῖα τάδε. οὐρὰν ἀποτεταμένην ἔχει, ῥώθωνας διεσταλμένους, καὶ τῷ ποδὶ τύπτει τὴν γῆν καὶ τῆς κόπρου ὀσφραίνεται, ἱδροῦσι τὰς μάλας καὶ τρόμος περὶ τοὺς ὤμους ἐνίοτε γίνεται καὶ ὡς οὐρητιῶν προχαλᾷ τὸ αἰδοῖον, καὶ κυλίεται. συμβαίνει δὲ τοῦτο, ὅταν ἀπὸ τῆς κοιλίας τὸ ἐπὶ τῆς ἐξόδου ἔντερον, ἐπιστροφὴν λάβῃ, καὶ τὰ ἐν αὐτῷ ἐγκείμενα, δυσέξοδα μὲν γίνεται. θεραπεύεται δὲ ἐγχυματιζόμενος οἴνου καὶ ἐλαίου κοτύλαις δυσί, καὶ περιπάτῳ πλείονι καὶ χόρτῳ χλωρῷ χρώμενος, καὶ ποτιζόμενος ὑπὸ νίτρῳ. κυλιόμενον δὲ μὴ κωλύειν. ὁ δὲ τοιοῦτος, δυσχερῶς περιγίνεται.

ἹΕΡΟΚΛΈ. ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἔμφραγμα γίνεται ὅταν τὸ ἐπὶ τῆς κοιλίας τοῦ πόρου ἔντερον ἐπίστρεψιν λάβῃ, καὶ τὰ ἐν αὐτῷ ἐγκείμενα, μὴ ἔχῃ τὴν διέξοδον. τὴν οὐρήθραν δὲ ἀνατεταμένην ἔχει, καὶ τοὺς μυκτῆρας διεστῶτας, καὶ τῷ ποδὶ τύπτῃ τὴν γῆν, καὶ ἐπιστρέφηται ἐπὶ τὴν κοιλίαν καὶ τὰ κόπρια ὀσφραίνηται ἱδροῦντές τε περὶ τὰς μασχάλας γίγνωνται, καὶ τρόμοι ἐνίοτε περὶ τοὺς ὤμους, καὶ ὡς οὐρητιῶν μᾶλλον ἐμφαίνῃ αἰδοῖον, καὶ κυλίεσθαι βούληται. θεραπεύεται δὲ ἐγχυματιζόμενος οἴνου καὶ ἐλαίου, κοτύλαις β, καὶ περιπάτῳ χρώμενος πλείονι, ἢ ὀποπάνακα τρίψας, καὶ μετὰ σελίνου ἐν οἴνῳ λευκῷ ἐπιχέας οἶνον τεταρτημόριον, ἐγχυμάτιζε διὰ μυκτῆρος τοῦ εὐωνύμου. χόρτος δὲ

ΠΕΛΑΓΩΝΙΟΥ ΠΡΟΣ ΤΟΥΣ αἷμα ἀπουροῦντας, ἢ διὰ μυκτήρων ἀνάγοντας, ἢ ἐμοῦντας, ἢ ἀπὸ φλεβοτομίας ὑπεραίμους γινομένους.

Πελαγώνιος Ἀρσίππῳ ἰδίῳ χαίρειν. πολλάκις καὶ ὑγιαίνοντας ἵππους πλῆθος αἵματος βλάπτει. δῆλον γὰρ ὡς ὁ τούτου πλεονασμὸς δι' οὐ δέοντος ἀποῤῥήγνυται τόπου, ὅπερ ἵνα μὴ τοῖς ἵπποις ἐπισυμβαίνῃ παραφυλάξομεν. πολλάκις δὲ καὶ ταλαιπωροτέρου ἵππου τὸ οὖρον αἷμα εὑρίσκεται, ἀλλὰ τοῦτο τοῖς ἀσθενεστέροις, ἢ καὶ ἐκ μακρᾶς ὁδοῦ, ἢ ἐκ πολλοῦ βάρους ἐπιγίνεται, ἢ ἐκ πολλῆς πιμελῆς. χρὴ οὖν θεραπεύειν οὕτως αἷμα ἐκ τῆς γαστρὸς λάμβανε, καὶ προπότιζε γάλακτι αἰγείῳ, καὶ ἀμύλῳ καὶ τρισὶν ᾠοῖς, καὶ χυλῷ βοτάνης περδικίου. τοῦτο δὲ ποίει ἐπὶ τῶν ἄγαν λιπαρῶν. τοὺς δὲ λεπτοὺς δίχα τῆς ἀφαιμάξεως περιόδευε. οὐ γὰρ συμβάλλεται αὐτοῖς ἡ τοῦ αἵματος ἀφαίρεσις.

Προπότισμα πρὸς τὰ τοιαῦτα πάθη.

Προποτίσμασι δὲ πρὸς τὰ τοιαῦτα πάθη τοῖς δὲ χρήσῃ, τραγακάνθης οἴνῳ ἀποβεβρεγμένης γο̄ τὸ ἥμισυ, ὀπίου γρά. δ, στύρακος τὸ ἴσον, στροβίλια ἀριθμῷ ιβ, ταῦτα πάντα λειώσας, καὶ ποιήσας καρύου ποντικοῦ μέγεθος μετὰ οἴνου ξε. ἑνὸς διὰ κέρατος ἔγχει ἐπὶ ἡμέρας ἑπτά. τοῦτο δὲ καὶ ἀνθρώποις ἐστὶν ἐπωφελὲς εἴγε κυάμου μέγεθος εἰς ᾠὸν δώσεις.

Ἄλλο.

Πράσου χυλὸν μετὰ οἰνομέλιτος, καὶ ᾠοῦ εἰς τὸν λαιμὸν ἔμβαλλε προσμίσγων καὶ στακτὴν ὀλίγην. Ἄλλο.

Αἷμα πρῶτον ἀπὸ τοῦ οὐρανίσκου λάμβανε, εἶτα ἀσφοδέλου ῥίζαν εἰς οἴνου γλυκέος ξε. β΄, λείωσον, καὶ λαβὼν ἄλευρα σίτινα σῆσον ἐπιμελῶς, εἶτα ῥοῦ συριακὴν εἰς ὕδωρ ἕψησον ἐπὶ πολὺ, καὶ ταῦτα συμμίξας, διὰ τοῦ στόματος ἔγχει. μὴ πολλὰ δὲ περιπατείτω. πρὸ δέ γε πάντων, τὴν γαστέρα αὐτοῦ ὕδατι καὶ νίτρῳ, καὶ τὰς κριθὰς ὁμοίως κατάβρεχε.

Ἄλλο.

Ἐὰν αἷμα διὰ τῶν μυκτήρων φέρῃ, ἐπέχειν αὐτὸ χρὴ προσφυ-

ματισμῷ διὰ τοῦ στόματος. ἀσφοδέλου ῥίζη τετριμμένη μετὰ οἴνου γλυκέος λευκοῦ κοτύλαις δυσί. ἵνα δὲ ᾖ ὑγρὸν τὸ ἔγχυμα. μετὰ δὲ ταῦτα ἄλευρα πύριμα καθαρὰ μετὰ στέατος ὑείου, καὶ ῥόας ἐν ὕδατι πολλῷ χρόνον ἑψήσαντας, μὴ παχὺ τὸ ἕψημα, ὡσαύτως εἰς τὸ στόμα ἐγχεῖν. περιπάτοις δὲ συντόνοις καὶ τροχασμοῖς περιφέρειν, καὶ τὴν κοιλίαν ὑγροτέραν ποιεῖν, ποτίζοντας τὸ νίτρον καὶ τὰς κριθὰς καταῤῥαίνοντας αὐτῷ καὶ τὸν χόρτον καὶ μὴ ῥιγούτω. ὅταν δὲ ᾖ φερόμενον διὰ τῶν μυκτήρων βοηθοῦντες καταντλούμενοι τὴν κεφαλὴν ψυχρῷ ὕδατι ἅλας ἔχοντι μὴ πολὺ, ἔστω δὲ τὸ ὕδωρ ὡς ὅτι ψυχρότατον.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Οἱ δὲ αἷμα διὰ τῶν ἕδρας ἀποκρίνοντες, καὶ τὰ ἐρύθρας ἑτέρων σημείων εἰς τὴν γνῶσιν τοῦ πάθους, δῆλον ὡς οὐ προσδέονται δεικνύντες τῷ αἵματι ὃ πάσχουσι. τοῖς δὲ ἴασις, διὰ τῆς ὑστερώας ἀφαιρέισθω αἷμα, καὶ ἐγχυματιζέσθωσαν ἀσφοδέλου ῥίζην τετριμμένην μετὰ οἴνου γλυκέος κοτυλῶν δύο. ἵνα δὲ ὑγρὸν ᾖ τὸ ἔγχυμα. μετὰ δὲ ταῦτα ἄλευρα πύρινα καθαρὰ μετὰ στέατος χοιρείου καὶ ῥόας ἐν ὕδατι ἐπιπλεῖον ἑψηθέντα, ἐγχυματιζέσθωσαν διὰ τοῦ στόματος, μὴ παχέος ὄντος τοῦ ἐγχυματισμοῦ. περιπάτον δὲ σύντονον χρὴ παραλαμβάνειν. τῷ δὲ νίτρῳ καὶ τὰς κριθὰς καταῤῥαίνειν, καὶ τὸν χόρτον ἐπιμελεῖσθαί τε ὅπως μὴ ῥιγῶσιν. ὅταν δὲ διὰ μυκτήρων αἷμα φέρηται, καταντλεῖν δεῖ τὴν κεφαλὴν ὕδατι ψυχρῷ, ἅλας ἔχοντι μὴ πολύ. χρῆσθαι δὲ τῷ ὕδατι ψυχρῷ.

ἈΝΑΤΟΛΊΟΥ ΠΡῸΣ

τοὺς αἷμα ἀπουροῦντας.

Ἐρέγμω κεκαθαρμένῳ ἑφθῷ, στέατος ἐλαφείου μιχθέντος καὶ ὀλίγου οἴνου. ἐπὶ ἡμέραις τρισὶ διὰ τοῦ στόματος ἐγχυμάτιζε, ἢ γάλακτος αἰγείου κοτύλην μίαν, καὶ ἀμύλου ὅσον ὠῶν τριῶν πλῆθος ἐλαίου γο γ̄, μίξας διὰ κέρατος ἐγχυμάτισον.

Πελαγωνίου

ἌΛΛΟ ΘΕΟΜΝΉΣΤΟΥ.

Αἱ τερηδόνες καὶ τὰ θηρία, σκώληκές εἰσι λευκοὶ τῇ κοιλίᾳ καὶ τοῖς ἐντέροις ἐντικτόμενοι. ταῦτα δὲ σημεῖα ποιοῦσιν οἱ ὑπ' αὐτῶν ὀχλούμενοι ἵπποι. τρίβουσι τὴν οὐρὰν, καὶ τὸν σφιγκτῆρα παρὰ τοὺς τοίχους. θεραπεία δὲ αὐτῶν ἥδε. τὰ μὲν φαινόμενα, ἐκκομίζεσθαι διὰ τῆς χειρὸς ἐναλειφομένης ἐλαίῳ, εἶτα καθαρθὲν τὸ ζῶον ἐγχυματίζειν ὀποπάνακα, μετ' οἰνελαίου. ἔπειτα κόψας ὀρίγανον, καὶ ψύλλιον ἅλατί τε συμμίξας ἐπίχυσον εἰς πλάκα, καὶ τοῦτο ποίει φαγεῖν μετὰ δὲ κέραβος καὶ ἅλας κωλυόμενον δίδοσθαι.

ἌΛΛΟ ΠΕΛΑΓΩΝΊΟΥ.

Συνάγει ἑαυτὸν ἐν παντὶ σώματι, φρίττει τὰ πολλά. λαβὼν οὖν χαμαιλέοντος ῥίζαν, ἕψησον καὶ ἀποτείτωσον, καὶ ταύτην μετὰ ὀποπάνακος γο β, καὶ οἴνου ξε. α, μίξας διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔγχει.

Τερηδόνων πρόγνωσις καὶ ἴασις

ἐξαπίνης ἀναστὰς ῥέγχει, ἢ κάθηται, ἢ ἀνακλινθείς. κέχηνε. λαβὼν τῶν σκορόδων κυπρίων. εἰ δὲ μὴ, γῆς ἐντέρων δραχμὴν ά, ῥίψας ἐν ὄξει ὅσον κοτύλην εἰς τοὺς μυκτῆρας ἔγχει.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΑἽΜΑΤΟΣ ΔΙᾺ ΤΗ͂Σ ἝΔΡΑΣ ἘΚΦΕΡΟΜΈΝΟΥ.

ΚΕΦΆΛΑΙΟΝ ΜΒ.

Ἄψυρτος στατυλίῳ στεφάνῳ ἰατρῷ χαίρειν. ἔγραψάς μοι ἐπερωτῶν, πῶς δεῖ βοηθεῖσθαι τῶν ἵππων τοὺς αἷμα ἀποκρίνοντας διὰ τῆς ἕδρας καὶ τῆς οὐρήσεως. θεραπεύονται δὲ οὕτω αἵματος ἀφαιρέσει ἐκ τῆς ὑπερῴας, καὶ ἐγχυματισμῷ

ΠΕΡΙ ΤΕΡΗΔΟΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ.

Τὸ τῶν τερηδόνων γένος ἐστὶν, οἱ σκώληκες οἱ γινόμενοι ἐν τοῖς ἐντέροις ἐν τῇ κοιλίᾳ, οἵτινες ἐν τοῖς κοπρίοις ἀφοδευόμενοι, ἐμπλέκονται τῇ ἐκστροφῇ τοῦ σφιγκτῆρος, καὶ πρόσκεινται. σημεῖα δὲ ἐστὶ τάδε. προστρίβειν τὴν οὐρὰν, καὶ τὴν ἕδραν πρὸς τὴν φάτνην καὶ τοὺς τοίχους. δεῖ οὖν καθιέναι τὴν χεῖρα, καὶ ἀφαιρεῖν, καὶ κονίαν ὑπὸ τῆς ἑστίας ἐμπάσσειν ὅταν ἀφοδεύῃ. οὐκ ἔχει δὲ κίνδυνον ἐν τούτῳ. συμβαίνει δὲ καὶ ταῖς ἐλάφοις ἐγγίνεσθαι τοὺς σκώληκας ἐν τῇ κοιλίᾳ, καὶ μηρυκομένων αὐτῶν ἀναφέρεσθαι, καὶ ἐμπλέκεσθαι αὐτοὺς εἰς τὸν βράγχον καὶ μένειν. καὶ οὐχ ἕστηκεν ἐν ἑνὶ τόπῳ, ἀλλὰ περιτρέχει. ἐπινενόηται δὲ τῷ ζώῳ τί ποιοῦσιν, τρώγειν τὰ ἑρπετὰ θηρία, καὶ θεραπεύεσθαι οὕτως.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Γίγνονται τερηδόνες καλούμεναι ἐν τοῖς ἐντέροις, καὶ τῇ κοιλίᾳ. εἰσὶ δὲ σκώληκες οἱ σὺν τῇ κόπρῳ ἀπατόμενοι ἐμπλέκονται κατὰ τὴν ἔκκρισιν τῆς ἕδρας. σημεῖα δὲ τούτου τὸ προστρίβειν τὴν ἕδραν, καὶ τὴν κέρκον πρὸς τὴν φάτνην καὶ τοὺς τοίχους. βοηθεῖσθαι οὖν καθιέντος τὴν χεῖρα τινὸς καὶ ἐξαίροντος, καὶ κονίαν τὴν ἀπὸ τῆς ἑστίας ἐμπάσσοντος, ἢ ἅλας λεπτόν.

ΕὙΜΉΛΟΥ ΕἸΣ

τὸ αὐτό.

Ἐὰν τερηδόνας, τουτέστι λεπτοὺς σκώληκας ἔχῃ, φθείρεται πᾶν τὸ σῶμα, καὶ κνησμοὺς ἔχει. χαμαιλέοντος οὖν ῥίζαν εἰς ὕδωρ ἀποτειτώσας καὶ μίξας ὀποπάνακος γο β´, καὶ οἴνου ξέστου τὸ ἥμισυ, διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔμβαλε.

Ἄλλο

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ
σπληνὸς πόνον.

Κυμίνου σπέρματος ὀξύβαφον, καὶ μέλιτος τὸ ἴσον, λασάρου κυάμου μέγεθος, ὄξους κοτύλην μίαν, εἰς ὕδατος ξε. τρεῖς, λύσας ἀφ' ἑσπέρας, ἔμβαλε διὰ στόματος. διὰ δὲ τῆς νυκτὸς ῥοφήματος ἀπεχέσθω. εἰ δὲ τοῦτο μὴ ὠφελήσῃ, τὸ ἀριστερὸν πλευρὸν πλησίον τῆς τελευταίας σπάθης, μῆκος ὡς τεσσάρων δακτύλων, ἔγκαιε μὴ πλέον δακτύλου τὸ βάθος. τὰ δὲ ἀπὸ τοῦ καυτῆρος ἕλκη θεράπευε ὡς προείρηται.

ΘΕΟΜΝΉΣΤΟΥ ΠΡῸΣ ΣΠΛΗ-
νικοὺς καὶ ὥσπερ ἐσκιῤῥωμένοι.

Καππάρεως ῥίζης φλοιὸν μεθ' ὕδατος ξεστῶν κϛ', καὶ ὄξους ξέστου ἑνός. ἕψει ἕως εἰς ἐλάχιστον ἔλθῃ καὶ δίδου δυσπέπτῳ ὄντι.

Ἄλλο.

Ἀπὸ τῶν ὤμων ἀφαιμασσέσθω, κριθῶν ἀπεχέσθω. ὥστε αὐτῷ λεπτότερον τὸ σῶμα γίνεσθαι. ποίει δὲ καὶ προπότισμα τοιοῦτον, σκόροδον νίτρον. πράσιον λελειωμένον μετὰ ἀψινθίου καὶ οἴνου αὐστηροῦ συμμίξας διὰ κέρατος ἐγχυμάτισον, καὶ ποίει περιπατεῖν. τὸ πρωῒ δὲ σπόγγοις μετὰ χλιαροῦ ὕδατος θαλπέσθω, καὶ πεπιλημέναις χερσὶν ἀνατριβέσθω. εἰ δὲ ὁ τῆς γαστρὸς ὄγκος ἐπιμένοι, καυτηριάζειν προσήκει μετὰ τρεῖς ἡμέρας ἑκατέρωθεν ἀνὰ τρεῖς δακτύλους ἐπιμετροῦντα, καὶ παραφυλαττόμενον ἐπιμελῶς τοῦ μὴ φλέβα καῦσαι.

Περὶ σπληνὸς πρόγνωσις καὶ ἴασις.

Ἐὰν περὶ τὸν σπλῆνα ᾖ τὸ πάθος, ἥτε γαστὴρ μεγάλη γίνεται, καὶ στερεὰ σφόδρα, καὶ ὀδυνᾶται. ἐὰν δὲ βούλῃ βοηθεῖν, λαβὼν καυτήριον διάπυρον παλαιστὴν ἀποστήσας ἀπὸ τῆς σφαίρας, καῦσον ἐξ ἀμφοτέρων τῶν πλευρῶν. ἔστι δὲ ὁ τόπος ὃ περιγνίζομεν. τὸ μὲν οὖν πρῶτον καῦμα ἔσω γὰρ τοῦ προειρημένου τόπου. ἕτερον δὲ ἔμβαλε ἀποστήσας τοῦ προτέρου ὡς τρεῖς δακτύλους. ὅταν δὲ καύσῃς ὡς προείρηται θεράπευε τὸ ἕλκος τῷ προειρημένῳ φαρμάκῳ.

ΠΕΡῚ ΣΠΛΗΝΌΣ.

ΚΕΦΆΛΑΙΟΝ Μ.

Ἄψυρτος Ἡμερίῳ ἱππιάτρῳ χαίρειν. τὸν σπληνιῶντα ἐπιγνώσῃ ἐκ τοῦ μεγάλην ἔχειν τὴν γαστέρα κατὰ τὸ εὐώνυμον μέρος, καὶ σκληροτέραν, καὶ πνευστιᾷ πυκνότερον. θεραπεύεται δὲ περιπάτοις πλείοσι καὶ δρόμοις ἐκ προαγωγῆς, ἵνα ἱδρῶτες γίνωνται, καὶ ἐγχυματιζόμενος διὰ τοῦ ἀριστεροῦ μυκτῆρος μυροβαλάνου ἀποπιέσματι, τριβέντος μετὰ ὀξυκράτου, ἢ μυρίκης καρπῷ κοπέντι μετὰ ὀξυκράτου, ἢ χαμαιλαίᾳ τετριμμένῃ μετὰ οἴνου. ἔστω δὲ τὸ πᾶν, κοτύλη. καὶ τοῦτο δὲ γινέσθω ἐπὶ πλείονας ἡμέρας. ἔστι γὰρ δυσθεράπευτον τὸ πάθος. ποτίζων δὲ αὐτὸν, νίτρον βάλλε εἰς τὸ ὕδωρ. καὶ τὸν χόρτον δὲ καὶ τὰς κριθὰς αὐτοῦ κατάῤῥαινε, ἔνιοι μέντοι ἀντὶ τοῦ νίτρου στυπτηρίαν ἐμβάλλουσι τῷ ποτῷ. λέγεται δὲ ὑπό τινων καίειν αὐτόν. ἡμῖν δὲ οὐκ ἀρέσκει, θυρεοειδοῦς γὰρ ὑπάρχοντος τοῦ τόπου, ὑποτρέχει τὸ καυτήριον.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Τὸν σπληνιῶντα ἐπιγνώσῃ, τῷ διογκοῦσθαι τὴν γαστέρα κατὰ τὸ εὐώνυμον μέρος, καὶ σκληροτέραν εἶναι, πνευστιᾶν τε συνεχέστερον καὶ ἐσθίειν πολλά. θεραπεύειν δὲ περιπάτοις καὶ δρόμοις ἐκ προαγωγῆς πλείοσιν, ὡς ἱδρῶτα κινεῖσθαι, ἐγχυματίζειν τε διὰ τοῦ ἀριστεροῦ μυκτῆρος μυροβαλάνῳ ἀποπιεσθέντι καὶ τριφθέντι μετὰ ὀξυκράτου, ἢ χαμελαίᾳ τετριμμένῃ μετὰ οἴνου. ἔστω δὲ τὸ πᾶν κοτύλη. καὶ τοῦτο δὲ γινέσθω ἐπὶ πλείονας ἡμέρας. ἔστι γὰρ δυσθεράπευτον τὸ πάθος. ποτίζων δὲ αὐτὸν νίτρον βάλλε εἰς τὸ ὕδωρ. καὶ τὸν χόρτον δὲ καὶ τὰς κριθὰς αὐτοῦ κατάῤῥαινε. ἔνιοι μέντοι ἀντὶ τοῦ νίτρου στυπτηρίαν ἐμβάλλουσι τῷ ποτῷ. τὴν δὲ διὰ τῆς καύσεως θεραπείαν Ἄψυρτος ἀποδοκιμάζει.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Δυσεντεριῶντος δὲ ἵππου ἐκτροπὴ γίνεται τῆς ἕδρας καὶ πρόπτωσις, ἣν δεῖ θεραπεύειν ὥς φησιν Ἄψυρτος περιτέμνοντα τὸ ἔξωθεν, καὶ οἱονεὶ περιττόν, καὶ προσέχοντα μὴ τοῦ σφιγκτῆρος περιτέμῃ τι. οὐκ ἔτι γὰρ δύναται εἰς τὸ ἐντὸς ἐπιστρέφειν ἡ ἕδρα, ἀλλὰ μένει ἀνεῳγυῖα, καὶ ἀπὸ τούτου ἀποθνήσκει. μετὰ δὲ τὸ χειρουργηθῆναι αὐτόν, χρὴ σιδίοις ἀφηψημένοις ἐν ὀξυκράτῳ διὰ στόματος ἐγχυματίζειν, ἢ κηκῖδας κόψαντα καὶ σείσαντα καὶ φυράσαντα ὀξυκράτῳ, καὶ μᾶζαν ποιήσαντα διὰ στόματος καθεῖναι, καὶ παραβάλλειν κιττοῦ πέταλα, μίσγοντα ταῖς κριθαῖς. ἔστω δὲ λεπτὰ διῃρημένα μαχαιρίῳ, ἢ τοιούτῳ τινί. δεῖ δὲ εἰδέναι ὅτι ἧττον τοῦτο ἵππῳ συμβαίνει. μάλιστα δὲ ὄνῳ καὶ ἡμιόνῳ.

ΠΡῸΣ ΚΩΛΙΚΟῪΣ

καὶ δυσεντερικούς, καὶ στροφουμένους
καὶ ἡπατικοὺς καὶ δυσουρίᾳ κα-
τεχομένους καὶ φαλαγ-
γιοδήκτους καὶ λυσ-
σοδήκτους τρο-
χίσκος.

Κρόκου γο̄ ᾱ, σμύρνης γο̄ β̄, ἀνθοὺς ἀβροτόνου γο̄ δ̄, πετροσελίνου γο̄ ᾱ, πηγάνου ἡμέρου γο̄ δ̄, πυρέθρου γο̄ β̄, ὑσσώπου γο̄ β̄, κασίας γο̄ ᾱ, ταῦτα κόψας καὶ σήσας ἀνάλαβε ὄξει δριμεῖ, ἕως ἂν ἡ μᾶζα διατριβῇ, καὶ οὕτως δι-
άπλασσε τροχίσκους γραμμιαίους, καὶ ψύξας ἐν σκιᾷ, καὶ
μετὰ χυλοῦ πτισάνης λεάνας, δίδου κωλικοῖς
καὶ δυσεντερικοῖς. στροφουμένοις δὲ καὶ
δυσουροῦσι καὶ ἡπατικοῖς, μεθ' ὕδα-
τος θερμοῦ κοτυλῶν β̄, σκορ-
πιοπλήκτοις δὲ καὶ φα-
λαγγιοδήκτοις καὶ
λυσσοδήκτοις
μετὰ οἴνου
ἀκράτου.

προγεγραμμένων. Ἄλλο.

Ἁρμόζει δὲ τυμπανικῷ θερμὴν ἀποσιὰν μετὰ ἀξουγγίου εἰς ῥάκος ἢ ὀθόνιον ἐπιπλασθεῖσαν ἐπὶ τῆς γαστρός, ἤτοι τοῦ ὀμφαλοῦ προσεγγεχθῆναι. κατέχεσθαι δὲ παρὰ πλειόνων ἀνθρώπων ὀφείλει, μήποτε ἀντιμαχόμενος ἑαυτῷ σκυλμὸν ὑπομένῃ. τὸ δὲ λοιπὸν χρὴ πανακίας ῥίζαν μετὰ σεσέλεως γαλλικοῦ λειωθεῖσαν, συγκραθέντος οἴνου καὶ ἐλαίου χλιαίνειν καὶ διὰ κέρατος διδόναι. Ἄλλο.

Θύμου ἀγρίου, κυμίνου σπέρματος, μέλιτος ὀξύβαφον, λασάρου ὅσον κυάμου τὸ μέγεθος, ὄξους κοτύλην μίαν, εἰς ὕδατος ξέστας τρεῖς, ἐμβαλὼν καὶ λειώσας, διὰ στόματος ἔγχει. διὰ δὲ τῆς νυκτὸς, ἀπεχέσθω τροφῆς. εἰ δὲ τοῦτο μὴ ὠφελήσει, εἰς τὸ ἀριστερὸν μέρος, πλησίον τῆς τελευταίας πλευρᾶς, μῆκος ὡς δακτύλων τεσσάρων ἔγκαυσον, μὴ πλέον δακτύλου τὸ βάθος, τὸν δὲ καυθέντα τόπον θεραπεύσεις ὡς εἴρηται.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΔΥΣΕΝΤΕΡΊΑΣ.

ΚΕΦΆΛΑΙΟΝ ΛΘ.

Ἄψυρτος χαιρέᾳ ἀλεξανδρεῖ. δυσεντεριῶδες τοῦ ἵππου, ἐκτροπὴ γίνεται καὶ πρόπτωσις τοῦ πρὸς τὴν ἕδραν ἐντέρου, ἣν δεῖ θεραπεύειν περιτέμνοντα καὶ προσέχοντα μὴ τοῦ σφιγκτῆρος περιτέμῃ τι. οὐκέτι γὰρ δύναται εἰς τὸ ἐντὸς ἐπιστρέφειν, ἀλλὰ μένει ἀνεῳγμένος, καὶ προπίπτει τὸ ἔντερον τὸ προσκείμενον τῇ ἕδρᾳ, οὗ συμβεβηκότος ζῆν οὐ δύναται. μετὰ δὲ τὸ χειρίζειν. ἐγχυματίζειν δεῖ σιδίοις ἑψημένοις ἐν ὀξυκράτῳ πλήθει κοτύλης διὰ στόματος, ἢ κηκίδα κόψαντα. καὶ σείσαντα, καὶ φυράσαντα ἐν ὀξυκράτῳ ποιήσαντα μάζας, καθιέναι διὰ τοῦ στόματος, καὶ παραβάλλειν κιττοῦ πέταλα μιγνύντα ταῖς κριθαῖς. ἔσω δὲ λεπτὰ κεκομμένα μαχαίρᾳ, ἢ τοιούτῳ τινί συμβαίνει δὲ τοῦτο ἵππῳ. οὐχ οὕτως δὲ ὄνῳ καὶ ἡμιόνῳ.

Ἱεροκλῆ.

καὶ γυμναζόμενος, πταίρει τε συνεχῶς, καὶ τὴν κεφαλὴν ὑπὸ τῶν πόνων ὧδε κἀκεῖ μεταφέρει. ἔστι δὲ τῶν τυμπανικῶν, ἄλλα σημεῖα ταῦτα. ἡ μὲν κοιλία αὔξεται. ἡ δὲ χαίτη καὶ ὁ σπόνδυλος ὀρθοῦνται, καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῇ διαστάσει καὶ φλεγμονῇ τῶν ἐντέρων τῇ τῶν ἀφοδευμάτων παρόδῳ διασπᾶται, οἷς ἐπωφελῆ τὰ παρ' ἡμῶν ὑποδεικνύμενα τυγχάνει, ἀπὸ τοῦ ὀμφαλοῦ ὡς ἐπὶ τὸ στῆθος ἀπὸ δακτύλων δύο κατευθὺ μὴ ἐπὶ τὸ πλευρὸν παρακέντησον, καὶ αὐλίσκον ἔμβαλε, δι' οὗ ὁ ἰχὼρ διαφορηθείη, ἢ τὸ ὕδωρ τὸ ποιοῦν τὸν ὕδερον. ἐξελεῖν δὲ τὸν ἰχῶρα ὀφείλεις ὡς ὅλην ξεστῶν τεσσάρων. εἰ δὲ ἔτι οἰδαίνει, πλεῖον λάμβανε. ἐπὶ τοσοῦτον δὲ τὸ ζῷον καταδεσμείσθω, ἐφόσον καὶ ἐκοπώθη. προποτίσμασι δὲ κέχρησο διουρητικῶν καὶ συνεχέστερον ἀποτριβέσθω. ἕως οὗ καὶ ἱδρὼς αὐτοῦ ἐπιγένηται. ἡ τροφὴ δὲ αὐτοῦ, χλωρὸς ἔστω χόρτος, ἢ ἐρέβινθοι ἀποβεβρεγμένοι, καὶ ἀπὸ ποταμοῦ πινέτω διὰ τὸ γεγυμνάσθαι τὸ ὕδωρ, ἢ καὶ ἀποβρέγματι ἐρεβίνθων περιχριέσθω, καὶ ἀναπατοῦντος αὐτοῦ καλαβρικοῖς τὰ σκέλη ποιεῖ καταδεσμεῖσθαι. λέγουσι δέ τινες συμβάλλεσθαι τοῖς τοιούτοις ἵπποις τὸ συνεχέστερον περὶ τὰ μυρεψεῖα ἀναπατεῖν, διὰ τὸ τὴν τῶν ὀσμῶν διαφορὰν ἀνεπαισθήτως τῷ πνεύμονι συμβάλλεσθαι, ἔστι δὲ τοῖς τοιούτοις καὶ προπότισμα ἐπιτηδειότατον, πετροσέλινον μετὰ οἴνου λελειωμένον, ἢ ῥοιὰ μετὰ οἴνου κεκομμένη. καὶ σέλινον δὲ ὅσον δύναται βοσκέτω.

Πασίλους ἀπὸ μέλιτος καὶ βουτύρου ποιήσας εἰς ἴγδιν μετ' ἐλαίου κυάθου ἑνὸς λείου, καὶ μετὰ οἴνου ξε. ας΄. διὰ στόματος ἐγχυμάτιζε, ἢ ἀσπαράγου ἀγρίου ῥίζης γο β, μετὰ οἴνου παλαιοῦ ξε. ας. καθεψήσας ἕως ἀποτριτωθῇ, διὰ κέρατος δίδου ἢ πάνακος ῥίζης γο τὸ ἥμισυ λειώσας μετὰ οἴνου ἐγχυμάτιζε. συμβάλλεται δὲ αὐτῷ καὶ τὸ ὀλίγα πίνειν, ὥστε μᾶλλον διψᾶν.

ΤΙΒΕΡΊΟΥ ΠΡῸΣ ΤΥΜΠΑΝΙΚΟΎΣ

Πρὸς δὲ τοὺς τετυμπανωμένους, χρήσει οὕτως κολοκυνθῶν ἀκρέμονας ἀποζέσας, ἐγχυμάτιζε διὰ τοῦ στόματος. ἀναγκαῖον δὲ καὶ ῥαφανίου τὸν χυλὸν ἐγχυματίζειν διὰ ῥινῶν, ἐὰν ᾖ ἀκμάζων ὁ καρπός. κάλλιον δὲ εἰ τῷ σπέρματι χρήσει τοῦ

αὐτὸ τὸ δέρμα ἀπόδυσον, καὶ ἔα δεδεμένον ἕως ἂν αὐτομάτως ἀπολύσῃ. ἀρχόμενον δὲ τὸ πάθος ἂν μάθῃς, καὶ τοῖς λοιποῖς ἐξαρκέσει χρῆσθαι, χωρὶς τοῦ διελεῖν τὸ περὶ τὸν ὀμφαλόν.

Ἄλλο εἰς τὸ αὐτό.

Ἐὰν ὑπὸ τὸ δέρμα ἔχῃ ὕδερον, συμποδίσας ἀνάκλινε, καὶ ἀπὸ τοῦ ὀμφαλοῦ διαστὰς ὅσον δακτύλους τρεῖς, τὸ δέρμα σχάσον προσέχων. καὶ ὅταν τὸ ὑγρὸν ἐκλυθῇ, θεράπευε τότε ἀρκούσαις θεραπείαις τὸ τραῦμα, καίων κύκλῳ καθόλου ἀφιστάνων ἀπ᾽ ἀλλήλων τὰ καυτήρια, μήποτε ἐντέρου ἅψῃ, καὶ περὶ πλευρὰν αὐτοῦ νύξας, ἄφες ἀπορρεῖν, καὶ λεπτῷ βελονίῳ νύξον.

Ἄλλο.

Ἐὰν ὑδρωπικὸν ᾖ τὸ κτῆνος, οὕτως θεραπευθήσεται, δίδου αὐτῷ πόσιν σινήπεως σπέρματος κυάθους τρεῖς, γάλακτος κοτύλην μίαν, ἐλαίου κυάθους τρεῖς. εἰ δὲ τοῦτο μηδὲν ὠφελήσῃ, ἀσπαράγου ἀγρίου ῥίζης, μαράθρου, σελίνου, ἀνὰ οὐγγιῶν δύο βαλὼν εἰς χυτρίδιον, καὶ ἐλαίου παλαιοῦ ξέ. ια΄ συνεψήσας, ὥστε γενέσθαι αὐτὰ ξέ. α΄ ἐγχυμάτιζε, ἢ πάνακος ῥίζης γο΄ ἐξ συντρίψας, πότισον.

Ἄλλο.

Ἄγρωστιν καθεψήσας, δίδου τοῖς ὑδεριῶσιν ἵπποις νήστεσι πίνειν, ἢ ταύρου βόλβιτον καύσας, καὶ σταφυλίνου σπέρμα μίξας, λειώσας ἐν ὕδατι ἐγχυμάτιζε.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΕΡῚ ὙΔΕριῶντος καὶ τυμπανικοῦ.

Ἵππου συνεχέστερον ὑπὸ ὑδέρου ὀχλεῖσθαι συμβαίνει, καὶ ἐν τούτῳ χρονίζοντας τῷ πάθει κάμνειν. οὐ πᾶσι δὲ γνώριμον ὑπάρχει, καὶ πολλοὶ περὶ τοῦτο τὸ μέρος ὡς ἐπὶ τὸ πλεῖστον ἀπατῶνται. τοὺς γὰρ ὑδεριῶντας, ἢ πλησμονὴν σαρκῶν, ἢ πνεύματος ὄχλησιν ἔχειν ὑπολαμβάνουσιν. καὶ γὰρ ἐπὶ τῶν σπληνικῶν τὴν τῆς γαστρὸς οἴδησιν, φυσικὴν ὑποτοπάζουσιν αὔξησιν. τῶν δὲ ὑδεριώντων σημεῖα ἐστὶ τάδε, ἡ γαστὴρ μετὰ σκληρίας φλεγμαίνει, τὰ σκέλη ᾠδηκότα φαίνεται, ὁ τοιοῦτος ἐλαυνόμενος, περικάμπτειν οὐ δύναται, ἀλλὰ θερμαινόμενος στενοχωρεῖται περὶ τὸ πνεῦμα, καὶ περιπατεῖ δυσχερέστερον. ὁ δὲ σπληνικὸς ἀνεπαισθήτως τὴν κοιλίαν αὐξανομένην ἔχει.

καὶ γυμ-

καὶ ἐντιθέναι καλαμίσκον, δι' οὗ ῥύσις γίνεται τοῦ ὑγροῦ. ὅταν δὲ ἀποῤῥυῇ, ἀρτηριάζεσθαι καὶ θεραπεύεσθαι ὡς τραῦμα. ἔστω δὲ ἡ διαίρεσις μὴ μεγάλη, ἵνα μὴ ὁ ἐπίπλους ἀκολουθήσῃ. γενομένου δὲ ὑγιοῦς τοῦ τραύματος, ποιεῖν αὐτὸν μᾶλλον τρέχειν ἵν' ἐπὶ τὸ πλεῖον ἱδρῶτες γίνωνται. ἐμποδίζειν δὲ αὐτὸν πίνοντα ἐπὶ πλεῖον, ἵνα μὴ οἱ κενεῶνες πληρωθῶσιν.

ΙΕΡΟΚΛΕΟΥΣ

εἰς τὸ αὐτό.

Συμβαίνει ποτὲ περίχυσις τῷ ζώῳ καὶ ὑδερίασις, ὧν τὰ δὲ σημεῖα, μεγάλην ἔχει τὴν γαστέρα, καὶ τὰ σκέλη διῳδηκότα, καὶ τοὺς ὀφθαλμοὺς μηλόχροας, ὥσ φασιν ἔνιοι, καὶ τοὺς ὄρχεις οἰδοῦντας, τὰ δὲ γόνατα τῶν ἐμπροσθίων ποδῶν ξηρὰ, καὶ τοὺς ἀγκῶνας, ῥάχιν τε καὶ ἰσχίον ὡσαύτως, τά τε ὀστᾶ τῶν πλευρῶν φαίνονται, τὰς δὲ ἐν κεφαλῇ φλέβας καὶ ἐν τῷ προσώπῳ ἀδήλους ἔχει. ἔτι μέντοι καὶ τὰς ἐν τῇ γλώττῃ. ἀψαμένῳ δὲ τῇ χειρὶ, εἴκει τὸ σῶμα καὶ ὑποχωρεῖ τοῖς δακτύλοις, αἵ τε τρίχες ἐν τῇ ῥινὶ ῥέουσι, καὶ κατακλιθεὶς ἐπὶ γαστέρα ἀποτείνει ἑαυτὸν, καὶ πλατύνεται. ταῦτα μὲν τὰ σημεῖα. θεραπευέσθω δὲ οὕτως, περιπατείτω ἐν ἡλίῳ ἐκ προαγωγῆς, ἐσκεπασμένος παχεῖ περιβολαίῳ, καὶ τριβέσθω τὸ σῶμα παρὰ τὴν τρίχα, ἐσθιέτω δὲ ῥαφανίδας καὶ τὰ φύλλα αὐτῶν καὶ σέλινα, καὶ πτελέας φύλλα, καὶ ὅσα καθαρτικά εἰσι καὶ διουρητικὰ, χόρτον τε χλωρόν. εἰ δ' οὐκ ἔστι, τὸν ξηρὸν καταῤῥανθέντα νίτρῳ, ἐσθιέτω μάλιστα δὲ μηδικὴν, ἢ ἐρεβίνθους τοὺς μικροὺς, βραχέντας ἐπὶ ἡμέραν καὶ νύκτα παραβάλλειν ἐστραγγισμένου τοῦ ὕδατος. εἰ δὲ μὴ ἐνδιδῷ τὸ πάθος, παρακεντεῖν αὐτὸν παρὰ τὸν ὀμφαλὸν ἀπὸ δακτύλων τεσσάρων τῶν πρὸς τὴν οὐρὰν μερῶν, καὶ ἐντιθέναι καλαμίσκον, τρήσεις ἐκ πλαγίου ἔχοντα χαλκοῦν, δι' οὗ ῥύσις γίνεται τοῦ ὑγροῦ. ὅταν δὲ ἀποῤῥυῇ, ἀρτηριαζέσθω καὶ θεραπευέσθω ὡς τραῦμα. ἔστω δὲ ἡ διαίρεσις μὴ μεγάλη, ἵνα μὴ ὁ ἐπίπλους συνεξακολουθήσῃ. τοῦ δὲ δέρματος ἀπουλωθέντος, ποίει αὐτὸν μᾶλλον τρέχειν, ἵνα ἐπὶ πλεῖον ἱδρῶτες γίνωνται, ἐμπόδιζέ τε πίνοντα, ἵνα μὴ ἀθρόον οἱ κενεῶνες πληρῶνται. ἐὰν δὲ συμβῇ ἐξακολουθῆσαι τὸν ἐπίπλουν, λίνῳ αὐτὸν περὶ

αὐτὸ

Θεραπεία πρὸς ἐντέρων πόνον.

Ἐὰν τὰ ἔντερα αὐτοῦ πονέσῃ, οὕτω θεραπεύσεις, ἱκανά τινα θερμὰ περὶ τὴν κοιλίαν αὐτοῦ ἐντυλίξας καὶ συσφίγξας ποίησον διακινῆσαι. καὶ αἵματος δὲ ἀφαίρεσιν ἐκ τῶν ὀπίσω σου φραγίνων ἱκανὴν ποίει, καὶ ἐν θερμῷ τόπῳ πρόσαγε, καὶ θερμῷ ὕδατι καταίντλει. δίδου δὲ καὶ ἡψημένου ἀλεύρου σιτίνου ὕδωρ πιεῖν, προσμίξας καὶ νίτρου γο̄ β, καὶ ἐλαίου γο̄ α, ἢ σταφυλὴν λαβὼν ἐξ ἀμπέλου, καὶ ἑψήσας μεθ' ὕδατος καὶ ἐλαίου γο̄ ἕξ, εἰς τὸ στόμα αὐτοῦ ἔμβαλε. Ἄλλο.

Σμύρνης γο̄ δ, πεπέρεως λευκοῦ γο̄ α, ὀποπάνακος γο̄ μίαν, ῥητίνης τερεβινθίνης γο̄ β, κηροῦ λίτραν α, τὴν πίσσαν καὶ τὸν κηρὸν προσβαλὼν εἰς χύτραν καινὴν, καὶ τήξας σὺν ὄξει, ὀποπάνακα καὶ στύρακα λειώσας ἐπίχει, καὶ ἔξω τοῦ πυρὸς ἄρας χαλβάνην καὶ τερεβινθίνην, καὶ βδέλλιον μεμαλαγμένον καὶ ἄσφαλτον ἐπιβαλὼν, χρῶ μετὰ καὶ ἀμμωνιακοῦ λελειωμένου.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΧΟΡΔΑΨΟΥ͂.

ΚΕΦΆΛΑΙΟΝ ΛΖ.

Ἄψυρτος ἀσκληπιάδῃ χαίρειν. ἱπποτροφοῦντά σε βούλομαι εἰδέναι πρὸς τοὺς ἀναφέροντας τροφὴν διὰ στόματος καὶ μυκτήρων. λεγομένου δὲ τοῦ πάθους χορδαψοῦ, πίσι δεῖ βοηθήμασι χρῆσθαι, καθιέντα τὴν χεῖρα ἐκθλίψαι τὰ ἀπεσφηνωκότα τοὺς πόρους, καὶ ἐκκλύζειν διὰ μυκτῆρος ὕδατι καὶ ἐλαίῳ καὶ νίτρῳ, ἢ τεύτλου ἀφεψήματι μετὰ νίτρου καὶ ἐλαίου, καὶ λούειν αὐτὸν θερμῷ ὕδατι κατὰ νώτου καὶ τῶν ἰσχίων, εἰς ψυχρὸν δὲ μὴ ἐμβιβάζειν. φαγεῖν δὲ διδόναι χόρτον χλωρὸν, ἢ κριθὰς ἕψοντα καὶ ἄλευρα κρίθινα, ἢ ὀλύρας ἀληλεσμένας καταῤῥαίνοντα ὑδατι νίτρῳ.

ἹΕΡΟΚΛΈ. ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Εἰ τὴν τροφὴν ἀναφέροι διὰ τοῦ στόματος ἢ τοῦ μυκτῆρος,

Βοηθεῖται δὲ περιπάτῳ καὶ δρόμῳ τῷ διὰ κάλπης, καὶ κυλιόμενοι οὐκ ἐμποδίζουσι. γίνεται γὰρ ἐνίοτε ἀναλυθῆναι αὐτό. καὶ ἐγχυματίζουσι δὲ διὰ τοῦ στόματος καὶ τῶν μυκτήρων ὀπῷ κυρηναϊκῷ μετὰ οἴνου γλυκέος. συμβαίνει δὲ τοῦτο τῷ μεγάλῳ ἐντέρῳ ὃ λέγεται μονέντερον. τινὲς δὲ κῶλον λέγουσι, διὰ τὸ μὴ ἔχειν σύνδεσμον τοῖς λοιποῖς ἐντέροις, ἀλλὰ κυλίεσθαι καθ' ἑαυτό, διό καὶ ἦχον ἀποτελεῖ καὶ ψόφον ἐν τῷ περιπάτῳ καὶ δρόμῳ. σημεῖα δὲ φέρει τάδε, περιπατῶν τοῖς ἐμπροσθίοις διαβαίνει μικρά, καὶ τὰ ὀπίσθια προσφέρει αὐτοῖς, καὶ συγκάμπτει ἑαυτὸν ὀδυνώμενος. ἡ δὲ τῶν ἐντέρων φύσις οὐκ ἔστιν ἴση παρὰ πᾶσιν. οἱ μὲν γὰρ ἔχουσιν ἔντερα μεγάλα ποδῶν κβ, λεπτὰ δὲ ποδῶν ξβ, τινὲς δὲ λέγουσι ν, καὶ β, καὶ οὗτοι μὲν ἀφ' οὗ ἂν τὸν καταρτισμὸν φύσωσιν. ὁ δὲ τούτων νεώτερος ἐλάσσων καθ' ἡλικίαν.

ΙΕΡΟΚΛΕ. ΕΙΣ ΤΟ ΑΥΤΟ.

Συμβαίνει ἐπίστρεψιν ἐντέρου γίνεσθαι, καὶ κινδυνεύει τὸ ζῶον. σημεῖον δὲ τούτου ὅταν τοῖς ἐμπροσθίοις καὶ διαβαίνῃ μικρά, καὶ ὀπίσθια προσφέρει αὐτοῖς, συγκάμπτειν ἑαυτὸν μὴ δυνάμενος ὑπὸ τῆς ἀλγηδόνος. γίνεσθαι δὲ τὸ πάθος περὶ τὸ μονέντερον ὃ καλεῖται κῶλον, διὰ τὸ μὴ συνδεδέσθαι τοῖς ἄλλοις ἐντέροις κατ' ἀμφότερα, ἀλλὰ κυλινδεῖσθαι καθ' ἑαυτόν, διὸ καὶ ψόφον ἀποδίδωσιν ἐν τῷ δρόμῳ. οἱ μὲν οὖν τὴν χεῖρα διωθοῦντες ὡς εἰς τάξιν αὐτὸ καταστήσαντες, ἁμαρτάνουσι. οὔτε γὰρ τοῦτο δύνανται ποιῆσαι, καὶ φλεγμονὴν ἐνεργάζονται καὶ πνευμάτωσιν. Βοηθείσθω δὲ περιπάτῳ καὶ δρόμῳ τῷ διὰ κάλπης, εἶτα κυλιέσθω. συμβαίνει γὰρ ἐνίοτε ἀναλύεσθαι αὐτό. ἐγχυματιζέσθω δὲ διὰ στόματος καὶ ῥινῶν ὀπῷ κυρηναϊκῷ μετὰ οἴνου γλυκέος. ἐντέρου δὲ διασπασθέντος, ταχεῖα τελευτὴ γίνεται. διὰ γὰρ τῶν μυκτήρων, τὴν τροφὴν καὶ τὸ ὕδωρ ἀναφέρει, καὶ ἀθρόως εἰς τὴν γῆν κατενεχθεὶς θνήσκει.

Σύνθεσις πρὸς ἐντέρων πόνον.

Καλαμίνθης λίτραν α, σελίνου τὸ ἴσον, στέατος ταυρείου, πηγάνου, θύμου, ὀριγάνου, γλήχωνος, σιλφίου, γαλλικοῦ ἀνὰ γο ἕξ, συνεψήσας ἕως ἀποξηρωθῇ, δίδου ὡς πλεῖστον ἵνα πίῃ.

θεραπεία

ἹΠΠΟΚΡΆΤΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ὀξυλαπάθου δέρμα μετὰ οἴνου αὐστηροῦ ἐγχυμάτιζε, ἢ ῥάμνου φύλλα ἑψήσας μετὰ οἴνου αὐστηροῦ τὸ αὐτὸ ποίει. καὶ πᾶν δὲ εἶδος ὃ στύφειν δύναται, δίδου καὶ πύρινα ἄλευρα καὶ ἄλφιτα μετὰ οἴνου διδοὺς, ὠφελήσει.

Πρόγνωσις καὶ ἴασις.

Τοῦ διάῤῥοιαν νοσοῦντος ἵππου ἡ κοιλία καταφέρει, καὶ ἱδρὼς αὐτῷ ἐπιγίνεται καὶ δυσπνοεῖ. θεραπεύεται δὲ οὕτως, μύρτων τῶν μελάνων ὅσον χοίνικος μέρος τέταρτον, τρίψας λίαν, ἐπιβαλὼν αὐτοῖς ἀνδράχνης τῆς κηπίας ὅσον κοτύλας β, καὶ οἴνου γλυκέος τὸ ἴσον. τεύτλις δὲ εἰς τὰ μύρτα, ἔγχει διὰ τοῦ στόματος. καὶ ἐὰν μὴ βούληται πιεῖν, διὰ ἀμύλου δίδου, καὶ τὰς κριθὰς δὲ πεφρυγμένας παράβαλλε.

ἹΠΠΟΚΡΆΤΟΥΣ

ἐγχυματισμὸς εἰς τὸ αὐτό.

Ῥοδοπιτυΐνης λίτραν α, ῥοὸς βυρσικῆς λίτραν α, κικίδων ἀλεξανδρίνων τὸ ἴσον, ἀψινθίου, ἀβροτόνου, ὑσσώπου, πηγάνου, ἀνὰ γο ἓξ μίξας ἐν ταυτῷ, διὰ οἴνου μυσιάτου ἐγχυμάτιζε.

Σιλφίου γο τὸ ἥμισυ μίξας εὐκράτου ξέ. ἑνὶ ἐγχυμάτιζε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΒΟΗΘΗΜΆΤΩΝ ἘΝΤΈΡΟΥ ἘΠΙΣΤΡΟΦῆΣ.

ΚΕΦΆΛΑΙΟΝ ΛϚ.

Ἄψυρτος Οὐάλεντι δεκουρίωνι χαίρειν. ἔγραψάς μοι ἐπερωτῶν τίνα τὰ βοηθήματα πρὸς τὴν ἐπιστροφὴν τοῦ ἐντέρου. γινώσκειν οὖν σε θέλω, ὅτι κάκιστα ποιοῦσιν οἱ διωθοῦντες τὴν χεῖρα ἐνδοτέρω. δοκοῦντες γὰρ ὅπερ ἀδύνατόν ἐστι τῇ χειρὶ ἀναλῦσαι αὐτὸ μᾶλλον, φλεγμονὴν ποιοῦσι καὶ πνευμάτωσιν.

θὰς καταῤῥαίνοντα ὄξει, μίσγειν ἀχύροις πυρίνοις, ἢ ῥοῦν βυρσικὴν μὴ πολλὴν, ἢ ῥάμνου φύλλα τρίβειν μετὰ ἀλφίτων, καὶ ψωμοὺς ποιοῦντα διδόναι, ἢ καρδαμώμου τὸν καρπὸν φρύγειν καὶ τρίβειν, καὶ ὕδατι διϊέντα ἐγχυματίζειν διὰ τοῦ στόματος μὴ πολλῷ, τήν τε ξηρὰν τροφὴν μὴ πολλὴν διδόναι, μήτε τὸ ποτόν. εἰς δὲ τὸ ὕδωρ βάλλειν σχοῖνον κόψαντα ἢ βάτου τὰ ἁπαλὰ μὴ πολλὰ, ἵνα μὴ διασυφθῇ, περιπατείτω δὲ ὀλίγον. αὐξάνων δὲ ὁ ἱππιατρὸς εἶπεν, δεῖν βάλλειν ῥοῦν συριακὴν, καὶ τὰς κριθὰς φρύγοντα καταῤῥαίνειν τῷ ὄξει κατὰ βραχὺ ὡς φρύγονται. ἐὰν γάρ φησι μετὰ τὸ φρυγῆναι αὐτὰς καταῤῥάνῃς οὐκ ἐσθίει ὁ ἵππος διὰ τὴν ὀσμήν.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Διάῤῥοια δὲ εἰ γένοιτο χρονία, διαφθείρει τὸ ζῶον. καταῤῥαίνε οὖν τὰς κριθὰς ὄξει, ἄχυρα πύρινα ἀναμίσγων, καὶ ῥοῦν βυρσικὴν μὴ πολλὴν, καρδάμου τε τὸν καρπὸν διαφρύξας καὶ τρίψας ὕδατι, ἐγχυμάτιζε διὰ τοῦ στόματος μὴ πολλῷ, τὴν δὲ ξηρὰν τροφὴν δίδου μὴ πολλὴν, μὴ δὲ τὸ ποτόν. εἰς δὲ τὸ ὕδωρ βάλλε σχοῖνον κόψαντα, ἢ βάτου ἀκρέμονας μὴ πολλοὺς ἵνα μὴ διασυφθῇ. περιπατείτω δὲ ὀλίγον.

Εἰς τὸ αὐτὸ ἴασις.

Ἐὰν ἵππος ἢ ἄλλό τι ὑποζύγιον ἐνοχλῆται ὑπὸ διαῤῥοίας, λαβὼν ἀλφίτων χοίνικα καὶ πυροῦ χοίνικα, ἢ γιγάρτου τὸ ἴσον φρύξας καὶ κόψας, σῆσον λεπτῷ κοσκίνῳ, εἶτα ἀνάμιξον ἐν ταυτῷ, καὶ ἀναδεύσας ὕδατος καθαροῦ χοεῦς δυσὶ, δὸς πιεῖν. ἐὰν δὲ μὴ βούληται, εἰς κλυστῆρα βαλὼν ἔγχει εἰς τὸ στόμα. κριθὰς δὲ μὴ δίδου, ἀλλ᾽ ἄχυρα.

ΘΕΟΜΝΉΣΤΟΥ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Τὸν διάῤῥοιαν νοσοῦντα ἵππον θεραπεύσεις, τὰς κριθὰς ὄξει βρέχων καὶ προσμιγνὺς αὐταῖς ῥοῦν βυρσικὴν, καὶ οὕτω παραβάλλων. βοηθήσεις δὲ καὶ ῥάμνου φύλλα τρίβων καὶ μετὰ πυρίνων ἀλεύρων μάσσων δι᾽ ὕδατος, καὶ ποιῶν κολλύρας καὶ ὀξυκράτου διδούς. ἁρμόδιον δὲ καὶ εἰς ὃ πίνει ὕδωρ σχοίνου καὶ βάτου τὰ ἁπαλὰ κόπτειν καὶ βάλλειν.

ἱππο-

Πρὸς τετάνους καὶ σπασμοὺς καὶ πόνους.

Ἐὰν ἐν τοῖς ὀπισθίοις μέρεσι γένηται, σημεῖα ἔσται ταῦτα. τὰ σκέλη συμπλέκει, τοὺς ὤμους καὶ τὸν σπόνδυλον ἕως τῆς κεφαλῆς ψυχρὸν ἕξει, ὀφθαλμοὺς δακρυώδεις, τὴν οὐρὰν ψυχράν. Βοηθήμασι δὲ τούτοις χρηστέον, τὸν σπόνδυλον καὶ τὰς ψύας ἐπίκαιε ἄχρι τῶν σκελῶν. μετὰ ταῦτα εἰς θερμοτάτην ἱπποστασίαν ἔγκλειε, καὶ ἄνθρακας ζῶντας ἀκάπνους ἐκεῖσε ἀπόθου πρὸς τὸ πλείονα θέρμην ἐγγίνεσθαι τῷ τόπῳ, εἶτα ἐν αὐτῷ τῷ οἰκήματι ἐλαίῳ καὶ ἅλατι ἀπόχριε ἐν ἡμέραις τρισίν. ἡνίκα δὲ τὰ κεκαυμένα τῶν τραυμάτων ἐκπέσῃ, ἀπόπλυνον οὔρῳ ἀνθρωπίνῳ, καὶ χλιαρῷ ὕδατι καταίντλει, καὶ ἀντιστροφῆς φύλλα συκῆς ἡμέρου παράβαλλε μετὰ κριθῶν πολλῶν, καὶ σίτου ἐν ὕδατι ἀποβεβρεγμένου. τὸ δὲ πόμα ἔστω χλιαρώτερον. Ἄλλο.

Ἄλευρον φυράσας σίτινον ὕδατι χλιαρῷ, δίδου νῆστει. τὸ δὲ πόμα συμμέτρως πάρεχε, ὥστε μᾶλλον αὐτὸν διψᾷν. Βέλτιον δὲ εἰ καὶ πυρέξει, ἐπειδὴ τῇ τῶν πυρετῶν εἰσβολῇ, τὸ τοιοῦτο διαλύεται πάθος, μετέπειτα δίδου κυάμους ἀκαρέους. εἰ δὲ μὴ εὑρεθεῖεν, καὶ πτισάνας. εἰ δὲ τούτων μηδὲν ὠφελεῖ, καὶ ἀνάγκη ἐπίκειται λοιπὸν περὶ τὰ ὦτα, καὶ τὸν τράχηλον διηλλαγμένοις καυτῆρσιν ἐπίκαιε.

Ἄλειμμα πρὸς τὸ αὐτό.

Δαφνοκόκκων λίτρας β, πίσσης ὑγρᾶς λίτραν μίαν, πανακείας ῥίζης γο α, λιβάνου ἀλεύρου γο ἕξ, οἴνου παλαιοῦ ξέ. β', ταῦτα πάντα μίξας, ἐν ἡλίῳ θερμῷ ἐνάλειφε, καὶ εἰ μηδὲν ὠφελήσει, τὴν κεφαλὴν ἐπίκαιε, καὶ δέρματι μετὰ τοῦ ἐρίου αὐτὴν περιδέσμει.

ΑΨΥΡΤΟΥ

ΚΕΦΑΛΑΙΟΝ ΛΕ.

Ἄψυρτος Ἀμμωνίῳ ἱππιατρῷ χαίρειν. ἔγραψά σοι τάχιον περὶ κριθιάσεως, ἀναγκαῖον δέ σε καὶ περὶ διαρροίας εἰδέναι, ἧς γενομένης ἐν τῷ ἵππῳ χρονίας, κινδυνεύει τὸ ζῶον. δεῖ οὖν θεραπεύειν οὕτως, τὰς κρι-

μίξον εἰς ὕδωρ, ἐν ᾧ πρῶτον νίτρον καὶ ἅλας ἀφήψηται, ἐξ οὗ ὡς θερμοῦ βοηθήματος ἀλείφομεν τὸ ἀσθενοῦν τὸ ζῶον, διά τε τῶν μυκτήρων ταύτην τὴν θεραπείαν ἐμβάλλομεν, στέατος χοιρείου τὸ ἀρκοῦν, μετὰ ἐλαίου κοινοῦ καὶ μέλιτος ἀναζέσαντες, καὶ μίξαντες ἐν ταυτῷ κεχρήμεθα συνεχῶς. ἢ μάλαγμα λύσαντες εἰς ἄνθρακας ζῶντας ἐλαίῳ κοινῷ καὶ κυπρίνῳ, ἐκεῖθεν τὴν κεφαλὴν καὶ τὸν αὐχένα, καὶ ἅπαν τὸ σῶμα χρίομεν. μετὰ δὲ τὴν ἀγωγὴν ταύτην, στρώμασι σκέπασον, καὶ εἰς ἥλιον θερμὸν ποίησον στῆναι, καὶ ἀναβάτην ἐπικαθῆσαι ποιήσας, δρόμῳ διὰ κάλπης γύμναζε, ἤτοι τῷ λεγομένῳ τριπήδῳ, ἄχρις οὗ ἱδρώσῃ, καὶ τὸν ἱδρῶτα ξαβάνῳ ἀπόμασσε, καὶ τῷ προγεγραμμένῳ βοηθήματι τὸ τούτου σῶμα ἀπόχριε, καὶ λοιπὸν βόσκεσθαι ποίει, ἄχρις οὗ τῆς θεραπείας αἴσθηται. λοιπὸν δὲ καὶ τὰς περὶ συνήθειαν τροφὰς παρέχε, μίσγων καὶ ἐν ταῖς κριθαῖς ἐρεβίνθων τὸ ἀρκοῦν, καὶ ἐν τῷ στόματι οἶνον. χειμῶνος δὲ ἐν θερμῷ ἱστάσθω τόπῳ, καὶ προποτίσμασι κεχρήσθω θερμοτέροις. συμβάλλεται δὲ τούτῳ καὶ ὑγρᾷ πίσσῃ ἀποχρίεσθαι, καὶ περὶ τὸν εἰρημένον τρόπον γυμνάζεσθαι οὕτω μέντοι, ὥστε μὴ ὑπὸ τῆς πίσσης τὸ δέρμα βλαβῆναι ἱδρῶτος ἐπιγινομένου. ἐν δὲ τῇ τοῦ πάθους ἀνάγκῃ, ἀφαιμάσσειν ἀχρήσιμον. πολλοὶ δὲ καὶ καυτῆρσι κέχρηνται, ὁπότε εἰ καὶ τὸν καυτῆρα ἐκφύγοι, ἄχρηστος ὑπὸ ἀγωνίας εὑρεθήσεται, οὔτε γὰρ ὁδοιπορίας ἀνέξεται. ἐπιδείξω δὲ λοιπὸν ἐκ ποίων αἰτιῶν ἡ τοιαύτη νόσος συνάγεται, ἡνίκα εἰς τραχεῖαν ὁδὸν βαδίζῃ, καὶ ὀδυνῶν ἔκ τινος αἰτίας τὸν ἔμπροσθεν πόδα χωλεύοι, καὶ ἀναγκάζεται ἔτι περιπατεῖν καὶ ἱδροῖ, ἀναγκαίως τὰ περὶ τὴν προλεχθεῖσαν ἀσθένειαν ἐπακολουθεῖ. χειμῶνος δὲ ἡνίκα, ἢ ἀπὸ μακρᾶς ὁδοῦ, ἢ ἀπὸ γυμνασίας ὕπαιθρος ἐν τῷ κρύει, ἢ ἐν τόπῳ ψυχροτέρῳ, ἢ ὑγροτέρῳ στῇ, καὶ εἰ ἀρμὸν παθὼν μετὰ τὴν τούτου θεραπείαν ἐπ' αὐτὸν καθυδήσει, τούτῳ τῷ πάθει περιπεσεῖται.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Πρὸ πάντων καυτηριάζειν χρή, συμβάλλονται δὲ καὶ τὰ θερμότερα προποτίσματα, λάσαρον, ἢ κύμινον, ἢ σκόροδον, ἢ δαφνόκοκκα, τούτων ἕκαστον ὁδὴ ποσὸν καθ' ἡμέραν μετὰ οἴνου διδόμενον εἰς ὑγείαν τὸ ζῶον ἀποκαθίστησι.

θος γίνεται, μήτε μὴν νοῆσαι δυνάμενοι τὰ τούτου σημεῖα ὁποῖα τυγχάνει, ἅπερ ἡμεῖς πολλῷ καμάτῳ περὶ πολὺ τὰ τῆς τοιαύτης νόσου γνωρίσματα ζητήσαντα εὕρομεν. ἔστι δὲ ταῦτα, τράχηλος ἀποτεταμένος, κυρτωθῆναι μὴ δυνάμενος, κεφαλὴ ὁμοίως, ὦτα ἑστῶτα σκληρὰ, καμφθῆναι μὴ δυνάμενα, ὀφθαλμοὶ μικροὶ, τὰ τῆς ὄψεως ὀστέα φαινόμενα, δέρμα τεταμένον, καὶ ἀπεσκληρυμμένον, χείλη πεφρυγμένα, ἔχει δὲ καὶ τὸ στόμα μεμυκὸς, οὔτε ἀνοῖξαι οὔτε χασμήσασθαι δυνάμενος, τροφὴν ἢ ποτὸν οὐ προσίεται, ἡ οὐρὰ ἀποσκληρυνθεῖσα, ὀρθὴ καὶ ἀκαμπὴς διαμένει, προσχεῖν δὲ διὰ τῶν πλαγίων οὐ δύναται, τὸ βῆμα ἀτάκτως ἀποτίθεται, τοὺς ὀπισθίους πόδας τῶν ἐμπροσθίων προβάλλει οὕτως, ὥστε τοὺς ὄνυχας ἀποξέειν, τοὺς ἐμπροσθίους πόδας κάμψαι οὐ δύναται, καὶ σύμπαντα αὐτοῦ τὰ μέλη διατέταται ἐν τοῖς ὀπισθίοις μέρεσιν, ἢ οὐδέ ποτε, ἢ δυσκόλως τινάσσεται, ἐπί τε τὰ πρόσω βιαζόμενος, ὀπίσω εἰς ἑαυτὸν ἐφέλκεται, οὗτος δυσχερῶς ἀπουρεῖ, καὶ κυλισθεὶς, ὁπότε ἀνίστασθαι βούλοιτο, δυσχερῶς μὲν ἐκ τῶν ὀπισθίων ἐγείρεται. ἐπὶ δὲ τοὺς νεφροὺς συγκαθίζεται, ὅθεν καὶ ἡ τοῦ ὀπισθοτόνου προσηγορία κατάγεται. θεραπεύσεις δὲ τὸ τοιοῦτο πάθος, χειμῶνος μὲν δυσχερῶς, τῷ δὲ θέρει εὐθελήστας μετὰ τῆς δεούσης ἐπιμελείας προσαγομένης, καὶ πρῶτον μὲν ἀλείμμασι χρήσῃ τοιούτοις, στέαρ χοίρειον, ῥητίνην τερεβινθίνην, κηρὸν λελειωμένον, ἐν ταυτῷ ἐλαίῳ ἀναλάμβανε καὶ χρῶ. πολλοὶ δὲ καὶ ὀρόβους ἑψήσαντες, τῷ ὕδατι τὴν κεφαλὴν ἐπαντλοῦσι, τὸ δ' αὐτὸ καὶ ἀπὸ κριθῶν ποιοῦσιν. τινὲς δὲ καὶ περὶ κοπρίας χωννύουσι τὸ κάμνον ζῶον, ἢ εἰς θερμὴν ἄμμον. ποιοῦσι δὲ καὶ προπότισμα τόδε, πεπέρεως κόκκους δέκα, νίτρου γο α΄, ὀποῦ κυρηναϊκοῦ κυάμου μέγεθος, ταῦτα πάντα κατὰ μόνας λειώσας καὶ μίξας προστιθεὶς ἐλαίου καὶ οἴνου πρωτείου ξέστας δύο καθ' ἑκάστην ἡμέραν προπότιζε. πολλοὶ δὲ καὶ τοῦτο συμβάλλεσθαι λέγουσιν, ὅπερ καὶ ἡμῖν διὰ πείρας ἐλήλυθεν, στέατος χοιρείου γράμματα ιϛ΄, στέατος αἰγείου γράμματα ιϛ΄, ῥητίνης τερεβινθίνης γράμματα δ΄, ἐλαίου κεδρίνου ξε. ϛ΄, ἐλαίου κοινοῦ ξε. δ΄, ταῦτα πάντα μίξον εἰς

τὰς ἐν τῷ στήθει, εἶτα τὰς περὶ τὴν ἕδραν, καὶ λούειν θερμῷ πολλῷ, εἶτα κηρωτῇ τὸ σῶμα ἐναλείφειν καὶ στρωννύειν ἐν σκότει, καὶ ἠρεμεῖν ἐν τῇ ἱπποστασίᾳ ποιεῖν. ἐπ᾽ ἂν δὲ ἄνεσις γένηται τοῦ σπασμοῦ, φαγεῖν δίδου χόρτον, καταῤῥαίνων αὐτὸν νίτρῳ, κριθῶν δὲ ποίει ἀπέχεσθαι ἕως ἂν ἀσφαλῶς ἔχῃ.

Τετάνου πρόγνωσις, καὶ ἴασις.

Ἐὰν ἵππος τετάνῳ συσχεθῇ, ἡ κεφαλὴ αὐτοῦ ἐν τῷ τραχήλῳ πήγνυται, καὶ οὐ περιστρέφεται εἰ μὴ μόλις, αἵ τε νωτιαῖαι φλέβες συντέτανται ὥσπερ ἐπὶ τῆς ποδάγρας, καὶ τὰ ὦτα βέβληται πλάγια, τό τε στόμα ξηρὸν ἐστὶ καὶ ἄνικμον καὶ τὰ χείλη. κύαθον οὖν οἴνου ἀκράτου θερμαίνων, καὶ τοῦ ἀπὸ τῆς ποδάγρας φαρμάκου τὸ ἴσον, ὁποτέρου ἂν μᾶλλον μυκτῆρος τὸ πνεῦμα ἔχηται, εἰς τοῦτον ἔγχει. ἐὰν δὲ ἐγχέῃς, προχασάτω παραχρῆμα, καὶ μὴ δίδου ἐκείνης τῆς ἡμέρας μηδὲν, ἀλλ᾽ ἢ ἄλευρον πίνειν ἐφ᾽ ἑκάτερον δεῖπνον καὶ ἄριστον.

Ὀπισθοτόνου πρόγνωσις καὶ ἴασις.

Γνῶθι τὸν ὅτι τὰ ὦτα τοῦ ἵππου τείνονται ὀρθὰ, καὶ τὸ ὄμμα κατεστραμμένον ἔχει, καὶ οὐ δύναται στρέφεσθαι ἐν μικρῷ, ἀλλὰ περιάγει ὅλον τὸ σῶμα συγκλῶν, καὶ τοὺς πόδας οὐ φέρει κατ᾽ εὐθὺ, καὶ ὁ τράχηλος δὲ σκληρός. εἰ οὖν φθάσει τὸ στόμα συγκλεῖσαι, ἀπολεῖται ὑπὸ λιμοῦ. ἐὰν οὖν προφθάσῃς, καῦσον αὐτὸν ἀρξάμενος ἀπὸ τῶν ὀφθαλμῶν, καίων τὰ κύκλῳ, καὶ ἐν τῷ τραχήλῳ τρεῖς μακρὰς, καὶ ἐπὶ τοῦ λαγόνος χῖ, καὶ ἐπὶ τῶν κενεώνων ὡσαύτως, καὶ ἐπὶ τῆς ῥάχεως μακρὰς, καὶ ἐπὶ τῆς ὀσφύος παρὰ τὴν ἕδραν τρεῖς ἑκατέρωθεν. ἄλειφε δὲ τὰ τραύματα γλυκέσι, καὶ πυρίᾳ ὄξει, καὶ τὰ ἔγχυμα δίδου ἐπὶ ἡμέραις ἑπτὰ, τῇ δὲ ὀγδόῃ πλῦναι τὰ ἕλκη ὕδατι θερμῷ, καὶ θεράπευε τῷ λυκίῳ. μότους δὲ ἐρίων πιναρῶν ποίει, βρέχων ἐν μέλιτι.

ΠΕΛΑΓΩΝΙΟΥ ΠΡΟΣ ὀπισθοτονικούς.

Χρὴ τὸν ἐπιμελέστατον ἱπποτρόφον πρὸ πάντων τοῦτο παραφυλάττειν τὸ πάθος. πολλοὶ γὰρ περὶ ὀπισθοτόνου διάφορα εἰρήκασιν, ἀγνοοῦντες ἐκ ποίας αἰτίας τὸ πάθος γίνε-

θυμιάματος γο̄ ἓξ, κόπρου περιστερᾶς γο̄ ἓξ, χαλβάνης γο̄ β̄, νίτρου γο̄ ε̄, ἀφρονίτρου γο̄ γ̄, λαδάνου λίτραν ά, πυρέθρου δαφνίδων γο̄ γ̄, καρδαμώμου γο̄ θ̄, πηγάνου σπέρματος γο̄ ἓξ, ἄγνου σπέρματος γο̄ δ̄, πετροσελίνου γο̄ β̄, ἴρεως ξηρᾶς γο̄ ε̄, ὑσσώπου γο̄ τρεῖς, καρποβαλσάμου γο̄ τρεῖς, ὀποβαλσάμου λίτρα μία, ἐλαίου ἰρίνου ξε. ᾱ, ἐλαίου νάρδου ξε. β̄, ἐλαίου δαφνίνου ξε. ά, ἐλαίου κυπρίνου ξε. γ̄, ἐλαίου σφόδρα παλαιοῦ ξε. δ̄, πισσοκάπνου ξε. ά, ῥητίνης τερεβινθίνης λίτραν ά, τὰ τηκτὰ πάντα τήξας χωρὶς, εἶτα ὁμοῦ βαλὼν μετὰ τῶν λοιπῶν καὶ ζέσας συμμέτρως διηθήσας εἰς ἀγγεῖον, χρῶ τῷ φαρμάκῳ μετὰ οἴνου. εἰ δὲ τῷ χρόνῳ σκληρὸν γένηται, ἐλαίῳ κυπρίνῳ λῦσον γλοιοῦ πάχος, καὶ χρῶ. καθαίρει δὲ τοῦτο καὶ κεφαλὴν διὰ μυκτήρων διδόμενον.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Κασίας ὁλκὰς τρεῖς, σμύρνης τρωγλήτιδος ὁλκὰς β̄, τραγακάνθης ὁλκὴν μίαν, ταῦτα λειοτριβήσας, βάλε εἰς ἑκάστην πόσιν ὁλκὰς γ̄, καὶ ᾠῶν τὰ λευκὰ, καὶ ἐλαίου κοτύλην μίαν, καὶ οἴνου παλαιοῦ τὸ ἴσον, μέλιτος κοτύλας β̄, καὶ ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί. πρὸ τοῦ δὲ τροφὴν λαβεῖν, δίδου ὀρόβων πεφρυγμένων κοτύλην μίαν, ἢ ἐρεγμοῦ ὁμοίως.

Ἄλλο.

Ἐὰν ὑπὸ ὀπισθοτόνου ἐνοχληθῇ ἵππος, ἀνακάμπτεται ὥσπερ κύων, καὶ ἀκολουθεῖ τὰ ὀπίσθια τοῖς ἐμπροσθίοις. τοῦτον οὖν φλεβοτόμει ἐκ τῶν βουβώνων, καὶ πυρία ὕδατι θερμῷ, εἶτα καταμίξας σύγχριε οἰνελαίῳ καὶ δαφνίσιν. ἐπικείσθω δὲ ἐπὶ τῆς κεφαλῆς νάκος, ἢ τῶν ψυῶν τῆς αὐτῆς ἐμβροχῆς, ἐγχυμάτιζε δὲ βαλὼν σμύρνης γο̄ γ̄, κρόκου ὁλκὴν μίαν, ἐλαίου κοτύλας δ΄, οἴνου ξε. ά.

Ἄλλο.

Κηρὸν ἀμμωνιακὸν, ῥητίνην, κολοφωνίαν, χαλβάνην, βδέλλιον, ὀποπάνακα, ἀξούγγιον, θεῖον ἄπυρον, μυελοῦ ἐλαφείου τὸ ἀρκοῦν βαλὼν ἐγχυμάτιζε.

Ἄλλο.

Ἐὰν ἵππος ὑπέρτονος γένηται, ὅλῳ τῷ σώματι τρέμει καὶ ἐπαναστὰς εἰς τοὐπίσω ἀπέρχεται, ἔπειτα ὀρθῶς ἀνίσταται, καὶ τρέμει ὅλος καὶ ἱδροῖ. ἰᾶται δὲ οὕτω, δεῖ λῦσαι τὰς φλέβας

ψύχεται, ψυχθέντος δὲ διαφωνήσει. τοῦτο δὲ ἔγνων ἐγὼ γινόμε-
νος ὑπὸ παιονίας βασιλεῖ παρεπόμενος, καὶ ὡς φίλος συνὼν αὐ-
τῷ διάγων, καὶ δή ποτε ὑπὲρ ἰταλίαν διαβαινόντων ἡμῶν καὶ
τὰς καλουμένας ἄλπεις, χιὼν ἐξαίφνης κατερράγη πολλὴ πε-
ρὶ πρώτην ὥραν, καὶ οἱ στρατιῶται ἐπὶ τοῖς ἵπποις παρόντες
ἀπώλοντο, καὶ ἔμενον ὑπὸ τῶν ἵππων συντεταμένοι. σημεῖον
δὲ ἦν τοῦ τεθνηκέναι αὐτούς· ἀνεσπασμένων γὰρ τῶν χειλῶν, οἱ ὀδόν-
τες ἐφαίνοντο, καὶ συνέβαινε τὸν ἵππον ἔτι ζῆν. ἔφερε δὲ τὸν
νέκυν τοῦ στρατιώτου ἐπὶ ἵππος, ὁ δὲ νέκυς κατεῖχε καὶ τὸ ὅπλον
καὶ τὴν ἡνίαν, καὶ τεταμένος ἔμενεν, τρόπον τινὰ συμπεφυ-
κὼς τῷ ἵππῳ ὡς ἔργον ἦν τοῖς ζῶσι καθελεῖν αὐτόν. εἰ δὲ καὶ
ὁ ἵππος συντεθνήκοι, παρεὶς εἰσήκει καὶ ἀπέμενεν. ταῦτα μὲν
ἔπαθον καὶ ἵπποι καὶ ἄνδρες. ἵππος οὖν τότε ἐμὸς τῶν σπου-
δαίων, ἐφ' ᾧ νεανίσκος ἐκάθητο ἐλήφθη ὑπὸ τετάνου, καὶ σφό-
δρα με τὸ πρᾶγμα ἐλύπει, οὐδὲν γὰρ ἵππου καλοῦ καὶ γοργοῦ
προκριτέον. ἦν δὲ ὁ ἵππος γαλλικὸς ἐτῶν ὀκτώ, ὑπὸ δρόμου
ἀκατάσχετος. σφόδρα οὖν ἐμέλησέ μοι σῶσαι τὸν ἵππον, καὶ
ἐπειδὴ κατελθόντες ἐμείναμεν εἰς πόλιν ἐν ᾗ ξύλα δαψιλῶς
ἦν, καὶ ξένος μοι βέλτιστος, ἔστησα αὐτὸν ἐν στάβλῳ μικρῷ, καὶ ἐν
κύκλῳ αὐτοῦ περιέκαυσα ἄκαπνα, νεκρῷ σχεδὸν ὄντι. περὶ
ὥραν οὖν ἀλεκτρυόνας ἤρξατο κινεῖσθαι, ἔχων δὲ ἐν τῷ βοτίῳ
ἔντρυγον κονδύτον, καὶ ἐπειδὴ τρώγειν οὐκ ἠδύνατο, οὐδὲ κι-
νῆσαι τὰς σιαγόνας, ἄρτους καθαροὺς ἐμβρέξας εἰς αὐτὸν ἀνα-
κεκραμένῳ ἐγχυμάτισα τρίτον. ἦν δὲ καὶ ἄκοπον σκευάσας ἐμαυ-
τῷ διὰ τούτους τοὺς χειμῶνας ἐκ τῶν ἁπλῶν φαρμάκων, ὅπερ
ἀναλύσας ἐλαίῳ κυπρίνῳ, ἔχρισα τὸν ἵππον, ἱδροῦν τε εὐθὺς
ἤρξατο καὶ κινεῖσθαι, καὶ ἐσθίειν, οὗ δὴ καὶ τὴν δύναμιν ἐπὶ τὴν συσταθ-
μίαν ἐκθήσομαι. ἐν δὲ τούτῳ θεραπεύσεις μὲν πάντα τέτανον
ἵππον ἐπὶ τῶν ἄλλων ὑποζυγίων. πάντα δὲ κρυμὸν καὶ τοὺς κατε-
ψυγμένους ἰάσει, καὶ ἡμιξήρους γεγονότας, ἀποκαταστήσεις ἐς
τὸ κατὰ φύσιν, ἐπὶ ὅλως τούτου θερμότερον οὐδὲν οὐδενί, οὐδὲ ἰα-
τρῷ οὐδὲ ἱππιατρῷ ἀναγράφη φάρμακον, οὐδὲ ἀναγραφήσε-
ται. ἔστι δὲ τοῦτο, εὐφορβίου γο β̄, καστορίου γο δ̄, ἀδάρκης γο
ἕξ, βδελλίου γο τρεῖς, πεπέρεως λίτραν μίαν, ἀλώπεκος στέα-
τος γο β̄, ὀποπάνακος γο δ̄, ὀποῦ λασέρου γο γ̄, ἀμμωνιακοῦ
θυμια-

καὶ ἐντιθέναι καλαμίσκον, δι᾽ οὗ ῥύσις γίνεται τοῦ ὑγροῦ. ὅταν δὲ ἀπορρυῇ, ἀρτηριάζεσθαι καὶ θεραπεύεσθαι ὡς τραῦμα. ἔστω δὲ ἡ διαίρεσις μὴ μεγάλη, ἵνα μὴ ὁ ἐπίπλους ἀκολουθήσῃ. γενομένου δὲ ὑγιοῦς τοῦ τραύματος, ποιεῖν αὐτὸν μᾶλλον τρέχειν ἵν᾽ ἐπὶ τὸ πλεῖον ἱδρῶτες γίνωνται. ἐμποδίζειν δὲ αὐτὸν πίνοντα ἐπὶ πλεῖον, ἵνα μὴ οἱ κενεῶνες πληρωθῶσιν.

ΙΕΡΟΚΛΕΟΥΣ

εἰς τὸ αὐτό.

Συμβαίνει ποτὲ περίεγχυσις τῷ ζώῳ καὶ ὑδερίασις, ὧν τὰ δὲ σημεῖα, μεγάλην ἔχει τὴν γαστέρα, καὶ τὰ σκέλη διῳδηκότα, καὶ τοὺς ὀφθαλμοὺς μηλόχροας, ὥς φασιν ἔνιοι, καὶ τοὺς ὄρχεις οἰδοῦντας, τὰ δὲ γόνατα τῶν ἐμπροσθίων ποδῶν ξηρά, καὶ τοὺς ἀγκῶνας, ῥάχιν τε καὶ ἰσχίον ὡσαύτως, τά τε ὀστᾶ τῶν πλευρῶν φαίνονται, τὰς δὲ ἐν κεφαλῇ φλέβας καὶ ἐν τῷ προσώπῳ ἀδήλους ἔχει. ἔτι μὴν δὲ καὶ τὰς ἐν τῇ γλώττῃ. ἁψαμένῳ δὲ τῇ χειρί, εἴκει τὸ σῶμα καὶ ὑποχωρεῖ τοῖς δακτύλοις, αἵ τε τρίχες ἐν τῇ ῥίψει ῥέουσι, καὶ κατακλιθεὶς ἐπὶ γαστέρα ἀποτείνει ἑαυτόν, καὶ πλατύνεται. ταῦτα μὲν τὰ σημεῖα. θεραπευέσθω δὲ οὕτως, περιπατείτω ἐν ἡλίῳ ἐκ προαγωγῆς, ἐσκεπασμένος παχεῖ περιβολαίῳ, καὶ τριβέσθω τὸ σῶμα παρὰ τὴν τρίχα, ἐσθιέτω δὲ ῥαφανίδας καὶ τὰ φύλλα αὐτῶν καὶ σέλινα, καὶ πτελέας φύλλα, ἐπεὶ ταῦτα καθαρτικά εἰσι καὶ διουρητικά, χόρτον τε χλωρόν. εἰ δ᾽ οὐκ ἔστι, τὸν ξηρὸν καταρρανθέντα νίτρῳ, ἐσθιέτω μάλιστα δὲ μηδικήν, ἢ ἐρεβίνθους τοὺς μικρούς, βραχέντας ἐπὶ ἡμέραν καὶ νύκτα παραβάλλειν ἐστραγγισμένου τοῦ ὕδατος. εἰ δὲ μὴ ἐνδιδῷ τὸ πάθος, περικεντεῖν αὐτὸν παρὰ τὸν ὀμφαλὸν ἀπὸ δακτύλων τεσσάρων τῷ πρὸς τὴν οὐρὰν μέρει, καὶ ἐντιθέναι καλαμίσκον, τρήσεις ἐκ πλαγίου ἔχοντα χαλκοῦν, δι᾽ οὗ ῥύσις γίνεται τοῦ ὑγροῦ. ὅταν δὲ ἀπορρυῇ, ἀρτηριαζέσθω καὶ θεραπευέσθω ὡς τραῦμα. ἔστω δὲ ἡ διαίρεσις μὴ μεγάλη, ἵνα μὴ ὁ ἐπίπλους συνεξακολουθήσῃ. τοῦ δὲ δέρματος ἀπουλωθέντος, ποίει αὐτὸν μᾶλλον τρέχειν, ἵνα ἐπὶ πλεῖον ἱδρῶτες γίνωνται, ἐμπόδιζέ τε πίνοντα, ἵνα μὴ ἀθρόον οἱ κενεῶνες πληρῶνται· ἐὰν δὲ συμβῇ ἐξακολουθῆσαι τὸν ἐπίπλουν, λίνῳ αὐτὸν περὶ

καλεῖται χορδαψὸς τὸ πάθος. βοηθείσθω δὲ οὕτως, καθεὶς τὴν χεῖρα, ἐξαγέτω τὰ ἀπεσφηνωκότα τοὺς πόρους, εἶτα ἐγκλυζέσθω διὰ μυκτῆρος ὕδατι μετὰ νίτρου, καὶ λουέσθω ὕδατι θερμῷ κατὰ νώτου καὶ τῶν ἰσχίων. εἰς ψυχρὸν δὲ μὴ ἐμβιβάζειν, φαγεῖν τε διδόναι χόρτον χλωρὸν, ἢ κριθὰς ἑψόντα, ἢ ἄλευρα κρίθινα ἢ ὀλύρας ἀλεσθείσας, καταῤῥαίνοντα τῷ νίτρῳ.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ἘΚΧΥΣΕΩΣ ΚΑΙ ὙΔΕΡΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ.

Ἄψυρτος Ποσειδωνίῳ χαίρειν. ἱπποτροφοῦντά σε, βούλομαι εἰδέναι ὅταν ᾖ τὸ ζῶον τὴν ἔκχυσιν ἔχον ὑδερικά. ἐπιγνώσῃ δὲ ἔχον μεγάλην γαστέρα, οἰδοῦν τὰ σκέλη καὶ τοὺς διδύμους, καὶ τῶν ἐμπροσθίων τοὺς ἀγκῶνας ἃ γόνατα λεγόμενα, ξηρὰν ῥάχιν, ἰσχία καὶ λαγόνας ὡσαύτως, αἵ τε κιθάραι παρ' ἑκάτερα τοῦ νώτου ἰσοφανοῦσι, τάς τε ἐν τῇ κεφαλῇ φλέβας ἀδήλους ἔχει καὶ τὰς ἐν τῷ προσώπῳ, ὡσαύτως καὶ τὰς ὑπὸ τῇ γλώσσῃ. ἀψαμένῳ δὲ τοῦ οἰδήματος τῇ χειρὶ, εἴκει καὶ ἐντυποῦται, καὶ κατακλινόμενος ἐπὶ τὴν κοιλίαν οὐ μένει, ἀλλ' ἐκτείνει ἑαυτὸν, καὶ πλατύνεται, καὶ ἐν τῇ τρίψει ἐκρεῖ τὰς τρίχας. θεραπεύεται δὲ, περιπάτοις ἐκ προσαγωγῆς κατ' ὀλίγον, τὸ πλεῖον ἐν τῷ ἡλίῳ, ἐσκεπασμένος σισύραις ἢ ἐρίοις αἳ ἱδρῶτα κινοῦσι. τρίψει δὲ χρῆσθαι δι' ὅλου τοῦ σώματος, καὶ τροφὴν διδόναι ῥαφανίδας καὶ τὰ φύλλα αὐτῶν καὶ σέλινα, καὶ ὅσα καθαρτικά εἰσι καὶ διουρητικὰ, καὶ χόρτον χλωρὸν ἐὰν ᾖ καιρὸς, εἰ δ' οὐχὶ ξηρὸν καταῤῥαίνοντα νίτρῳ. ἔστω δὲ μάλιστα ἡ τροφὴ μηδικὴ, ἢ ἐρεβίνθους τοὺς λεπτοὺς βεβρεγμένους ἐν ὕδατι νύκτα καὶ ἡμέραν, καὶ ἐστραγγισμένους παραβάλλειν. μὴ ἐνδιδόντος δὲ τοῦ πάθους, κατακεντεῖν τε ἀπὸ τοῦ ὀμφαλοῦ, ἢ τῆς κεντρίτιδος λεγομένης, ἀπὸ δακτύλων τριῶν τοῦ πρὸς τὴν χώραν μέρους, καὶ ἐντι-

Θεραπεία πρὸς ἐντέρων πόνον.

Ἐὰν τὰ ἔντερα αὐτοῦ πονέσῃ, οὕτω θεραπεύσεις, ἱκανά τινα θερμὰ περὶ τὴν κοιλίαν αὐτοῦ ἐντυλίξας καὶ συσφίγξας ποίησον διακινῆσαι. καὶ αἵματος δὲ ἀφαίρεσιν ἐκ τῶν ὀπίσω σου φραγίνων ἱκανὴν ποίει, καὶ ἐν θερμῷ τόπῳ πρόσαγε, καὶ θερμῷ ὕδατι καταύτλει. δίδου δὲ καὶ ἡψημένον ἀλεύρου σιτίνου ὕδωρ πιεῖν, προσμίξας καὶ νίτρου γο β΄, καὶ ἐλαίου γο α΄, ἢ σταφυλὴν λαβὼν ἐξ ἀμπέλου, καὶ ἑψήσας μεθ' ὕδατος καὶ ἐλαίου γο ἑξ, εἰς τὸ στόμα αὐτοῦ ἔμβαλε. Ἄλλο.

Σμύρνης γο δ΄, πεπέρεως λευκοῦ γο α΄, ὀποπάνακος γο μίαν, ῥητίνης τερεβινθίνης γο β΄, κηροῦ λίτραν α΄, τὴν πίσσαν καὶ τὸν κηρὸν προσβαλὼν εἰς χύτραν καινὴν, καὶ τήξας σὺν ὄξει, ὀποπάνακα καὶ στύρακα λειώσας ἐπίχει, καὶ ἔξω τοῦ πυρὸς ἄρας χαλβάνην καὶ τερεβινθίνην, καὶ βδέλλιον μεμαλαγμένον καὶ ἄσφαλτον ἐπιβαλὼν, χρῶ μετὰ καὶ ἀμμωνιακοῦ λελειωμένου.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ' ΧΟΡΔΑΨΟΥ.

ΚΕΦΑ'ΛΑΙΟΝ ΛΖ.

Ἄψυρτος ἀσκληπιάδῃ χαίρειν. ἱπποῤῥοφοῦντα σε βούλομαι εἰδέναι πρὸς τοὺς ἀναφέροντας ῥοφὴν διὰ στόματος καὶ μυκτήρων. λεγομένου δὲ τοῦ πάθους χορδαψοῦ, πίστει δεῖ βοηθήμασι χρῆσθαι, καθιέντα τὴν χεῖρα ἐκεῖψαι τὰ ἀπεσφηνωκότα τοὺς πόρους, καὶ ἐκλύζειν διὰ μυκτῆρος ὕδατι καὶ ἐλαίῳ καὶ νίτρῳ, ἢ τεῦτλον ἀφεψήματι μετὰ νίτρου καὶ ἔλαιον, καὶ λούειν αὐτὸν θερμῷ ὕδατι περὶ νῶτον καὶ τῶν ἰσχίων, εἰς ψυχρὸν δὲ μὴ ἐμβιβάζειν. φαγεῖν δὲ διδόναι χόρτον χλωρὸν, ἢ κριθὰς ἕψοντα καὶ ἄλευρα κρίθινα, ἢ ὀλύρας ἀληλεσμένας καταῤῥαίνοντα ὑπὸ νίτρου.

ΙΕΡΟΚΛΕ'. ΕΙ'Σ ΤΟ' ΑΥ'ΤΟ'.

Εἰ τὴν ῥοφὴν ἀναφέρει διὰ τοῦ στόματος ἢ τοῦ μυκτῆρος,

Βοηθεῖται δὲ περιπάτῳ καὶ δρόμῳ τῷ διὰ κάλπης, καὶ κυλιόμενοι οὐκ ἐμποδίζουσι. γίνεται γὰρ ἐνίοτε ἀναλυθῆναι αὐτό. καὶ ἐγχυματίζουσι δὲ διὰ τοῦ στόματος καὶ τῶν μυκτήρων ὀπῷ κυρηναϊκῷ μετὰ οἴνου γλυκέος. συμβαίνει δὲ τοῦτο τῷ μεγάλῳ ἐντέρῳ ὃ λέγεται μονέντερον. τινὲς δὲ κῶλον λέγουσι, διὰ τὸ μὴ ἔχειν σύνδεσμον τοῖς λοιποῖς ἐντέροις, ἀλλὰ κυλίεσθαι καθ' ἑαυτό, διὸ καὶ ἦχον ἀποτελεῖ καὶ ψόφον ἐν τῷ περιπάτῳ καὶ δρόμῳ. σημεῖα δὲ φέρει τάδε, περιπατῶν τοῖς ἐμπροσθίοις διαβαίνει μικρά, καὶ τὰ ὀπίσθια προσφέρει αὐτοῖς, καὶ συγκάμπτει ἑαυτὸν ὀδυνώμενος. ἡ δὲ τῶν ἐντέρων φύσις οὐκ ἔστιν ἴση παρὰ πᾶσιν. οἱ μὲν γὰρ ἔχουσιν ἔντερα μεγάλα ποδῶν κβ, λεπτὰ δὲ ποδῶν ξβ, τινὲς δὲ λέγουσι ν, καὶ β, καὶ οὗτοι μὲν ἀφ' οὗ ἂν τὸν καταρτισμὸν φύσωσιν. ὁ δὲ τούτων νεώτερος ἐλάσσω καθ' ἡλικίαν.

ΙΕΡΟΚΛΕ. ΕΙΣ ΤΟ ΑΥΤΟ.

Συμβαίνει ἐπιστρέψιν ἐντέρου γίνεσθαι, καὶ κινδυνεύει τὸ ζῷον. σημεῖον δὲ τούτου ὅταν τοῖς ἐμπροσθίοις καὶ διαβαίνῃ μικρά, καὶ ὀπίσθια προσφέρει αὐτοῖς, συγκάμπτει μὲν ἑαυτὸν μὴ δυνάμενος ὑπὸ τῆς ἀλγηδόνος. γίνεσθαι δὲ τὸ πάθος περὶ τὸ μονέντερον ὃ καλεῖται κῶλον, διὰ τὸ μὴ συνδεδέσθαι τοῖς ἄλλοις ἐντέροις κατ' ἀμφότερα, ἀλλὰ κυλινδεῖσθαι καθ' ἑαυτόν, διὸ καὶ ψόφον ἀποδίδοσθαι ἐν τῷ δρόμῳ. οἱ μὲν οὖν τὴν χεῖρα διωθοῦντες ὡς εἰς τάξιν αὐτὸ καταστήσαντες, ἁμαρτάνουσι. οὔτε γὰρ τοῦτο δύνανται ποιῆσαι, καὶ φλεγμονὴν ἐνεργάζονται καὶ πνευματώσιν. Βοηθείσθω δὲ περιπάτῳ καὶ δρόμῳ τῷ διὰ κάλπης, εἶτα κυλιέσθω. συμβαίνει γὰρ ἐνίοτε ἀναλύεσθαι αὐτό. ἐγχυματιζέσθω δὲ διὰ στόματος καὶ ῥινῶν ὀπῷ κυρηναϊκῷ μετὰ οἴνου γλυκέος. ἐντέρου δὲ διασπασθέντος, ταχεῖα τελευτὴ γίνεται. διὰ γὰρ τῶν μυκτήρων, τὴν τροφὴν καὶ τὸ ὕδωρ ἀναφέρει, καὶ ἀθρόως εἰς τὴν γῆν κατενεχθεὶς θνήσκει.

Σύνθεσις πρὸς ἐντέρων πόνον.

Καλαμίνθης λίτραν α, σελίνου τὸ ἴσον, στέατος ταυρείου, πηγάνου, θύμου, ὀριγάνου, γλήχωνος, σιλφίου, γάλακτος ἀνὰ γο ἕξ, συνεψήσας ἕως ἀποξηρανθῇ, δίδου ὡς πλεῖστον ἵνα πίῃ.

θεραπεία

ΙΠΠΟΚΡΑ´ΤΟΥΣ ΕΙ῎Σ ΤΟ` ΑΥ῎ΤΟ´.

Ὀξυλαπάθου δέρμα μετὰ οἴνου αὐστηροῦ ἐγχυμάτιζε, ἢ ῥάμνου φύλλα ἑψήσας μετὰ οἴνου αὐστηροῦ τὸ αὐτὸ ποίει. καὶ πᾶν δὲ εἶδος ὃ στύφειν δύναται, δίδου καὶ πύρεινα ἄλευρα καὶ ἄλφιτα μετὰ οἴνου διδοὺς, ὠφελήσει.

Πρόγνωσις καὶ ἴασις.

Τοῦ διάῤῥοιαν νοσοῦντος ἵππου ἡ κοιλία καταφέρει, καὶ ἱδρὼς αὐτῷ ἐπιγίνεται καὶ δυσπνοεῖ. θεραπεύεται δὲ οὕτως, μύρτων τῶν μελάνων ὅσον χοίνικος μέρος τέταρτον, τρίψας λίαν, ἐπιβαλὼν ἀνδράχνης τῆς κηπίας ὅσον κοτύλας β´, καὶ οἴνου γλυκέος τὸ ἴσον. πεύσεις διεὶς τὰ μύρτα, ἔγχει διὰ τοῦ στόματος. καὶ ἐὰν μὴ βούληται πιεῖν, διὰ ἀμύλου δίδου, καὶ τὰς κριθὰς δὲ πεφρυγμένας παράβαλλε.

ΙΠΠΟΚΡΑ´ΤΟΥΣ

ἐγχυματισμὸς εἰς τὸ αὐτό.

Ῥοδοσπτυΐνης λίτραν α´, ῥοὸς βυρσικῆς λίτραν α´, κικίδων ἀλεξανδρίνων τὸ ἴσον, ἀψινθίου, ἀβροτόνου, ὑσσώπου, πηγάνου, ἀνὰ γο´ ἓξ μίξας ἐν ταυτῷ, δι᾽ οἴνου μυσιάτου ἐγχυμάτιζε.

Σιλφίου γο´ τὸ ἥμισυ μίξας εὐκράτου ξε. ἑνὶ ἐγχυμάτιζε.

ΑΨΥΡΤΟΥ,

ΠΕΡΙ` ΒΟΗΘΗΜΑ´ΤΩΝ Ε´ΝΤΕ´ΡΟΥ Ε´ΠΙΣΤΡΟΦΗ͂Σ.

ΚΕΦΑ´ΛΑΙΟΝ Λϛ.

Ἄψυρτος Οὐάλεντι δεκουρίωνι χαίρειν. ἔγραψάς μοι ἐπερωτῶν τίνα τὰ βοηθήματα πρὸς τὴν ἐπιστροφὴν τοῦ ἐντέρου. γινώσκειν οὖν σε θέλω, ὅτι κάκιστα ποιοῦσιν οἱ διωθοῦντες τὴν χεῖρα ἐνδοτέρω. δοκοῦντες γὰρ ὅπερ ἀδυνατόν ἐστι τῇ χειρὶ ἀναλῦσαι αὐτὸ μᾶλλον, φλεγμονὴν ποιοῦσι καὶ πνευμάτωσιν.

θὰς καταῤῥαίνοντα ὄξει, μίσγειν ἀχύροις πυρίνοις, ἢ ῥοῦν βυρσικὴν μὴ πολλὴν, ἢ ῥάμνου φύλλα τρίβειν μετὰ ἀλφίτων, καὶ ψωμοὺς ποιοῦντα διδόναι, ἢ καρδαμώμου τὸν καρπὸν φρύγειν καὶ τρίβειν, καὶ ὕδατι διέντα ἐγχυματίζειν διὰ τοῦ στόματος μὴ πολλῷ, τὴν τε ξηρὰν τροφὴν μὴ πολλὴν διδόναι, μήτε τὸ ποτόν. εἰς δὲ τὸ ὕδωρ βάλλειν σχοῖνον κόψαντα ἢ βάτου τὰ ἁπαλὰ μὴ πολλὰ, ἵνα μὴ διασυρθῇ, περιπατείτω δὲ ὀλίγον. αὐξάνων δὲ ὁ ἱππιατρὸς εἶπεν, δεῖν βάλλειν ῥοῦν συριακὴν, καὶ τὰς κριθὰς φρύγοντα καταῤῥαίνειν ὑπὸ ὄξει κατὰ βραχὺ ὡς φρύγονται. ἐὰν γάρ φησι μετὰ τὸ φρυγῆναι αὐτὰς καταῤῥάνῃς οὐκ ἐσθίει ὁ ἵππος διὰ τὴν ὀσμήν.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Διάῤῥοια δὲ εἰ γένοιτο χρονία, διαφθείρει τὸ ζῶον. καταῤῥαίνε οὖν τὰς κριθὰς ὄξει, ἄχυρα πύρινα ἀναμίσγων, καὶ ῥοῦν βυρσικὴν μὴ πολλὴν, καρδάμου τε τὸν καρπὸν διαφρύξας καὶ τρίψας ὕδατι, ἐγχυμάτιζε διὰ τοῦ στόματος μὴ πολλῷ, τὴν δὲ ξηρὰν τροφὴν δίδου μὴ πολλὴν, μὴ δὲ τὸ ποτόν. εἰς δὲ τὸ ὕδωρ βάλλει σχοῖνον κόψαντα, ἢ βάτου ἀκρέμονας μὴ πολλοὺς ἵνα μὴ διασυρθῇ. περιπατείτω δὲ ὀλίγον.

Εἰς τὸ αὐτὸ ἴασις.

Ἐὰν ἵππος ἢ ἄλλό τι ὑποζύγιον ἐνοχλῆται ὑπὸ διαῤῥοίας, λαβὼν ἀλφίτων χοίνικα καὶ πυροῦ χοίνικα, ἐπιγιγάρτου τὸ ἴσον φρύξας καὶ κόψας, σῆσον λεπτῷ κοσκίνῳ, εἶτα ἀνάμιξον ἐν ταυτῷ, καὶ ἀναδεύσας ὕδατος καθαροῦ χοεῦς δυσὶ, δὸς πιεῖν. ἐὰν δὲ μὴ βούληται, εἰς κλυστῆρα βαλὼν ἔγχει εἰς τὸ στόμα. κριθὰς δὲ μὴ δίδου, ἀλλ᾽ ἄχυρα.

ΘΕΟΜΝΗΣΤΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τὸν διάῤῥοιαν νοσοῦντα ἵππον θεραπεύσεις, τὰς κριθὰς ὄξει βρέχων καὶ προσμιγνὺς αὐταῖς ῥοῦν βυρσικὴν, καὶ οὕτω παραβάλλων. βοηθήσεις δὲ καὶ ῥάμνου φύλλα τρίβων καὶ μετὰ πυρίνων ἀλεύρων μάσσων δι᾽ ὕδατος, καὶ ποιῶν κολλύρας καὶ ὀξυκράτου διδούς. ἁρμόδιον δὲ καὶ εἰς ὃ πίνει ὕδωρ σχοίνου καὶ βάτου τὰ ἁπαλὰ κόπτειν καὶ βάλλειν.

Πρὸς τετάνους καὶ σπασμοὺς καὶ πόνους.

Ἐὰν ἐν τοῖς ὀπισθίοις μέρεσι γένηται, σημεῖα ἔσται ταῦτα. τὰ σκέλη συμπλέκει, τοὺς ὤμους καὶ τὸν σπόνδυλον ἕως τῆς κεφαλῆς ψυχρὸν ἔχει, ὀφθαλμοὺς δακρυώδεις, τὴν οὐρὰν ψυχράν. Βοηθήμασι δὲ τούτοις χρηστέον, τὸν σπόνδυλον καὶ τὰς ψύας ἐπίκαιε ἄχρι τῶν σκελῶν μετὰ ταῦτα εἰς θερμοτάτην ἱπποστασίαν ἔγκλειε, καὶ ἄνθρακας ζῶντας ἀκάπνους ἐκεῖσε ἀπόθου πρὸς τὸ πλείονα θέρμην ἐγγενέσθαι τῷ τόπῳ, εἶτα ἐν αὐτῷ τῷ οἰκήματι ἐλαίῳ καὶ ἅλατι ἀπόχριε ἐπὶ ἡμέραις τρισίν. ἡνίκα δὲ τὰ κεκαυμένα τῶν τραυμάτων ἐκπέσῃ, ἀπόπλυνον οὔρῳ ἀνθρωπίνῳ, καὶ χλιαρῷ ὕδατι καταύτλει, καὶ ἀντιστροφῆς φυλλασικῆς ἡμέρου παράβαλλε μετὰ κριθῶν πολλῶν, καὶ σίτου ἐν ὕδατι ἀποβεβρεγμένου. τὸ δὲ πόμα ἔστω χλιαρώτερον. Ἄλλο.

Ἄλευρον φυράσας σίτινον ὕδατι χλιαρῷ, δίδου νῆστει. τὸ δὲ πόμα συμμέτρως παρέχε, ὥστε μᾶλλον αὐτὸν διψᾷν. βέλτιον δὲ εἰ καὶ πυρέξει, ἐπειδὴ τῇ τῶν πυρετῶν εἰσβολῇ, τὸ τοιοῦτο διαλύεται πάθος, μετέπειτα δίδου κυάμους ἀχυρέους. εἰ δὲ μὴ εὑρεθεῖεν, κἂν πτισάνας. εἰ δὲ τούτων μηδὲν ὠφελεῖ, καὶ ἀνάγκη ἐπίκειται λοιπὸν περὶ τὰ ὦτα, καὶ τὸν τράχηλον διηλλαγμένοις καυτῆρσιν ἐπίκαιε.

Ἄλειμμα πρὸς τὸ αὐτό.

Δαφνοκόκκων λίτρας β, πίσσης ὑγρᾶς λίτραν μίαν, πανακείας ῥίζης γο α', λιβάνου ἀλεύρου γο ἕξ, οἴνου παλαιοῦ ξέ. β', ταῦτα πάντα μίξας, ἐν ἡλίῳ θερμῷ ἐνάλειφε, καὶ εἰ μηδὲν ὠφελήσει, τὴν κεφαλὴν ἐπίκαιε, καὶ δέρματι μετὰ τοῦ ἐρίου αὐτὴν περιδέσμει.

ΑΨΥΡΤΟΥ

ΚΕΦΑΛΑΙΟΝ ΛΕ.

Ἄψυρτος Ἀμμωνίῳ ἱππιατρῷ χαίρειν. ἔγραψά σοι τάχιον περὶ κριθιάσεως, ἀναγκαῖον δέ σε καὶ περὶ διαρροίας εἰδέναι, ἧς γενομένης ἐν τῷ ἵππῳ χρονίας, κινδυνεύει τὸ ζῶον. δεῖ οὖν θεραπεύειν οὕτως, τὰς κριθὰς

μίξον εἰς ὕδωρ, ἐν ᾧ πρῶτον νίτρον καὶ ἅλας ἀφήψηται, δ' οὖν ὡς θερμοῦ βοηθήματος ἀλείφομεν τὸ ἀσθενοῦν τὸ ζῶον, διά τε τῶν μυκτήρων ταύτην τὴν θεραπείαν ἐμβάλλομεν, στέατος χοιρείου τὸ ἀρκοῦν, μετὰ ἐλαίου κοινοῦ καὶ μέλιτος ἀναζέσαντες, καὶ μίξαντες ἐν ταυτῷ κεχρήμεθα συνεχῶς. ἢ μάλαγμα λύσαντες εἰς ἄνθρακας ζῶντας ἐλαίῳ κοινῷ καὶ κυπρίνῳ, ἐκεῖθεν τὴν κεφαλὴν καὶ τὸν αὐχένα, καὶ ἅπαν τὸ σῶμα χριόμενον. μετὰ δὲ τὴν ἀγωγὴν ταύτην, στρώμασι σκέπασον, καὶ εἰς ἥλιον θερμὸν ποίησον στῆναι, καὶ ἀναβάτην ἐπικαθῆσαι ποιήσας, δρόμῳ διὰ κάλπης γύμναζε, ἤτοι τῷ λεγομένῳ τριπήδῳ, ἄχρις οὗ ἱδρώσῃ, καὶ τὸν ἱδρῶτα σαβάνῳ ἀπόμασσε, καὶ τῷ προγεγραμμένῳ βοηθήματι τὸ τούτου σῶμα ἀπόχριε, καὶ λοιπὸν βόσκεσθαι ποίει, ἄχρις οὗ τῆς θεραπείας αἴσθηται. λοιπὸν δὲ καὶ τὰς κατὰ συνήθειαν τροφὰς παρέχε, μίσγων καὶ ἐν ταῖς κριθαῖς ἐρεβίνθων τὸ ἀρκοῦν, καὶ ἐν τῷ πόματι οἶνον. χειμῶνος δὲ ἐν θερμῷ ἱστάσθω τόπῳ, καὶ προποτίσμασι κεχρήσθω θερμοτέροις. συμβάλλεται δὲ τούτῳ καὶ ὑγρᾷ πίσσῃ ἀποχρίεσθαι, καὶ κατὰ τὸν εἰρημένον τρόπον γυμνάζεσθαι οὕτω μέντοι, ὥστε μὴ ὑπὸ τῆς πίσσης τὸ δέρμα βλαβῆναι ἱδρῶτος ἐπιγινομένου. ἐν δὲ τῇ τοῦ πάθους ἀνάγκῃ, ἀφαιμάσσειν ἀχρήσιμον. πολλοὶ δὲ καὶ καυτῆρσι κέχρηνται, ὁπότε εἰ καὶ τὸν καυτῆρα ἐκφύγοι, ἄχρηστος ὑπὸ ἀγωνίας εὑρεθήσεται, ὅτε γὰρ ὁδοιπορίας ἀνέξεται. ἐπιδείξω δὲ λοιπὸν ἐκ ποίων αἰτιῶν ἡ τοιαύτη νόσος συνάγεται, ἡνίκα εἰς τραχεῖαν ὁδὸν βαδίζει, καὶ ὀδυνῶν ἔκ τινος αἰτίας τὸν ἔμπροσθεν πόδα χωλεύοι, καὶ ἀναγκάζεται ἔτι περιπατεῖν καὶ ἱδροῖ, ἀναγκαίως τὰ κατὰ τὴν προλεχθεῖσαν ἀσθένειαν ἐπακολουθεῖ. χειμῶνος δὲ ἡνίκα, ἢ ἀπὸ μακρᾶς ὁδοῦ, ἢ ἀπὸ γυμνασίας ὕπαιθρος ἐν τῷ κρύει, ἢ ἐν τόπῳ ψυχροτέρῳ, ἢ ὑγροτέρῳ στῇ, καὶ εἰ ἄρμον παθὼν μετὰ τὴν τούτου θεραπείαν ἐπ' αὐτὸν καθιδρώσει, τούτῳ τῷ πάθει περιπεσεῖται.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Πρὸ πάντων καυτηριάζειν χρή, συμβάλλονται δὲ καὶ τὰ θερμότερα προποτίσματα, λάσαρον, ἢ κύμινον, ἢ σκόροδον, ἢ δαφνόκοκκα, τούτων ἕκαστον ὅσον ποσὸν καθ' ἡμέραν μετὰ οἴνου διδόμενον εἰς ὑγείαν τὸ ζῶον ἀποκαθίστησι.

θος γίνεται, μήτε μὴν νοῆσαι δυνάμενοι τὰ τούτου σημεῖα ὁποῖα τυγχάνει, ἅπερ ἡμεῖς πολλῷ καμάτῳ ὑπὲρ πολὺ τὰ δὲ τοιαύτης νόσου γνωρίσματα ζητήσαντα εὕρομεν. ἔστι δὲ ταῦτα, τράχηλος ἀποτεταμένος, κυρτωθῆναι μὴ δυνάμενος, κεφαλὴ ὁμοίως, ὦτα ἑστῶτα σκληρὰ, καμφθῆναι μὴ δυνάμενα, ὀφθαλμοὶ μικροί, τὰ τῆς ὄψεως ὀστέα φαινόμενα, δέρμα τεταμένον, καὶ ἀπεσκληρυμμένον, χείλη πεφρυγμένα, ἔχει δὲ καὶ τὸ στόμα μεμυκὸς, οὔτε ἀνοῖξαι οὔτε χασμήσασθαι δυνάμενος, τροφὴν ἢ ποτὸν οὐ προσίεται, ἡ οὐρὰ ἀποσκληρωθεῖσα, ὀρθὴ καὶ ἀκαμπὴς διαμένει, προσχεῖν δὲ διὰ τῶν πλαγίων οὐ δύναται, τὸ βῆμα ἀτάκτως ἀποτίθεται, τοὺς ὀπισθίους πόδας τῶν ἐμπροσθίων προβάλλει οὕτως, ὥστε τοὺς ὄνυχας ἀποξέειν, τοὺς ἐμπροσθίους πόδας κάμψαι οὐ δύναται, καὶ σύμπαντα αὐτοῦ τὰ μέλη διατέταται ἐν τοῖς ὀπισθίοις μέρεσιν, ἢ οὐδέ ποτε, ἢ δυσκόλως τινάσσεται, ἐπεί τε τὰ πρόσω βιαζόμενος, ὀπίσω εἰς ἑαυτὸν ἐφέλκεται, οὗτος δυσχερῶς ἀπουρεῖ, καὶ κυλισθεὶς, ὁπότε ἀνίστασθαι βούλοιτο, δυσχερῶς μὲν ἐκ τῶν ὀπισθίων ἐγείρεται. ἐπὶ δὲ τοὺς νεφροὺς συγκαθίζεται, ὅθεν καὶ ἡ τοῦ ὀπισθοτόνου προσηγορία κατάγεται. θεραπεύσεις δὲ τὸ τοιοῦτο πάθος, χειμῶνος μὲν δυσχερῶς, τῷ δὲ θέρει εἰ θελήσειας μετὰ τῆς δεούσης ἐπιμελείας παρηγορήσῃ, καὶ πρῶτον μὲν ἀλείμμασι χρήσῃ τοιούτοις, στέαρ χοίρειον, ῥητίνην τερεβινθίνην, κηρὸν λελειωμένον, ἐν ταυτῷ ἐλαίῳ ἀναλάμβανε καὶ χρῶ. πολλοὶ δὲ καὶ ὀρόβους ἑψήσαντες, τῷ ὕδατι τὴν κεφαλὴν ἐπαντλοῦσι, τὸ δ' αὐτὸ καὶ ἀπὸ κριθῶν ποιοῦσιν. τινὲς δὲ καὶ ὑπὸ κοπρίας χωννύουσι τὸ κάμνον ζῷον, ἢ εἰς θερμὴν ἄμμον. ποιοῦσι δὲ καὶ προπότισμα τόδε, πεπέρεως κόκκους δέκα, νίτρου γο α', ὀποῦ κυρηναϊκοῦ κυάμου μέγεθος, ταῦτα πάντα κατὰ μόνας λειώσας καὶ μίξας προστιθεὶς ἐλαίου καὶ οἴνου πρωτείου ξέστας δύο καθεκάστην ἡμέραν προπότιζε. πολλοὶ δὲ καὶ τοῦτο συμβάλλεσθαι λέγουσιν, ὅπερ καὶ ἡμῖν διὰ πείρας ἐλήλυθεν, στέατος χοιρείου γράμματα ιϛ', στέατος αἰγείου γράμματα ιϛ', ῥητίνης τερεβινθίνης γράμματα δ', ἐλαίου κεδρίνου ξε. ϛ', ἐλαίου κοινοῦ ξε. δ', ταῦτα πάντα μίξον εἰς

τὰς ἐν τῷ στήθει, εἶτα τὰς περὶ τὴν ἕδραν, καὶ λούειν θερμῷ πολλῷ, εἶτα κηρωτῷ τὸ σῶμα ἐναλείφειν καὶ στρωννύειν ἐν σκότει, καὶ ἠρεμεῖν ἐν τῇ ἱπποστασίᾳ ποιεῖν. ἐπ᾽ ἂν δὲ ἄνεσις γένηται τοῦ σπασμοῦ, φαγεῖν δίδου χόρτον, καταῤῥαίνων αὐτὸν νίτρῳ, κριθῶν δὲ ποίει ἀπέχεσθαι ἕως ἂν ἀσφαλῶς ἔχῃ.

Τετάνου πρόγνωσις, καὶ ἴασις.

Ἐὰν ἵππος τετάνῳ συσχεθῇ, ἡ κεφαλὴ αὐτοῦ ἐν τῷ τραχήλῳ πήγνυται, καὶ οὐ περιστρέφεται εἰ μὴ μόλις, αἵ τε νωτιαῖαι φλέβες συντέτανται ὥσπερ ἐπὶ τῆς ποδάγρας, καὶ τὰ ὦτα βέβληται πλάγια, τό τε στόμα ξηρὸν ἔχει καὶ ἄνικμον καὶ τὰ χείλη. κύαθον οὖν οἴνου ἀκράτου θερμαίνων, καὶ τοῦ ἀπὸ τῆς ποδάγρας φαρμάκου τὸ ἴσον, ὁπότερον ἂν μᾶλλον μυκτῆρος τὸ πνεῦμα ἔχηται, εἰς τοῦτον ἔγχει. ἐὰν δὲ ἐγχέῃς, προχασάτω παραχρῆμα, καὶ μὴ δίδου ἐκείνης τῆς ἡμέρας μηδὲν, ἀλλ᾽ ἢ ἄλευρον πίνειν ἐφ᾽ ἑκάτερον δεῖπνον καὶ ἄριστον.

Ὀπισθοτόνου πρόγνωσις καὶ ἴασις.

Γνῶθι τὸν μὲν τὰ ὦτα τοῦ ἵππου τείνονται ὀρθὰ, καὶ τὸ ὄμμα κατεστραμμένον ἔχει, καὶ οὐ δύναται στρέφεσθαι ἐν μικρῷ, ἀλλὰ περιάγει ὅλον τὸ σῶμα συγκλῶν, καὶ τοὺς πόδας οὐ φέρει κατ᾽ εὐθὺ, καὶ ὁ τράχηλος δὲ σκληρός. εἰ οὖν φθάσει τὸ στόμα συγκλεῖσαι, ἀπολεῖται ἀπὸ λιμοῦ. ἐὰν οὖν προφθάσῃς, καῦσον αὐτὸν ἀρξάμενος ἀπὸ τῶν ὀφθαλμῶν, καίων τὰ κύκλῳ, καὶ ἐν τῷ τραχήλῳ τρεῖς μακρὰς, καὶ ἐπὶ τοῦ λαγόνος χι, καὶ ἐπὶ τῶν κενεώνων ὡσαύτως, καὶ ἐπὶ τῆς ῥάχεως μακρὰς, καὶ ἐπὶ τῆς ὀσφύος παρὰ τὴν ἕδραν τρεῖς ἑκατέρωθεν. ἄλειφε δὲ τὰ τραύματα γλυκέσι, καὶ πυρίᾳ ὄξει, καὶ τὰ ἔγχυμα δίδου ἐπὶ ἡμέραις ἑπτά. τῇ δὲ ὀγδόῃ πλῦναι τὰ ἕλκη ὕδατι θερμῷ, καὶ θεράπευε τῷ λυκίῳ. μότους δὲ ἐρίων πιναρῶν ποίει, βρέχων ἐν μέλιτι.

ΠΕΛΑΓΩΝΙΟΥ ΠΡΟΣ

ὀπισθοτονικούς.

Χρὴ τὸν ἐπιμελέστατον ἱπποτρόφον πρὸ πάντων τοῦτο παραφυλάττειν τὸ πάθος. πολλοὶ γὰρ περὶ ὀπισθοτόνου διάφορα εἰρήκασιν, ἀγνοοῦντες ἐκ ποίας αἰτίας τὸ πάθος γίνε-

θυμιάματος γο ἓξ, κόπρου περιστερᾶς γο ἓξ, χαλβάνης γο β´, νίτρου γο ε´, ἀφρονίτρου γο γ´, λαδάνου λίτραν α´, πυρέθρου δαφνίδων γο γ´, καρδαμώμου γο η´, πηγάνου σπέρματος γο ἓξ, ἄγνου σπέρματος γο δ´, πετροσελίνου γο β´, ἴρεως ξηρᾶς γο ε´, ὑσσώπου γο τρεῖς, καρποβαλσάμου γο τρεῖς, ὀποβαλσάμου λίτρα μία, ἐλαίου ἰρίνου ξε. α´, ἐλαίου νάρδου ξε. β´, ἐλαίου δαφνίνου ξε. α´, ἐλαίου κυπρίνου ξε. γ´, ἐλαίου σφόδρα παλαιοῦ ξε. δ´, πισσοκάπνου ξε. α´, ῥητίνης τερεβινθίνης λίτραν α´, τὰ τηκτὰ πάντα τήξας χωρὶς, εἶτα ὁμοῦ βαλὼν μετὰ τῶν λοιπῶν καὶ ζέσας συμμέτρως διηθήσας εἰς ἀγγεῖον, χρῶ τῷ φαρμάκῳ μετὰ οἴνου. εἰ δὲ τῷ χρόνῳ σκληρὸν γένηται, ἐλαίῳ κυπρίνῳ λῦσον γλοιοῦ πάχος, καὶ χρῶ. καθαίρει δὲ τοῦτο καὶ κεφαλὴν διὰ μυκτήρων διδόμενον.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Κασίας ὁλκὰς τρεῖς, σμύρνης τρωγλίτιδος ὁλκὰς β´, τραγακάνθης ὁλκὴν μίαν, ταῦτα λειοτριβήσας, βάλε εἰς ἑκάστην πόσιν ὁλκὰς γ´, καὶ ὠῶν τὰ λέκιθα, καὶ ἐλαίου κοτύλην μίαν, καὶ οἴνου παλαιοῦ τὸ ἴσον, μέλιτος κοτύλας β´, καὶ ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί. πρὸ τοῦ δὲ τροφὴν λαβεῖν, δίδου ὀρόβων πεφρυγμένων κοτύλην μίαν, ἢ ἐρεγμοῦ ὁμοίως.

Ἄλλο.

Ἐὰν ὑπὸ ὀπισθοτόνου ἐνοχληθῇ ἵππος, ἀνακάθηται ὥσπερ κύων, καὶ ἀκολουθεῖ τὰ ὀπίσθια τοῖς ἐμπροσθίοις. τοῦτον οὖν φλεβοτόμει ἐκ τῶν βουβώνων, καὶ πυρία ὕδατι θερμῷ, εἶτα καταμίξας σύγχριε οἰνελαίῳ καὶ δαφνίσιν. ἐπικείσθω δὲ ἐπὶ τῆς κεφαλῆς ῥάκος, ἢ τῶν ψυῶν τῆς αὐτῆς ἐμβροχῆς, ἐγχυμάτιζε δὲ βαλὼν σμύρνης γο γ´, κρόκου ὁλκὴν μίαν, ἐλαίου κοτύλας δ´, οἴνου ξε. α´.

Ἄλλο.

Κηρὸν ἀμμωνιακὸν, ῥητίνην, κολοφωνίαν, χαλβάνην βδέλλιον, ὀποπάνακα, ἀξούγγιον, θεῖον ἄπυρον, μυελοῦ ἐλαφείου τὸ ἀρκοῦν βαλὼν ἐγχυμάτιζε.

Ἄλλο.

Ἐὰν ἵππος ὑπέρτονος γένηται, ὅλῳ τῷ σώματι τρέμει καὶ ἐπαναστὰς εἰς τοὐπίσω ἀπέρχεται, ἔπειτα ὀρθῶς ἀνίσταται, καὶ τρέμει ὅλος καὶ ἱδροῖ. ἰᾶται δὲ οὕτω, δεῖ λῦσαι τὰς φλέβας

ψύχεται, ψυχθέντος δὲ διαφωνήσει. τοῦτο δὲ ἔγνων ἐγὼ γενό-
μενος ὑπὸ παιονίας βασιλεῖ παρεπόμενος, καὶ ὡς φίλος σὺν αὐ-
τῷ διάγων, καὶ δή ποτε ὑπὸ ἰταλίαν διαβαινόντων ἡμῶν καὶ
τὰς καλουμένας ἄλπεις, χιὼν ἐξαίφνης κατεῤῥάγη πολλὴ πε-
ρὶ πρώτην ὥραν, καὶ οἱ στρατιῶται ἐπὶ τοῖς ἵπποις παρόντες
ἀπόλλυντο, καὶ ἔμενον ὑπὸ τῶν ἵππων συντεταμένοι. σημεῖον
δὲ ἦν τοῦ τεθνηκέναι αὐτούς· ἀνασπωμένων γὰρ τῶν χειλῶν, οἱ ὀδόν-
τες ἐφαίνοντο, καὶ συνέβαινε τὸν ἵππον ἔτι ζῆν. ἔφερε δὲ τὸν
νέκυν τοῦ στρατιώτου ὁ ἵππος, ὁ δὲ νέκυς κατεῖχε καὶ τὸ ὅπλον
καὶ τὴν ἡνίαν, καὶ τεταμένος ἔμενεν, τρόπον τινὰ συμπεφυ-
κὼς τῷ ἵππῳ ὡς ἔργον εἶναι τοῖς ζῶσι καθελεῖν αὐτόν. εἰ δὲ καὶ
ὁ ἵππος συντεθνήκοι, παρεὶς εἱστήκει καὶ ἀπέμενεν. ταῦτα μὲν
ἔπαθον καὶ ἵπποι καὶ ἄνδρες. ἵππος οὖν τότε ἐμὸς τῶν σπου-
δαίων, ἐφ᾽ ᾧ νεανίσκος ἐκάθητο ἐλήφθη ὑπὸ τετάνου, καὶ σφό-
δρα με τὸ πρᾶγμα ἐλύπει, οὐδὲν γὰρ ἵππου καλοῦ καὶ γοργοῦ
προκριτέον. ἦν δὲ ὁ ἵππος γαλλικὸς ἐτῶν ὀκτώ, περὶ δρόμον
ἀκατάσχετος. σφόδρα οὖν ἐμέλησέ μοι σῶσαι τὸν ἵππον, καὶ
ἐπειδὴ κατελθόντες ἐμείναμεν εἰς πόλιν ἐν ᾗ ξύλα δαψιλῶς
ἦν, καὶ ξένος μοι βέλτιστος, ἔστησα αὐτὸν ἐν σταύλῳ μικρῷ, καὶ ἐν
κύκλῳ αὐτοῦ περιέκαυσα ἄκαπνα, νεκρῷ σχεδὸν ὄντι. περὶ
ὥραν οὖν ἀλεκτρυόνας ἤρξατο κινεῖσθαι, ἔχων δὲ ἐν τῷ βυτίῳ
ἔνσπουρον κονδύτον, καὶ ἐπειδὴ τρώγειν οὐκ ἠδύνατο, οὐδὲ κι-
νῆσαι τὰς σιαγόνας, ἄρτους καθαροὺς ἐμβρέξας εἰς αὐτὸν ἀνα-
κεκραμένῳ ἐγχυμάτισα τρίτον. ἦν δὲ καὶ ἄκοπον σκευάσας ἐμαυ-
τῷ διὰ τούτους τοὺς χειμῶνας ἐκ τῶν ἁπλῶν φαρμάκων, ὅπερ
ἀναλύσας ἐλαίῳ κυπρίνῳ, ἔχρισα τὸν ἵππον, ἱδροῦν τε εὐθὺς
ἤρξατο καὶ κινεῖσθαι, καὶ ἐσθίειν, οὗ δὴ καὶ τὴν δύναμιν καὶ τὴν συστα-
σιν ἐκθήσομαι. ἐν δὲ τούτῳ θεραπεύσεις μὲν πάντα τέτανον
ἵππον καὶ τῶν ἄλλων ὑποζυγίων. πάντα δὲ κρυμὸν καὶ τοὺς κατε-
ψυγμένους ἰάσει, καὶ ἡμιξήρους γεγονότας, ἀποκαταστήσεις εἰς
τὸ κατὰ φύσιν, καὶ ὅλως τούτου θερμότερον οὐδὲν οὐδενί, οὐδὲ ἰα-
τρῷ οὐδὲ ἱππιατρῷ ἀναγράφει φάρμακον, οὐδὲ ἀναγραφήσε-
ται. ἔστι δὲ τοῦτο, εὐφορβίου γο. β, καστορίου γο. δ, ἀδάρκης γο.
ἕξ, βδελλίου γο. τρεῖς, πεπέρεως λίτραν μίαν, ἀλώπεκος στέα-
τος γο. β, ὀποπάνακος γο. δ, ὀποῦ λασέρου γο. γ, ἀμμωνιακοῦ
θυμιά-

ἡμέρας γίνεσθαι, ἕως ἂν ἐνδῷ τὸ πάθος, καὶ τὴν λοιπὴν δὲ τροφὴν προσφέρειν παντοδαπήν, μάλιστα ταῖς κριθαῖς μιγνύντα ἐρεβίνθους, ἵνα τὰ χελώνια ἐν κινήσει ᾖ, καὶ τούτοις χρῶ ἐπιβάλλων καὶ ἐπιπάσσων, χειμῶνι δὲ ἐν θερμοτάτῳ ἱστάσθαι τόπῳ ἐσκεπασμένος. ἡ δὲ ῥητίνη τότε πολλὴ μὴ ἐπιμισγέσθω, ἵνα μὴ ἐμφραττόμενοι οἱ πόροι, τὸν ἱδρῶτα ἐγκόψωσιν. ὁ αὐτὸς Ἄψυρτος οὐ δοκιμάζει ἐπὶ τούτῳ τῷ πάθει φλέβα τεμεῖν, κάρφιν. παραξηραίνεσθαι γὰρ ὑπὸ τούτου μᾶλλον τὸ νευρῶδες, ἀλλ᾽ οὐδὲ καυτηρίοις ἐνίοτε χρῆσθαι συμφέρει φησί, καὶ περιαγόμενον δὲ πολὺ καταδεέστερον τὸ ζῷον πρὸς τὴν ὑπηρεσίαν γίνεται. συμβαίνει δὲ τὸ πάθος τόδε ὑπὸ αἰτιῶν κατὰ τὸ πλεῖστον τοιούτων, ὅταν ὁδοιπορῶν ὁ ἵππος προσπταίσῃ τῷ ἐμπροσθίῳ ποδί, καὶ χωλεύων ἐλαύνηται καὶ ἱδρώσῃ. ἢ ὅταν ἐξ ὁδοιπορίας ἱδρωκὼς ἐν κρυμῷ στῇ ὕπαιθρος ἐν λιθοστρώτῳ. ἢ ἐὰν ἐξ ὁδοιπορίας ἱδρωκώς, ἄσιτος στῇ τὴν νύκτα ἐκείνην, ὡς μὴ ἔχειν ἐν κινήσει τὰ χελώνια. ἢ ἐάν ποτε ῥαβδῇ, ἐξ οἵας δήποτ᾽ οὖν αἰτίας περὶ βουβῶνας ὀπισθότονος γίνεται. ἔνιοι δὲ καὶ τούτῳ τῇ βοηθείᾳ ἐχρήσαντο τῷ τρόπῳ, ὅταν αἴσθωνται κατ᾽ ἀρχὰς τοῦ πάθους, εἰσαγαγόντες εἰς βαλανεῖον, καὶ ποιήσαντες ἱδρῶσαι καταμάσσουσιν ἔνδον ξηροῖς σαβάνοις, καὶ μικρὸν ἐξαγαγόντες, καὶ πάλιν εἰσαγαγόντες, ὁμοίως καταμάσσουσι, εἶτα ἔνδον χρίσαντες θερμῷ χρίσματι, τῷ διὰ ὄξους καὶ νίτρου καὶ ἑψήματος, καὶ ᾠῶν καὶ ἐλαίου, σκεπάσαντες στρώμασι θερμοῖς, ἄγουσιν εἰς τὴν ἱπποστασίαν, καὶ λοιπὸν τοῖς ἑτέροις βοηθήμασι χρῶνται οἷς εἰρήκαμεν. ἐὰν δὲ θερμὴν βούλῃ ποιῆσαι, ἄνθρακας καλῶς προεκκεκαυμένους εἰσκόμιζε. ἐὰν γὰρ καπνὸς γένηται, προσεπιτρίβει τὸ ζῷον, καὶ διαφθείρει.

ΘΕΟΜΝΗΣΤΟΥ

εἰς τὸ αὐτό.

Ὁ τέτανος τοῖς ἵπποις καὶ τοῖς ἄλλοις ὑποζυγίοις, οὐκ ἄλλως ἢ ὑπὸ ψύχους γίνεται, ὅταν τὰ στερεὰ πάθη καὶ νευρικὴν συμπάθειαν ὑπομείνῃ. καλεῖται δὲ τέτανος ἀπὸ τοῦ τετάσθαι ὅλον τὸ σῶμα, μάλιστα μὲν ἀπὸ τῆς κεφαλῆς καὶ ὥσπερ καὶ τραχήλου. μέχρι δὲ τότε ζῇ, ἕως ἡ καρδία οὐ

νάτῃ, ὁμοίως ἐστὶν αὐτοῦ καὶ ἡ ῥάχις τεταμένη καὶ σκληρά, ἐπιστρέφεσθαί τε οὐκ ἔστιν οἷός τε, καὶ περιπατῶν μὲν τοῖς ὀπισθίοις σκέλεσιν ὑπερβαίνειν ἀδυνατεῖ, ἀλλὰ καὶ ἀποτεταμένος ὑποσύρει τὰς ὁπλάς, οὐδὲ τοὺς ἐμπροσθίους μηροὺς κάμπτει, καὶ πάντοθεν δὲ συντέταται εἰς τοὐπίσω, καὶ οὐ τινάσσει ἑαυτὸν εἰ μὴ μόγις. συμβαίνει δὲ τούτου, τῶν νεύρων ἀποτεταμένων, συμπάσχει δὲ καὶ ἡ κύστις, ὥστε μετὰ βίας τὰ οὖρα ἐκκρίνεσθαι, πεσὼν δὲ τοῖς ὀπισθίοις ἐγείρεσθαι οὐ δύναται, ἀλλ' ἀνακαθίζει ὡς κύων. τῷ μὲν οὖν χειμῶνι, χαλεπὸν ἀεὶ τοῦ πάθους τούτου διασωθῆναι, ὑπὸ δὲ θέρει καὶ σώσεις ἂν συγχρίσας αὐτὸν ὑείῳ στέατι, καὶ ῥητίνῃ καὶ τερεβινθίνῃ καὶ πεπέρει τετριμμένοις, ἀνεὶς αὐτὰ ἐλαίῳ. ἔνιοι δὲ ὀρόβους ἑψήσαντες καταντλοῦσι τῷ ὕδατι τὴν κεφαλήν. Ἱερώνυμος γε μὴν τάδε συντάσσει, κηρῷ, ῥητίνῃ, μάννῃ, θείῳ, νίτρῳ, ἔλαιον ἐπιβάλλειν, καὶ ἐν χύτρᾳ διατήξαντα, τὸ πλῆθος στοχαζόμενον ὡς πάντα χωρῆσαι, ἀναζεῖν πάνυ, καὶ τὴν κεφαλὴν πυριᾶν ὀρόβοις ἑφθοῖς. εἰ δὲ μή γε κριθαῖς, καὶ τὸ σῶμα σκεπάζειν κωδίοις ἀπλύτοις. παραβάλλειν δὲ φαγεῖν συνεχῶς, ὅπως ἡ σιαγὼν τὴν κίνησιν διηνεκῶς ἔχῃ, διδόναι δὲ καὶ ἐρεβίνθους ὠμούς. Ἄψυρτος δὲ τὰς θεραπείας δοκιμάζει ταύτας, στέατος ὑείου στατῆρας ἑκκαίδεκα, ῥητίνης τερεβινθίνης στατῆρας τέσσαρας, στέατος χηνείου στατῆρας ὀκτώ, κεδρίνου ἐλαίου ἡμικοτύλιον, ἐλαίου κοινοῦ κοτύλας δ', ταῦτα μίξαντας καὶ ἀναζέσαντας, καὶ προσμίξαντας αὐτοῖς ἄλευρον προηψημένον ὕδατι, καὶ νίτρου καὶ ἁλῶν ἑκάστου στατῆρας η', τούτῳ θερμῷ συγχρίειν, διά τε τῶν ῥινῶν ἐγχυματίζειν στέαρ προτήξαντα, εἶτα μέλι χοεῖς τετηκὸς ἐπιχέαντα, καὶ ἔλαιον οἴνῳ συναναζέσαντα διδόναι. χρησόμεθα δὲ προχωρούσης τῆς θεραπείας, καὶ μαλάγματι τῷ διὰ βδελλίου συγκειμένῳ, ἀνιέντες αὐτὸ ἐλαίῳ ἁπλῶς ἐπ' ἀνθράκων, ἢ μᾶλλον κυπρίνῳ, εἶτα τὴν κεφαλὴν καὶ τὸν αὐχένα, καὶ πάντα τόπον τοῦ σώματος ἀνατρίψαντας, χρὴ σκεπάσαι αὐτὸν ἐπιβλήμασιν, εἶτα χαλινωθέντα αὐτὸν ἐπισκεπασθῆναί τινα, καὶ ἐν τόπῳ εὐηλίῳ τρέχειν ποιεῖσθαι, μέχρις ἂν ἱκανῶς ἱδρώσῃ. τότε δὲ καταμάσσοντα τὴν ἰκμάδα πᾶσαν, ἀποτρίβειν κατὰ τρίχα, καὶ πάλιν ὑπὸ αὐτῷ συγχρίσαντα βόσκεσθαι ποιεῖν, τοῦτό τε ἐπὶ ἡμέρας

δόναι κεραμᾶ ποιοῦντας ὑπὸ οἴνῳ, καὶ τὸ νίτρον ἐμπάσσοντας. δαψιλεστέραν δὲ ποιεῖν τὴν σύγχρισιν τοῦ φαρμάκου, καὶ ἱστᾶν χειμῶνος ἐν τόπῳ θερμῷ ἐσκεπασμένον. ἐν δὲ τῇ μίξει τοῦ οἴνου τῇ εἰς τὸ ἔλαιον, ἄθετον τὴν σύγχρισιν ἐπέγνων, ἀναψύχων γὰρ ὁ οἶνος, ἐπισυνδεσμεῖν. ὠφέλιμον δὲ τοῦτο καὶ τὸ ἀλείφειν αὐτὸν πισσελαίῳ, καὶ γυμνάζειν ὡσαύτως. ἔστω δὲ ἡ πίσσα μὴ πολλή, στενοῦνται γὰρ οἱ πόροι, καὶ οὐ συμβαίνει ἱδροῦσθαι. ἐπὶ δὲ τῶν τοιούτων αἵματος ἀφαίρεσις οὐ χρήσιμον, καὶ μηδεὶς λεγέτω ὅτι οἱ πρὸ ἡμῶν ἐχρήσαντο. παρῆλθε γὰρ αὐτοὺς τοῦτο. διακοπτομένων γὰρ τῶν ἐν τοῖς κροτάφοις ἀγγείων, καὶ ἐξαιματιζομένων παραξηραίνεται τὸ νευρῶδες τῶν χελυνίων καὶ οὐκ ἔστιν ἐν κινήσει, καὶ μένει ἄσιβος. οἱ δὲ ταῖς καυτηρίαις χρώμενοι πρὸς τὰ τοιαῦτα, εἰς κόπον φέρουσι, καὶ περιγινόμενος γὰρ ὁ τοιοῦτος, ἐλάττων ἐστὶν εἰς τὴν ὑπηρεσίαν τὸν ἐπίλοιπον χρόνον. ἐπιδείξομεν δὲ διὰ τί καὶ πόθεν συμβαίνει ὀπισθότονος, ὃ οὐδενὶ γέγραπται, ὅταν ὁδοιπορῶν ἡλιόπληκτος γένηται τῷ ἐμπροσθίῳ ποδί, καὶ χωλαίνων ἐλαύνηται καὶ ἱδρώσῃ, εἰς τοῦτο ἐμπίπτει. καὶ ἐὰν ἐξ ὁδοιπορίας γένηται ἱδρωκὼς χειμῶνος καὶ ψύχους, καὶ στῇ ὕπαιθρος, ἢ ἐν λιθοστρώτῳ, καὶ διὰ τοῦτο συμβαίνει, κἂν ἤδη πάγου στῇ ἐκ τῆς ὁδοιπορίας ἱδρωκὼς καὶ ἀσιτήσῃ, ὥστε μὴ ἔχειν ἐν κινήσει τὰ χελύνια, τῇ νυκτὶ ἐκείνῃ συμβήσεται αὐτῷ. καὶ ἐὰν ἔλθῃ ἐσπασμένος τὸν ὦμον, καὶ κατακλιθῇ εἰς πλείονα χρόνον, καὶ καταρτιζόμενος ἱδρώσῃ τὸ αὐτὸ γίνεται. καὶ ἐάν ποτε βωθῇ ἐξ οἵας δήποτε αἰτίας εἰς τὸν βουβῶνα παρὰ τὴν χώραν, δυσχερῶς καὶ οὗτος ὀπισθοτονικὸς γίνεται. ἵνα δὲ μὴ δόξωμεν τῶν πρὸ ἡμῶν μεγάλων ἀνδρῶν ἐκβάλλειν τοὺς ἀφορισμούς, ἔστω καὶ τέτανος ἐν τοῖς προγεγραμμένοις σημείοις.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὀπισθοτονικὸς ἤτοι τετανικός ἐστιν, ὅταν ἔχῃ τὸν τράχηλον ἀποτεταμένον, τὴν κεφαλὴν καὶ τὰ ὦτα ὀρθά, ὀφθαλμοὺς ὑποδεδυκότας, αἵ τε παραγναθίδες αἱ παρὰ τοὺς μυκτῆρας ἐπισπῶνται εἰς τοὔπισω, καὶ τὰ χελύνια πεπίασται, καὶ τὸ στόμα, καὶ ἡ γλῶσσα ἔχεται, καὶ οὔτε ἐσθίειν οὔτε πίνειν δύ-

καταντλοῦσι τὴν κεφαλὴν καὶ ἀποκριθὲν δὲ τὸ αὐτὸ ποιοῦσι. τινὲς δὲ γῦρον ὀρύξαντες ἐν κοπρίᾳ καταχωννύουσι τὸν τοιοῦτον ἢ εἰς ἄμμον ζεστὴν τὸ αὐτὸ ποιοῦσι, καὶ ὕδωρ ἐν ᾧ λέγεται πεπέρεως κόκκους δέκα, κάχρυος τὸ ἴσον, νίτρου ὁλκὴν μίαν, ὀποῦ κυρηναϊκοῦ ἡλίκον κυάμου, ταῦτα ῥίψαι καθ' ἓν, καὶ πάλιν ἐν ταυτῷ μίξας καὶ ἐλαίου ἡμικοτύλιον, καὶ οἴνου εὐώδους κοτύλην μίαν ἐγχυματίζειν διὰ μυκτήρων δὶς τῆς ἡμέρας, καὶ αἷμα δὲ βοείου προσφάτου ἐγχυμάτισον, εἰ δὲ μὴ ἡ ὕδωρ, οἷον ἂν εὑρεθῇ, ἢ λιβανωτοῦ ὁλκὰς τρεῖς, ἁλὸς τὸ ἴσον οἴνου διείς. παλαιούμενον δὲ ὕδωρ βέλτιον τὸ φάρμακον, καὶ ὑγραίνειν δὲ αὐτὸν λέγουσιν οἴνῳ καὶ ἐλαίῳ καὶ νίτρῳ συγχρίοντας, καὶ ῥίψαι ὑπὲρ πλεῖον χρῆσθαι, τά τε πιναρὰ κώδια τούτῳ καταῤῥαίνοντας ἐπιδεσμεῖν, καὶ εἰς τὸν ποτὸν οἶνον μίσγοντας καὶ νίτρον διδόναι. ταῦτα μὲν ἐκείνοις εἴρηται μεγάλοις ἀνδράσιν. ἡμεῖς δὲ ἐχρησάμεθα βοηθήμασι τούτοις, στέατος ὑείου στατῆρας ιϛ̅, καὶ ἀρνείου καὶ αἰγείου τὸ ἴσον, ῥητίνης τερεβινθίνης στατῆρας δ̅, στέατος χηνείου στατῆρας η̅, κεδρίνου ἐλαίου ἡμικοτύλιον, ἐλαίου καθαροῦ κοτύλας δ̅, ταῦτα συντήξαντες, καὶ συναναδεύσαντες αὖθις ἄλευρον προηψημένον ἐν ὕδατι, καὶ νίτρου καὶ ἁλὸς ἑκάστου στατῆρας α̅, τούτῳ θερμῷ συγχρίομεν, καὶ διὰ τῶν ῥινῶν δὲ ἐγχυματίζειν στέαρ χοίρειον καὶ μέλι ἔλαιον συντήξαντας. πρῶτον δὲ δεῖ τήκειν τὸ στέαρ, καὶ τὸ μέλι τετηκὸς χωρὶς ἐπιχέειν καὶ τὸ ἔλαιον, καὶ πάλιν οἴνῳ συναναζέσαντας διδόναι. ἐχρησάμεθα δὲ καὶ τῷ διὰ βδελλίου συγκειμένῳ μαλάγματι, ἀνιέντες αὐτὸ ἐλαίῳ ἐπ' ἀνθράκων. κάλλιον δὲ κυπρίνῳ, μεθ' οὗ τὴν κεφαλὴν δεῖ καὶ τὸν αὐχένα, καὶ πάντα τόπον τοῦ σώματος ὑπαλείφειν, τρίψειν χρωμένους, καὶ σκεπάσαντας αὐτὸν ἐπιβλήμασι, καὶ χαλινώσαντας ἄγειν εἰς τόπον εὐήλιον, γυμνάζοντας δρόμῳ τῷ διὰ τῆς κάλπης ἐπικαθημένου τινὸς αὐτῷ, ὥστε ποιεῖν ἱδρῶσαι ὑπὲρ πλεῖστον, καὶ τὴν ὑγρασίαν πᾶσαν ἀπομάττειν καὶ ἀποτρίβειν τῇ ῥίχα, καὶ οὕτω χρωμένους συγχρίειν καθ' ἡμέραν, καὶ οὐδὲ τὴν νομὴν ἀπολύειν, ἕως ἂν ἐνδῷ τὸ πάθος, καὶ τῇ λοιπῇ δὲ τροφῇ χρῆσθαι παντοδαπῇ, μάλιστα ταῖς κριθαῖς μίσγοντας ἐρεβίνθους, ἵνα ἡ τὰ χελώνια ἐν κινήσῃ, κυάμους δὲ μὴ βάλλειν. ἀπαυδᾷ γὰρ ἁψάμενος αὐτῶν, καὶ τὸ ποτὸν δὲ διδόναι

Πρὸς στραγγουριῶντας ἄλλο.

Νίτρου ὀπτοῦ, ὀποῦ κυρηναϊκοῦ ἀνὰ ὁλκὴν μίαν μίξας, καὶ φοίνικας δύο, καὶ καλῶς καταξέσας, τὸ ἀφέψημα δίδου.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΤΕΤΑΝΙΚΟΥ͂ ΚΑῚ ὈΠΙΣΘΟΤΟΝΙΚΟΥ͂.

ΚΕΦΆΛΑΙΟΝ ΛΔ.

Ἄψυρτος νυμφίῳ ἡφαιστίωνος ἐγὼ καλλιπολίτῃ χαίρειν. ἱπποβοσκοῦντά σε ἐθέλω εἰδέναι, ὅτι λέγουσιν ἐν τοῖς ἀρρωστήμασι τῶν ἵππων τετανικοὺς εἶναι καὶ ὀπισθοτονικούς, οὗτοι τεθελήκασι πλείοσιν ὀνόμασι περιβάλλειν τὸ συμβαῖνον καὶ περιέργοις. ἔστι δὲ ὀπισθότονος, ᾧ παρέπεται τράχηλον ἀποτεταμένον ἔχειν, κεφαλὴν ὡσαύτως, ὦτα ὀρθὰ κάμπτεσθαι μὴ δυνάμενα, ὀφθαλμοὺς ὑποδεδυκότας, αἵ τε ἐπικανθίδες αἱ ἐκ τῶν παρὰ τοὺς μυκτῆρας τόπων ἐπισπώμεναι εἰς τοὐπίσω γυμνοῦνται, καὶ τὰ χελώνια πεπέδηνται, καὶ τὸ στόμα χαίνειν οὐ δύναται, καὶ ἡ γλῶσσα ἔχεται, καὶ οὔτε τρώγει οὔτε πίνει ὁμοίως. ἔστι δὲ τὸ οὐραῖον αὐτοῦ ἐσταλμένον, καὶ ἡ ῥάχις σκληρά, ἐπιστρέφεσθαί τε οὐ δύναται, καὶ περιπατῶν τοῖς ὀπισθίοις σκέλεσιν ὑπερβαίνειν ἀδυνατεῖ, ἀλλὰ ἀποτεταμένας ἐπισύρει τὰς ὁπλάς, καὶ οὐδὲ τοὺς ἐμπροσθίους κάμπτει, παντελῶς τε συντέταται εἰς τοὐπίσω, καὶ οὐκ ἐκτινάσσει ἑαυτόν, ἢ μόγις, καὶ οὐδὲ τὸ προσάντες χωρίον. περιπατεῖν οὐ δύναται, ἀλλ' ὀπίσω πίπτει. συμβαίνει δὲ καὶ τοῦτο αὐτῷ, τῶν ἐν τῷ νώτῳ νεύρων ἀντιτεταμένων, συμπάσχειν τὴν κύστιν, καὶ μετὰ βίας τὰ οὖρα ἐκκρίνειν. ἀναπεσὼν δὲ ἐγείρεσθαι πάλιν τοῖς ὀπισθίοις ἀδυνατεῖ, ἀλλ' ἀνακαθίζει ὡς κύων τοῖς ἐμπροσθίοις, ὅθεν καὶ λέγεται ὀπισθότονος. ἀναφέρει δὲ οὐ ῥαδίως χειμῶνος, θερείας δέ τις βουθῶν, τάχα ἂν ἐπιτύχανει ὡς λέγουσι, συγχρίων αὐτὸν ὑείῳ στέατι, καὶ ῥητίνῃ, καὶ τερεβινθίνῃ, καὶ κηρῷ καὶ πεπέρει τετριμμένῳ ἀναμεμιγμένοις ἐλαίῳ. ἕτεροι δὲ ὀρόβους ἑψήσαντες, τῷ ὕδατι

κατα-

ταίνους καὶ βῆχα. Ἄλλο.

Ἀράχνην λειώσας, μετὰ οἴνου ἐγχυμάτιζε.

Ἄλλο πρὸς στραγγουρίαν.

Λαβὼν ὑείας κόπρου γο. τέσσαρας, οἴνου ξε. α΄, καὶ εἰς ἓν ἀναμίξας καὶ διυλίσας δὸς πιεῖν, καὶ εὐθέως οὐρήσει. Ἄλλο.

Χελιδονίας γο. α΄, κόπρου σαύρας γο. γ΄, περσέας χυλοῦ γο. ἕξ, ὀποβαλσάμου γο. γ΄, ἀλόης γο. γ΄, μέλιτος ἀττικοῦ γο. δ΄, λιβάνου ἀρσενικοῦ γο. γ΄, ἀσβέστου κεκαυμένης γο. γ΄, πεπέρεως λευκοῦ γο. γ΄, στέατος ἑρπετοῦ γο. δ΄, μυελοῦ προβατείου ἐκ τῶν ποδῶν γο. β΄, στέατος χηνείου γο. γ΄, αἵματος περιστερᾶς γο. γ΄, ταῦτα πάντα εἰς θερμὰν ῥίψας δίδου.

Προπότισμα εἰς τὸ αὐτό.

Ἀκόρου ὀβολοὺς τρεῖς, σπέρματος σταφυλίνου ὀξύβαφον, μετὰ οἴνου γλυκέος κοτυλῶν β΄ λειώσας, διὰ τοῦ μυκτῆρος ἔμβαλε, καὶ μετὰ τοῦτο εἰς ἁπαλώτερον τόπον τῇ ἐξ ἔθους ῥοπῇ τὸ ζῶον ἀπουρεῖν παρασκεύαζε. τοῦτο δὲ ποιεῖ καὶ ἡ ῥίζα αὐτοῦ, ἢ τὸ σπέρμα λελειωμένον καὶ μετὰ οἴνου διδόμενον, ἢ σίκυος ἥμερος ὅσον ὀξύβαφον, καὶ κόρεις ἐμβληθεὶς εἰς τὸ οὖς, τοῦ μὲν ἄρρενος εἰς τὸ ἀριστερόν, τῆς δὲ θηλείας εἰς τὸ δεξιόν. ἰᾶται δὲ καὶ ἀσπαράγου ῥίζα κεκομμένη, καὶ εἰς οἶνον παλαιὸν ἀποζεσθεῖσα, καὶ διὰ τῶν μυκτήρων χεομένη, ἢ ἄλευρον σίτινον μετὰ στέατος προβατείου, προσβαλὼν ὕδωρ καθεψήσας ὡσεὶ ξεστῶν δύο πλῆθος, διὰ τοῦ στόματος ἔγχει, ἢ κυμίνου σπέρματος ξε. δ΄ οἴνῳ παλαιῷ μίξας, ἐπὶ τρισὶν ἡμέραις διὰ κέρατος δίδου, καὶ ἢ πράσου χυλὸν ὡς κυάθους ἕξ, καὶ ὄξους σκιλλιτικοῦ κυάθους γ΄, καὶ μέλιτος τὸ ἴσον μίξας διὰ κέρατος τῷ στόματι δίδου, ἢ ὀποπάνακος ξε. ἐν οἴνῳ καὶ μέλιτι μίξας ἐπὶ ἡμέραις ε΄. τρεφέσθω δὲ κριθαῖς ἐπιπολὺ βεβρεγμέναις τῷ ὕδατι καὶ χόρτῳ κεκομμένῳ.

Ἐγχυματισμὸς πρὸς δυσουρίαν.

Ἐὰν κύστις ἐμφραγῇ, μαράθρου χυλόν, καὶ ὀδυρήσου, καὶ αὐτοῦ μίξας καὶ ᾠά, καὶ οἶνον γλυκάζοντα μεθ' ὕδατος κεχλιασμένου ἔγχει εἰς τὴν κύστιν, καὶ ἀνοιχθήσεται.

Ἄλλο.

Ἱππούριν βοτάνην λειώσας μετὰ οἴνου ἐγχυμάτιζε, ἢ καὶ πολλῷ τῷ οὔρου παλαιοῦ τὴν γαστέρα ὑπόχριε.

πρὸς

δακτύλου μίξας, μετὰ οἴνου ἐγχυμάτιζε.

Ῥαφανίδος σπέρμα τρίψας, δίδου διὰ ῥινός. Ἄλλο.

Κρόμμυα μακρὰ πέντε, ἅτε δριμύτερα ὄντα καθαρίσας ἔμβαλε εἰς τὸν δακτύλιον τοῦ ἵππου, καὶ ποίησον ἀναπηδῆσαι. συμβάλλεται δὲ μετὰ τοῦτο καὶ θερμῷ ὕδατι τὰς ψύας τοῦ ζώου ἐπαντλῆσαι. πλανῶνται δέ τινες λέγοντες ὅτι πρῶτον χρὴ ἐμβάλλειν ἔσω γυμνωθεῖσαν τὴν χεῖρα, καὶ τὴν φῦσαν αὐτοῦ διαστρέφειν. βλάπτουσι γὰρ μάλιστα ταύτην τοῖς ὄνυξι καταξαίνοντες. δύσεως δὲ εἰ οὐρεῖ βράδιον, ἀφόδευμα κυνὸς μετὰ ἅλατος, καὶ ἀμμωνιακοῦ, καὶ οἴνου μιγέν. Ἄλλο.

Σκορόδου κεφαλὰς κεκαθαρισμένας δύο, καὶ λειώσας, σὺν οἴνῳ μίξας ἐγχυμάτισον, εἶθ᾽ οὕτω δραμεῖν ποίησον τὸν ἵππον.

Ἄλλο.

Ἑβούλης ἣν Ἕλληνες χαμαιάκτην ὀνομάζουσι, ῥίζαν λειώσας μετὰ οἴνου παλαιοῦ, καὶ ἐκθλίψας, καὶ διὰ ὀθόνης διηθήσας, ἔμβαλε τοῦτο διὰ ἀμφοτέρων τῶν ῥινῶν. δίδου δὲ καὶ μετὰ γλήχωνος ὕδωρ ποιεῖν. Ἄλλο.

Βράθυν τὴν βοτάνην καθεψήσας, ἐξ αὐτοῦ τοῦ θερμοῦ τὰ αἰδοῖα τοῦ ἵππου ἐπάντλησον. εἰ δὲ βραδύτερον οὐρήσει, κόριν ζῶντα εἰς τὸ οὖς αὐτοῦ ἔμβαλε, καὶ ἄλλον ἐπάνω τοῦ αἰδοίου ὅθεν οὐρεῖ ἐπίτριψον, καὶ εὐθέως προχωρήσει. Ἄλλο.

Πράσα ἑψήσας, καὶ ἐκπιέσας τὸν χυλὸν ὡσεὶ ξέστην α´, καὶ συμμίξας οἴνῳ παλαιῷ καὶ ἐλαίου ὀξυβάφῳ, διὰ ῥινὸς ἐγχυμάτιζε, καὶ διακινεῖν παρασκεύαζε. ποίει δὲ τοῦτο ἐπὶ τρισὶν ἡμέραις. Ἄλλο.

Πηλὸν ἀπὸ οὔρου οἱουδήποτε ἵππου γενόμενον, οἴνῳ μιγέντα καὶ διηθέντα, ἔγχει εἰς τὰς ῥῖνας. ὁ δὲ ἐξ οὔρου τοιούτου γενόμενος πηλός, εἰ καὶ ξηρανθῇ, ὅμως τὴν αὐτὴν ἐνέργειαν ἔχει.

Ἄλλο.

Σελίνου ῥίζαν τρίψας μετὰ οἴνου γλυκάζοντος, ἢ μελικράτου διὰ στόματος ἐγχυμάτιζε. Ἄλλο.

Κασίας γο β´, κόστου γο β´, ναρδοστάχυος γο μίαν, κυπέρου ʒ α´, ὑσσώπου κρητικοῦ γο ἕξ, ἀψινθίου ποντικοῦ γο ἕξ, σμύρνης γο α´, ταῦτα ὕδατι καθεψήσας, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί. ποιεῖ δὲ τοῦτο καὶ πρὸς θηρίων ἐκβολάς, καὶ πρὸς τε-

ρων, ὃ καλεῖται εἰλεὸς, καὶ καρδιακὴ, τὰ δὲ ἄλλα πάθη ἐπιμένει περὶ ἡμέρας. εἴωθε δὲ καὶ κριθίασις καὶ πνῖγμα καὶ κοιλίας πόνος συντόμως ἀναιρεῖν, ἐὰν μὴ τάχος βοηθῇ. χρήσιμον δὲ κἀκεῖνο τῷ δυσουριῶντι ποιεῖν, ὅσον ὀξύβαφον οἴνου κοτύλῃ δεύσαντα ἐγχυματίζειν ἀπάγοντα εἰς πηλὸν, ἢ μᾶλλον ἔνθα ἕτερα κτήνη οὔρησαν, καὶ προτρέπεσθαι οὐρεῖν, ἢ κισσοῦ φύλλα ἑψήσαντα ἐν οἴνου γλυκέος λευκοῦ κοτύλαις δύο, καὶ νίτρον λευκὸν ἐπεμβαλόντα, χλιάναντά τε καὶ διὰ μυκτῆρος ἀριστεροῦ ἐγχέαντα, ποιῆσαι διαβιβάζειν. μάγων δὲ ὁ χαλκηδόνιος ἐν τοῖς γεωργικοῖς φησὶν ἐκ τῶν ἐμπροσθίων αὐτοῦ ποδῶν κάτωθεν ὑποξύσαντα, καὶ ἐκ τῶν κατ' ὄνυχα μερῶν τὰ ὑποξύσματα αὐτὰ μετὰ τῆς ὁπλῆς τρίβειν ἐν οἴνῳ, καὶ ἐγχυματίζειν διὰ τῆς ῥινὸς, οὐρήσει γάρ. καλὸν δὲ κἀκεῖνο ὡς σαρμάται χρῶνται, καλύψαντες τὸν ἵππον ἄνωθεν ἀπὸ τοῦ τραχήλου μέχρι τῶν ἰσχίων, ἱματίῳ ὑποθυμιῶσιν ὑπὸ τὴν κοιλίαν, καὶ σὺν ὄρχεις καστόρειον ἐπ' ἀνθράκων, εἶτα ποιοῦσι περιπατεῖν καὶ οὐρεῖ. ὅταν δὲ καθόλου μὴ οὐρῇ, προσάγειν χρὴ πυρίας τὰς διὰ τοῦ θερμοῦ ὕδατος, καὶ ἐγχυματίζειν οἴνου γλυκέος κεκραμένου θερμῷ μὴ πλέον κοτυλῶν δύο, καὶ ὑδρόμελι δὲ ὁμοίως ἐγχυματίζειν διὰ τοῦ ἀριστεροῦ μυκτῆρος. μάλιστα δὲ ἀφεψήματι σεύτλου καὶ μαλάχης διὰ γλυκέος οἴνου ἐγχυματίζειν, καὶ τὸν χόρτον δὲ χλωρὸν διδόναι. εἰ δὲ μὴ ᾖ, μελικράτῳ καταρραίνειν τὸν ξηρὸν, καὶ τὴν ἄλλην τροφὴν ὁμοίως, πτισάνην καὶ τὴν κριθὴν ποιοῦντα. ταῦτα γὰρ χαλάσει τὸ ζῶον, καὶ θηλείας δὲ παρεσαμένης ἐνίοτε ἐρεθιζόμενον οὐρεῖ. δεῖ γε μὴν πείθεσθαι ἀριστοτέλει, ὅς φησιν ἵππον μόνον περιπίπτειν τῷ τῆς δυσουρίας πάθει.

Ἄλλο.

Κράμβης δεσμίδια μετ' αὐτῶν τῶν φύλλων καθεψήσας ἐν ὕδατι ξέστου ἑνὸς, κἀκεῖθεν ἀποπιέσας τὰ φύλλα καὶ ῥίψας τὸ ὕδωρ ἐν ᾧ ἡ κράμβη ἑψήθη, μίξας ἐν οἴνου ἡμίνῃ μιᾷ καὶ ὀξυβάφῳ ἐλαίου ἑνὶ, διὰ τῆς δεξιᾶς ῥινὸς ἐγχυμάτισον, καὶ οὐρήσει.

Ἄλλο.

Ἀψίνθιον μετὰ οἴνου λίτρας μιᾶς καθεψήσας, διὰ τῆς ῥινὸς ἐγχυμάτιζε.

Ἄλλο.

Ὀποπάνακος ὅσον δεῖ πάχος τὸ τελευταῖον τοῦ μικροῦ δακτυ-

στραγγουρία, ὅταν κατὰ σταλαγμόν. ἡ δὲ τρίτη, ὅταν καθόλου μὴ οὐρῇ. καὶ συμβαίνει τὸ πάθος ὅταν ὁδοιπορῶν καὶ δραμὼν δι' ὅλης ἡμέρας μὴ οὐρήσῃ. ἐπὶ τούτῳ γὰρ ὁ ἀπὸ τῆς κύστεως πόρος ἐπὶ τὴν οὐρήθραν ἄγων φλεγμαίνει, καὶ τὰ οὖρα οὐ προΐησιν εὐχερῶς, ἀφ' οὗ ἡ ἀλγηδὼν ἐπιτείνει, καὶ ἀπὸ τοῦ στῆναί τινα χρόνον καὶ μὴ γυμνασθῆναι, δριμεῖς χυμοὶ φερόμενοι ἐπὶ τὴν κύστιν, ἀναδάκνουσι τὰς διόδους τῆς οὐρήσεως. ἔσθ' ὅτε δὲ ἡ στραγγουρία, καὶ δι' ὑπερβολὴν κρύους τῷ χειμῶνι συμβαίνει, διόπερ τοῦ βιαίου πῦρ πλησίον καυθὲν βοηθεῖ. ἀπὸ δὲ βρώσεως ῥοδοδάφνης, οὐχ ὁμοίως ὄνῳ καὶ ἡμιόνῳ βλάπτεται ἵππος, τῷ θερμοτέραν ἔχειν τὴν σύστασιν τοῦ αἵματος. τὰ δὲ σημεῖα ταῦτα, ἴδοις ἂν καὶ ἐν τῷ τὴν γαστέρα ἀλγοῦντι. ὁ γὰρ τῇ δυσουρίᾳ συνεχόμενος, τρέχειν βούλεται καὶ τύπτει τὴν οὐρὰν ὑπὸ τοὺς μηρούς, καὶ κυλιόμενος συγκαθίζει ἐπὶ τὰ ἰσχία, τότε αἰδοῖον προβάλλων κατ' ὀλίγον ὡς μέλλων οὐρεῖν ἐμφαίνει. θεραπευέσθω οὖν οὕτω, πράσων δεσμὴν σὺν τοῖς φύλλοις καθεψήσας, καὶ τὸν χυλὸν ἐκπιέσας ὅσον εἰς κοτύλας δύο, καὶ μίξας οἴνου εὐώδους κοτύλην, καὶ ἐλαίου ὀξύβαφον διὰ τῆς δεξιᾶς ῥινὸς ἐγχυμάτισον, εἶτα περιπατείτω ἠρέμα ὑποτροχάζων καὶ οὐρήσει, καὶ ἀψίνθιον δὲ ὁμοίως ἐν οἴνου κοτύλῃ ἑψήσας ἐγχυμάτιζε, ἢ καὶ ὀποπάνακος κεφαλὴν ὅσον δακτύλου μέγεθος, τρίψας ἐν οἴνου μέτρῳ τῷ προειρημένῳ, ἐγχυμάτιζον. ἢ σελίνου τοῦ καρποῦ κύαθον κόψας, μετὰ οἴνου εὐώδους κοτύλης ποίει ὁμοίως. κάλλιον δὲ εἰ ἑψήσας ἱπποσέλινα δοίης, καὶ ἱππομαράθρου τὰς ῥίζας. ἐνεργεῖ δὲ καὶ τοῦτο, κρόμμυα μακρὰ τὰ δριμέα καθαρίσας ὅσον πέντε, ἔνθες εἰς τὴν ἕδραν, εἶτα περιπατείτω ἐντροχάζων καὶ οὐρήσει. βοηθεῖ δὲ καὶ ἡ τῶν θερμῶν καταντλήσις κατὰ τῶν ἰσχίων, ἢ οὕτως, ἐρεβίνθους τρίψας τοὺς λευκούς, ἢ τοὺς μέλανας ἕψει, εἶτα ὕδωρ ἐπιχέας καὶ ἑρπύλλου δεσμίδια δύο ἐμβαλών, καὶ ποιήσας κοτύλας τρεῖς, ἔγχει διὰ τοῦ στόματος. οὐκ ἐπαινεῖ δὲ Ἄψυρτος τοὺς καθιέντας τὰς χεῖρας διὰ τῆς ἕδρας ὡς διορθοῦντας τὴν κύστιν, μέχρι μὲν γὰρ τῆς ἕδρας οὐκ ἐξικνοῦσιν. ἐνδοτέρω δὲ δυσθέντες, ἐνίοτε κακόν τι ἐργάζονται, φλεγμονῆς ἐγγινομένης τῶν ἐντέρων σφοδρᾶς, ὡς μὴ ὑπομένειν τὴν ἀλγηδόνα, καὶ παραχρῆμα τελευτᾶν, ἢ μετ' ὀλίγον. τρία γὰρ ὀξύτατα πάθη ἐστὶν ἵπποις τε καὶ τοῖς ἄλλοις ὅσα μώνυχας ὁπλὰς ἔχει, κύστις καὶ ἐπίστρο-

ἐνθεῖναι εἰς τὴν ἕδραν. τοῦτο γὰρ βοηθεῖ ἀμφοτέροις, τῷ τε τὴν κοιλίαν ἀλγοῦντι καὶ ἐμπεπρισμένῳ, καὶ τῷ δυσουριῶντι, ποιήσει γὰρ αὐτὸν οὐρῆσαι. ἐπεὶ δὲ ἐν τῇ οὐρήσει ὀδύνης εἰσὶ γένη τρία, ὧν κατὰ τὸ συμβαῖνον ἡ προσηγορία παραλαμβάνεται. δυσουρία γὰρ λέγεται, ὅταν ᾖ δυσκόλως οὐρεῖν. στραγγουρία δὲ, ὅταν κατὰ στράγγα ᾖ προϊέμενος. ἰσχουρία δὲ, ὅταν καθόλου μὴ δύνηται οὐρῆσαι, ὧν αἱ μὲν δύο βοηθοῦνται καθὼς γέγραπται. ὁ δὲ καθόλου μὴ δυνάμενος οὐρεῖν, οὐ ῥαδίως βοηθεῖται, ἀλλὰ κινδυνεύει. προσφερομένων δὲ τῶν διουρητικῶν φαρμάκων ὄντων, ἐπιτείνεται τὸ πάθος κνησμονὴν ἔχοντος τοῦ πόρου. δεῖ δὲ τῷ τοιούτῳ τὰς πυρίας προσάγειν τὰς διὰ θερμοῦ ὕδατος σπόγγῳ περὶ τὴν χώραν λεγομένην, καὶ ἐγχυματισμοῖς χρῆσθαι γλυκέσι κεκραμένοις ἐν θερμῷ ὕδατι ἴσον ἑκατέρου, μὴ πλεῖον κοτυλῶν δύο. τὸ αὐτὸ δὲ καὶ δι' ὑδρομέλιτος ποιοῦντα, ὡσαύτως ἐγχυματίζειν διὰ τῆς ἀριστερᾶς ῥινός. ἁρμόζει δὲ τῷ τοιούτῳ καὶ τὸ ἀφέψημα τοῦ σεύτλου, καὶ τὸ τῆς μαλάχης διὰ τοῦ γλυκέος ἐγχυματίζειν, καὶ τὸν χλωρὸν χόρτον διδόναι. εἰ δὲ οὐκ ἔστιν, μελικράτῳ καταρραίνειν τὸν ξηρόν, ὡσαύτως καὶ τὴν λοιπὴν τροφὴν καταρραίνοντα παραβάλλειν. τοιούτων γὰρ προσφερομένων λύσις γίνεται τοῦ κνησμοῦ, καὶ οὐκ ἐπαίρεται ὁ καυλός. δεῖ δὲ καὶ τὰς κριθὰς ποιοῦντα, πτισάνην καταρραίνειν τῷ μελικράτῳ, καὶ οὕτω διδόναι. ἐὰν δέ ποτε συμβῇ δυσουριάσαι τὴν θήλειαν, παραστατέον αὐτῇ ἄρρενα ἵππον ὡς λαγνότατον, καὶ ἐρεθιζομένη τάχιστα οὐρήσει. ὡς ἐν κεφαλαίῳ δὲ εἰπεῖν αὕτη σοι ἐπίδειξις τούτων τῶν παθῶν καὶ θεραπεία.

Περὶ τοῦ μὴ στραγγουρεῖν ὑποζύγιον
ποταμὸν διαβαῖνον.

Ὅταν γένηται χειμῶνος ὁδοιποροῦντα τὰ ὑποζύγια ἐλθεῖν ἐπὶ ποταμόν, ἐν ᾧ ἐστὶ μέγα ῥεῦμα καὶ βαθύ, ὥστε ἐπικλύζεσθαι τοὺς νώτους αὐτῶν, δεῖ ἀποζεύξαντας ἀναγκάζειν οὐρῆσαι καὶ οὕτως ἐμβιβάζειν. εἰ γὰρ μὴ τοῦτο γένηται, ῥαδίως συμβαίνει ἐν τισὶ τῶν ὑδάτων ἰσχουρίαν γίνεσθαι καὶ στρόφους.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥΤΌ.

Δυσουρίας εἴδη ἐστὶ τρία. δυσουρία, ὅταν χαλεπῶς οὐρῇ.

στραγγ-

γαστέρα ὀδυνᾶται καὶ στροφεῖται, ἢ ὁπόταν ἐν τῷ προσφερομένῳ χόρτῳ ἐμπέσῃ ἐσθίοντι στρουθίου πτερόν, καὶ τοῦτο γὰρ πλησμονὴν παρέχει καὶ στρόφον. γίνεται δὲ καὶ ὃ καλοῦσι βουπρῆστιν, ὅμοιον φαλαγγίῳ ὃ ἐγγεννᾶται ἐν τῷ χόρτῳ, ὃ ἐὰν προσλάβῃ τρώγων, ὡσαύτως ἐμπρησθήσεται καὶ κινδυνεύσει. γίνεται δὲ καὶ διὰ φαυλότητα ὑδάτων καὶ ξενισμόν. ἔσθ' ὅτε δὲ καὶ ἐὰν σκώληκας ἔχῃ, ἢ ἕλμινθας, καὶ διὰ τοῦτο πονεῖ τὴν κοιλίαν, καὶ διὰ μὲν τὰς ἕλμινθας οὐχ οὕτως κινδυνεύει, διὰ τὸ ἔχειν αὐτὰς ἐν τοῖς ἐντέροις καὶ διεξόδους. διὰ δὲ τοὺς σκώληκας καὶ διὰ τὴν τραχύτητα τῆς κοιλίας, περὶ μὴ δυσχερῶς ἐκκαθαίρεσθαι αὐτούς, ὃν ἐπιγνώσῃ ἐν τῷ συμβαίνειν ῥίπτειν ἑαυτὸν καὶ δάκνειν τὴν γλῶσσαν διὰ τὸν πόνον. τούτῳ δὲ τῷ βοηθήματι χρηστέον, τρίβοντας κράμβης φύλλα λειότατα, καὶ οἴνου ἐπιχέοντας πλῆθος ὡς τέσσαρας κοτύλας, καὶ ἐλαίου μίαν ἐγχυματίζειν διὰ τῆς ἀριστερᾶς ῥινός, καὶ θεῖον τρίψαντας μετὰ ἐλαίου, ἐπαλείφειν τὴν κοιλίαν, καὶ ἀψίνθιον δὲ τούτῳ ἁρμόζει, ἑψόμενον ἐν οἴνῳ. βοηθεῖ δὲ καὶ τὰς κριθὰς ἀλείφοντας ἐλαίῳ παραβάλλειν, καὶ μάλιστα περὶ τὰς ἕλμινθας ἔχοντι, καὶ τοῦτο δὲ βοηθεῖ τῷ δυσουροῦντι, περιστερᾶς ὅσον ὀξύβαφον, οἴνου κοτύλῃ διέντα ἐγχυματίζειν, ὁμοίως ὀπὸν συριακόν, ὅσον μέγεθος κυάμου, καὶ νίτρου ὀπτοῦ ὁλκὴν μίαν διέντας ἐν οἴνῳ, ἐγχυματίζειν ὡς προγέγραπται. προκαλούμενοι δὲ αὐτὸ ἄγειν τὴν ἀπούρησιν, ὅπου ἕτερα κτήνη ἐκ τῆς οὐρήσεως φύσημα πεποίηνται, ἐφ' ἣν ἐὰν ἔλθῃ ὡς τάχιστα οὐρήσει. εἰ δὲ οὐκ ἔστιν ἔγγιστα, τοῦτο δεῖ εἰς πηλὸν εἰσάγειν, καὶ ὡσαύτως οὐρήσει. καὶ τοῦτο δὲ ἐκ τῶν γεωργικῶν μάγωνος τοῦ χαλκηδονίου εὕρηται. λέγει γὰρ τοῦ δυσουροῦντος ἵππου τοὺς ἐμπροσθίους πόδας κάτωθεν ὑποξύσαντα ἐκ τοῦ κατ' ὄνυχα μέρους, τὰ ὑποξύσματα αὐτῆς τῆς ὁπλῆς τρίβειν ἐν οἴνῳ ὅσον κοτύλῃ, καὶ ἐγχυματίζειν διὰ τῆς ῥινὸς καὶ οὐρήσει. ἔγνων δὲ ἐγὼ καὶ τοῦτο παρὰ σαρμάτους, δεῖ στήσαντα τὸν ἵππον καταπετάσαι ἀπὸ τοῦ τραχήλου μέχρι τῶν ἰχνῶν ἱμάτιον, καὶ ὑποθυμιᾶν ὑπὸ τὴν κοιλίαν καὶ τοὺς διδύμους, καστόριον ἐπ' ἀνθράκων, εἶτα ὑφελόντα τὸ ἀγγεῖον ἐν ᾧ ὑποθυμιᾶται, ποιῆσαι διακινῆσαι τὸ κτῆνος, καὶ ὡς τάχιστα οὐρήσει. δεῖ δὲ καὶ βάλανον ποιῆσαι ἐξ ἁλός, καὶ μέλιτος ἑφθοῦ ἡλίκον ᾠόν, καὶ

ἐνθεῖναι

φλέβας, καὶ ἐξαιματίζειν τὸ ἀκρομοῦ. δεῖ δὲ καὶ τὴν χεῖρα λι-
πάναντα καθεῖναι εἰς τὴν ἕδραν, καὶ τὰ παρακείμενα ἐμφράγ-
ματα ἐκκομίζεσθαι, καὶ ἁλὸς λεπτοῦ ὅσον ὀξύβαφον, καὶ μέλι-
τος ἐνεῖναι. ἐρεθισμὸν γὰρ παρέχεται τοῦ διατιλῆσαι, καὶ οὕτως
ἀνώδυνος ἔσται. ὡσαύτως δὲ καὶ τοῦτον ὕδατι θερμῷ πολλῷ δεῖ
καταντλεῖν κατὰ τοῦ νώτου καὶ τῶν ἰσχίων. ἐγχυματισμῷ δὲ
κεχρῆσθαι σεύτλου ἀφεψήματι μετὰ οἴνου γλυκέος κοτυ-
λῶν δύο, κοτύλην μίαν μίσγοντα διὰ τῆς ἀριστερᾶς ῥινός, σῦ-
κα τε ἑψήσαντα ἐν ὕδατος κοτύλαις τέτρασι, ῥίψαντα καὶ
μίξαντα νίτρου ὅσον γο α΄ ἐγχυματίζειν. ὡσαύτως πολύφυλ-
λον ἑψήσαντα ἐν οἴνου κοτύλῃ μιᾷ τὸ αὐτὸ ποιεῖν. καὶ ἐμβο-
λιζέτω δέ, καὶ περιπατείτω δρόμῳ μὴ συντόνῳ, ὑποστολῇ δὲ
τῶν κριθῶν χρήσῃ, τὸ ὅλον μὴ διδοὺς μέχρι ἡμερῶν τριῶν, ἐν ᾗ
δὲ συμβέβηκε πόνον μὴ διδόναι. εἰ δὲ χόρτος χλωρός ἐστι, μά-
λιστα ἐκείνῳ χρῶ. τὰς δὲ κριθὰς ἐκ προσαγωγῆς πρόσφερε δι-
ελθουσῶν τῶν ἡμερῶν. ἄριστον δὲ καὶ τὰς αἰτίας εἰδέναι, δι'
ἃς γίνεται τὰ πάθη τῆς δυσουρίας, ἃ οὐδενὶ γέγραπται, συμ-
βαίνει δυσουρία ἐπιπλεῖστον, ὅταν ὁδοιπορῶν ἢ προχάζων δι'
ὅλης ἡμέρας μὴ οὐρήσῃ διὰ τῆς ὁδοῦ, διὸ δεῖ ἀναγκάζειν ἐκνεύ-
οντα, καὶ ἐκκαλεῖσθαι πρὸς τὸ οὐρεῖν. τὸν γὰρ ἀπὸ τῆς φύσεως πό-
ρον ἐπὶ τὸν οὐρητῆρα συμβαίνει φλεγμαίνειν, καὶ μετὰ βίας
προϊέναι τὸ οὖρον, δι' ἣν αἰτίαν ἀλγεῖ καὶ ὀδυνᾶται. ἔσθ' ὅτε
δὲ καὶ διὰ τὸ ἑστάναι καὶ μὴ γυμνάζεσθαι, γεννᾷ χυμοὺς δριμυ-
τάτους, οἵτινες φερόμενοι ἐπὶ τὴν κύστιν, δηγμὸν παρέχουσι
τῇ διόδῳ τῆς οὐρήσεως, καὶ διὰ τοῦτο στραγγουρία. πολλάκις δὲ
καὶ χειμῶνος δι' ὑπερβολὴν ψύχους γίνεται, διὸ δεῖ τῷ τοι-
ούτῳ πῦρ παρακαίειν καὶ οὐρήσει. καὶ τοῦτο δὲ γίνωσκε, ὅτι καὶ ἡ-
μίονος ἐὰν φάγῃ ῥοδοδάφνας, πλείονα ῥῆξιν λαμβάνει ἡ κύ-
στις, διὰ τὸ παραλύεσθαι καὶ ψύχεσθαι τὰς ἐντὸς ἀρτηρίας τὰς
λεγομένας ἐπὶ ῥαχίτιδας αἷς πρόκειται ἡ φῦσα, καὶ διὰ τοῦτο
ῥήγνυται καὶ διαφωνεῖ. ἵππῳ δὲ οὐ δύναται τοῦτο συμβῆναι,
διὰ τὸ θερμότεραν ἔχειν τὴν σύστασιν τοῦ σώματος, καὶ ταχὺ
καταπέπτειν τὰ σιτία. τὴν δὲ γαστέρα συμβαίνει πονεῖν δι'
ὠμότητος, ἤγουν ὅταν μὴ καταπέπτων τὰς κριθὰς ὅλας ἀφοδεύῃ,
ἢ καὶ τούτων ἐμμένωσι πλείονες. ἐμπλησθεὶς γὰρ τοῦ ποτοῦ, τὴν
γαστέρα

δοῖον, καὶ κατὰ σταλαγμὸν προϊέμενος, καὶ ἔμφασιν ἔχων μέλλοντος οὐρεῖν. τὰ μὲν οὖν παρεπόμενα ταῦτα. θεραπεύεται δὲ ὁ δυσουριῶν ἵππος δι᾽ ἐγχυματισμὸν, πράσων καθεψήσας δεσμίδα σὺν τοῖς φύλλοις χρώμενος τῷ χυλῷ, καὶ ἐκπιέζων ὅσον κοτύλας β΄, μιγνύων τε οἴνου εὐώδους κοτύλην, καὶ ἐλαίου ὀξύβαφον διὰ τοῦ ῥινὸς τῆς δεξιᾶς ἐγχυμάτιζε, καὶ περιπατείτω καὶ ἐνδοχαζέτω, καὶ οὐρήσει ἀκωλύτως, ὁμοίως ἀψίνθιον ἑψήσαντα ἐν οἴνου ὅσον κοτύλην ἐγχυματίζειν, ὡσαύτως ὀποπάνακος ὅσον κεφαλὴν δακτύλου τοῦ μικροῦ τρίβοντα, ἐν οἴνου μέτρῳ τῷ αὐτῷ καθὼς προγέγραπται ποιεῖν, ἢ ῥαφάνης σπέρματος τοῦ τρωξίμου κυάθους β΄ τρίψας, οἶνον ἐπίχεε καὶ χρῶ ὡς προείρηται, ἢ σελίνου καρποῦ κύαθον κόψας ὡσαύτως. κάλλιον δὲ, ἐὰν ἢ τὰ ἱπποσέλινα ἑψήσαντα διδόναι ἐν τῷ οἴνῳ, καὶ ἱππομαράθρου τὰς ῥίζας ὡσαύτως ἐγχυματίζειν. ἐνεργεῖ δὲ καὶ τοῦτο, κρόμμυα τὰ μακρὰ ἅ τινὲς δὴ δριμύτερα ἀποκαθάραντα καὶ θλάσαντα, ὅσον ἐντιθέναι εἰς τὴν ἕδραν, καὶ περιπατείτω καὶ ἐνδοχαζέτω, καὶ οὐρήσει. βοηθεῖ δὲ καὶ ἡ τοῦ θερμοῦ ὕδατος καταντλησις διὰ τῶν ἰσχίων γινομένη. οὐκ ἀληθεύουσι δέ τινες ἐν τοῖς τοιούτοις, λέγοντες διορθῶσαι δεῖν τὴν κύστιν, καὶ καθιᾶσι τὴν χεῖρα διὰ τῆς ἕδρας, καὶ τοῦ ἀπολυθυσμένου ἐντέρου, καὶ τῆς κύστεως μὲν ἅψασθαι οὐ δύνανται χεῖρα ἔχοντες ἐν τῷ ἐντέρῳ, καὶ αὐτὴ δὲ πρόσκειται τῷ ἱερῷ ὀστέῳ λεγομένῳ ἐν τῇ τάξει ἑξῆς. οὐδέποτε περαίνουσι. κνησμὸν δὲ παρέχεται ἡ χεὶρ ἐμβεβλημένη τῷ οὐρητικῷ πόρῳ, καὶ ἔσθ᾽ ὅτε ἀπούρησεν, καὶ μέχρι μὲν τῆς ἕδρας ἁπτόμενοι, κακὸν οὐδὲν δύνανται ποιῆσαι. ἐνδοτέρῳ δὲ διωθούμενοι, ἀγαθὸν μὲν οὐδὲν ποιοῦσι, κακὸν δὲ μέγα. διὰ γὰρ τὴν χειροτριβίαν τοῦ ἐντέρου φλεγμονὴ μεγάλη γίνεται, καὶ οὐχ ὑπομένουσι τὸν πόνον, διαφωνεῖ δὲ κατὰ τὸ πλεῖστον τὸ ζῶον παραχρῆμα ἢ μετ᾽ ὀλίγον. τρία γάρ εἰσι ταῦτα τὰ πάθη ὀξύτατα, ἔν τε ἵππῳ καὶ τοῖς ὑποζυγίοις ὅσα μώνυχας ὁπλὰς ἔχει, κύστις καὶ ἐπίστρεψις ἐντέρου ὃ καλεῖται εἰλεὸς καὶ καρδιακός. τὰ δὲ ἄλλα πάθη ὑπομένουσι ἡμέρας ἱκανὰς, καὶ ταῦτα δὲ συντόμως ἀναιρεῖ τοὺς ἵππους. ἐὰν δὲ μὴ τάχιστα βοηθῶνται, κριθίασις, πνίγμα, κοιλίας πόνος. περὶ δὲ τὴν γαστέρα ὀδυνωμένῳ χρὴ βοηθεῖν οὕτως, διακόπτειν τὰς ἐν τῷ στήθει

φλέβας,

διὰ τῶν σκελῶν τῶν ἐμπροσθίων ὑπὸ κάτω τῶν γονάτων. ἐὰν δὲ μὴ οὕτως ὑγιὴς γένηται, καῖε κατὰ τὴν πλευρὰν τὴν τρίτην ὑπὸ κάτω τῆς μασχάλης ἀνὰ μέσον τῶν πλευρῶν ῥάβδοις, τέσσαρας δακτύλους ἀπὸ ἀμφοτέρων τῶν καύσεων διαλιπών.

Βατράχους λιμναίους μετὰ οἴνου χλιάνας, διὰ τοῦ στόματος ἐγχυμάτιζε ἐπὶ τρισὶν ἡμέραις.

Προπότισμα ἡπατικόν.

Στροβίλους λεπτοτάτους, κρόκου γο α', καὶ κυμίνου αἰθιοπικοῦ τὸ ἴσον ἐπιμελέστατα λειώσας, ἐν οἴνῳ δίδου, ἢ πολεμώνιον τὸ ἐν τοῖς ἕλεσι τικτόμενον, ὅπερ ἔοικε καλαμίνθῃ, ποιότητα ἔχον πικράν, ἢ καὶ ὀρίγανον ἀγρίαν μετὰ πεπέρεως λείου, καὶ διὰ οἴνου, ἢ βούτυρον καὶ μέλι, καὶ ὀποπάνακα καὶ σμύρναν ἐν ἴσῳ σταθμῷ λειώσας, καὶ οἴνῳ μίξας, διὰ μυκτήρων ἐγχυμάτιζε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΔΥΣΟΥΡΊΑΣ ΚΑῚ κοιλίας ἀλγήματος, καὶ στραγγουρίας καὶ ἰσχουρίας.

ΚΕΦΆΛΑΙΟΝ ΛΓ.

Δέσποτα αἰλιανὲ ἐδηλώθη μοι ἐπιζητηκέναι σε, ὅτι οἱ πλεῖστοι τῶν ἱππιατρῶν τινὰ πάθη τῶν συμβαινόντων ἐν τοῖς ἵπποις μὴ ἀφορισάμενοι, τἀναντία προσφέρουσι βοηθήματα. ἀλγοῦντι γὰρ τὴν κοιλίαν, ὡς δυσουροῦντι βοηθοῦσι, καὶ ῥῆξιν λαμβάνει τὸ ζῷον. συμβαίνει δὲ ἐν τῷ ἀλγεῖν τὴν κοιλίαν, καὶ σημεῖα φέρειν τάδε, ἱδροῖ τὰς πλευρὰς καὶ τοὺς διδύμους καὶ τὰς λαγόνας, καὶ ἡ γαστὴρ μετέωρος, καὶ τοῖς ποσὶ τύπτει τὴν γῆν, καὶ ἐπιστρέφεται πρὸς ἑκάτερα, οἱονεὶ δεικνύων τὸν ἀλγοῦντα τόπον, ἔσθ' ὅτε δὲ καὶ τρόμος ἐπιγίνεται τῷ ὅλῳ σώματι. ταῦτα δὲ καὶ τῷ δυσουροῦντι συμβαίνει, ὃς ἐπιγνωσθήσεται πρὸς τούτοις, ὅταν ἢ τρέχων καὶ μαστίζων ὑπὸ τοῦ μηροῦ τῇ οὐρᾷ ἑαυτοῦ, καὶ κυλιόμενος συγκαθιεὶς τὰ ἰσχία προβάλλων τὸ αἰ-

δοῖον

αὐτοῦ γίνονται μοχθηροί, καὶ ἐσθίων λαβρότερον ποτὸν οὐ προσίεται. τῷ οὖν οὕτω πάσχοντι ἔσται ἁρμόδιος ἐγχυματισμὸς οὗτος, μέλιτος λίτραν μίαν, νίτρου λίτρας τε ἥμισυ, οἴνου λευκοῦ κοτύλην, ὕδατος κοτύλας β΄ μίξας ἐν ταυτῷ, ἐγχυμάτιζε διὰ τοῦ δεξιοῦ μυκτῆρος, ἐπὶ ἡμέραις ε΄. ἐὰν δὲ μὴ ὑγιαίνῃ, ἄφελε αὐτοῦ αἷμα ἀπὸ τῶν ἐμπροσθίων ποδῶν, καὶ καῖε αὐτοῦ τὴν τρίτην πλευρὰν ἀπὸ τῆς μασχάλης ῥάβδῳ, καὶ ἐπὶ ἀμφοτέρων τῶν καμπτῶν διαλιπὼν πλευρὰν μίαν. ἐχέτω δὲ ἐπὶ ἕκαστον καμπτὸν ἡ ῥάβδος τοῦ καυτηρίου, δακτύλους δ΄.

ΑΛΛΟ ΑΓΑΘΟΤΥΧΟΥ.

Τὸ ἧπαρ ἀλγῶν ἵππος, σημεῖα ποιεῖ τάδε, ὀγκοῦται τὴν λαγόνα τὴν δεξιάν, ἀναπνοὴν ἀγρίαν ἔχει, ἐν τοῖς δρόμοις τε ὑστερεῖ, καὶ ἐν τῷ περιπατεῖν, βράδιον κινεῖ τὰ ὀπίσθια σκέλη, καὶ τὴν κοίτην ἀποφεύγει. διαιτηθήσεται δὲ μάλιστα τῇ ὑγιαζούσῃ καὶ ὑγροτέρᾳ τροφῇ καὶ περιπάτοις κουφοτέροις, ἀπεχόμενός τε γυμνασίας. τὴν τροφὴν δὲ αὐτῷ δίδου κατ᾽ ὀλίγον, καὶ κοίτην εὐτρέπιζε μαλακωτάτην, καὶ ἐνάλειφε λιπαρῶς, τὸ δὲ ὕδωρ δίδου συνεψημένον ἀβροτόνῳ. διὰ γὰρ τῶν ποτῶν μᾶλλον, ἢ τῶν ἐγχυματισμῶν θεραπεύεται.

ΑΛΛΟ ΙΠΠΟΚΡΑΤΟΥΣ.

Ἐὰν ἵππος τὸ ἧπαρ ἀλγήσῃ ἀπὸ δρόμου, οἵ τε κενεῶνες ἑλκοῦνται, καὶ περὶ τὸν πνεύμονα ῥῆγμα γίνεται, καὶ συμπίπτει τὸ σῶμα, καὶ τροφὴν οὐ προσίεται, τότε αἷμα ἐν ταῖς φλεψὶν ἀνατρέχει. θεραπεύσεις οὖν ἀφαιρῶν αἷμα ἀπὸ τοῦ αὐχένος καὶ ἐγχυματίζων σμύρνης καὶ λιβάνου ὁλκὴν, μετὰ οἴνου κοτύλης μιᾶς. σύγχει δὲ καὶ οἰνελαίῳ, καὶ δίδου ποτὸν σεμίδαλιν διακεχυλωμένην ὕδατι, καὶ τροφὴν εἰ ὀρέγεται. εἰ δὲ ἐπιμένει τὸ πάθος, καὶ ἀπὸ τῶν μασχαλῶν ἀμφοτέρων αἷμα λάμβανε. γίνεται δὲ ἐνίοις τοῦτο ὅταν ἐν ψηφῖσι καὶ τραχέσι καὶ λιθοστρώτοις χωρίοις σφοδρότερον δράμωσι, καὶ πίτυος ἢ κυμίνου ὀξύβαφον μετὰ οἰνελαίου ἐγχυμάτιζε. Ἄλλο.

Μέλιτος καὶ νίτρου ἀνὰ ὀξύβαφον, κυμίνου ὀξύβαφα δύο διεὶς οἴνῳ ἐν ταυτῷ, καὶ ἐλαίου καὶ ὕδατος ἐπιχέας κοτύλας β΄ ἔγχει εἰς τὸν μυκτῆρα. ἐὰν δὲ μὴ ὑγιὴς γένηται, αἷμα ἄφελε

κόκκων κε΄, εἰς θυίαν λεάνας σὺν χυλῷ κεράμβης διὰ κέρατος ἐγχυμάτιζε, ἢ ἀστραγάλους χοιρείους τρεῖς, ὧν ὀδόντες ἀνθρώπων οὔπω ἥψαντο καύσας, καὶ ἐν οἴνῳ καὶ ἐλαίῳ ὅσον πλῆθος ἡμίνης λειώσας ἐγχυμάτιζε.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΤΟΥ ΗΠΑΡ ΑΛΓΟΥΝΤΟΣ.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ.

Ἧπαρ ἵππος πονῶν, ἐπιστρέφεται πυκνά, βλέπων τὸν ἀλγοῦντα τόπον καὶ οἷα δάκνυς, στένει τε καὶ τὸ στόμα κατάξηρον ἔχει, τήν τε γλῶσσαν τραχεῖαν καὶ ἐπικεκαυμένην, καὶ ἀναπίπτων ἐπιστρέφεται, μὴ κατακλινόμενος ἐπ᾽ ἐκεῖνο τὸ μέρος, καὶ κυλιόμενος πόνους ἔχει, καὶ διεγείρεται πυκνά. θεραπεύεται δὲ περιπάτοις ὀλίγοις ἐσκεπασμένος ὑποβλήμασι πλείοσιν εἰς τὴν κατάκλισιν, καὶ τρίψει δι᾽ οἴνου καὶ ἐλαίου, καὶ πόματι ὕδατι ψυχρῷ μετὰ νίτρου, μὴ καθ᾽ ἡμέραν δὲ τὸ νίτρον. ὠφέλιμον δὲ καὶ τὸ πολύφυλλον ἐν οἴνῳ ἑψόμενον ἐγχυματιζόμενον διὰ τοῦ στόματος, ἢ τοῦ δεξιοῦ μυκτῆρος. δεῖ δὲ καὶ ἶριν ἰλλυρικὴν ἕψοντας ἐν ὕδατι κεκραμένῳ ἐν οἴνῳ, εἰς πλῆθος κοτυλῶν δύο τὸ αὐτὸ ποιεῖν. ἄριστον δὲ καὶ τὴν πολεμώνιον βοτάνην τρίβειν μετὰ οἴνου, καὶ ὡσαύτως ἐγχυματίζειν, ἥτις ἐστὶν ὁμοία καλαμίνθῃ τῇ πλατείᾳ. πολιωτέρα δὲ μᾶλλον καὶ πικροτέρα, ὀσμὴν ἔχουσα βαρεῖαν, γίνεται δὲ ἐν τοῖς ὑγροῖς λειμῶσιν. ἢ κόνυζαν τὴν ὑπό τινων κνύζαν λεγομένην, δεῖ ἕψειν καὶ μετ᾽ οἴνου καὶ ἐλαίου ἐγχυματίζειν. ἔστωσαν δὲ αἱ κριθαὶ βεβρεγμέναι ὕδατι θερμῷ, ἃς παραβάλλειν χρή. ἁρμόζει δὲ ἡ πολεμώνιος καὶ ἐπ᾽ ἀνθρώπων κοπτομένη ὡσαύτως, καὶ καταπλασσομένη. καὶ ἡ κόνυζα δὲ τὸ αὐτὸ ποιήσει, προβαλλομένη καὶ ἐλαίου.

ΑΛΛΟ ΘΕΟΜΝΗΣΤΟΥ.

Ἐὰν τὸ ἧπαρ ἀλγήσῃ ἵππος, βήσσων στένει, καὶ οἱ ὀφθαλμοὶ

ΕΥΜΗΛΟΥ ΠΡΟΣ ΚΟΙΛΙΑΣ πόνον ἀπὸ ἑλμίνθων.

Εν δὲ πινομένῳ τῷ αὐτῷ ὕδατι καὶ τῷ ἐσθιομένῳ χόρτῳ νίτρον ὀλίγον ἐμβαλὼν, καὶ κεράμβης χυλὸν οἴνου γλυκέος κοτύλῃ μιᾷ συμμίξας, καὶ διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἐγχυματίσας θεραπεύσεις, ἢ χαμαίμηλον οἴνῳ καὶ ἐλαίῳ συλλεάνας, διὰ κέρατος ἐγχυματίζας.

Πρὸς σκώληκας κοιλίας καὶ στρόφους.

Τῇ κοιλίᾳ πόνος πέφυκε τίκτεσθαι, ἡνίκα δ' ἄγμασι τὰ πλησιάζοντα μέλη σκώληκες ἐπινέμονται. Βασανίζεται δὲ συνεχῶς τὸ ζῶον καὶ κυλίεται, καὶ ἡ κοιλία δ' ὀγκοῦται καὶ τὴν ὄψιν εἰς τὸ στόμα, πλεονάκις πρὸς τὴν γαστέρα φέρει. θεραπεία οὖν τῇ προγεγραμμένῃ χρῶ, πρόσμιγε δὲ ἢ βούλει καὶ κενταύριον, ἢ καὶ σικύου ἀγρίου ῥίζαν.

Πρὸς ὀδύνας κοιλίας κλύσμα.

Νίτρον καὶ ἔλαιον ἴσως μίξας σεύτλίου χλωροῦ, καὶ κεφαλῆς αἰγὸς ἑψηθείσης, καὶ ἀλέκτορος ζωμὸν, καὶ πτισάνης χυλὸν καὶ ποιήσας πλῆθος κοτυλῶν δύο, κλύζε τὸ ζῶον. ὀδύνης δὲ ἐπιγινομένης πυρία, ἢ σελίνου καρπὸν καὶ χαμαίδρυον ῥίψας, καὶ ξηράνας μετὰ σμύρνης, ἐν οἴνῳ λευκῷ δοὺς λεάνας ἐγχυμάτιζε.

ΠΕΛΑΓΩΝΙΟΥ ΠΡΟΣ ΟΔΥΝΑΣ κοιλίας καὶ πόνους.

Πάνακος ῥίζης γράμματα δύο, ἀριστολοχείας γράμμα ἓν ἐν οἴνῳ δοὺς λεάνας ἐγχυμάτιζε, ἢ πηγάνου σπέρμα πρὸς ὀξύβαφον ἓν μετὰ οἴνου παλαιοῦ. Ἄλλο.

Στρύχνου καὶ καρδάμου σπέρμα, ἐν οἴνῳ καὶ ἐλαίῳ λεάνας καὶ χλιάνας δίδου, ἢ σακτῇ μετὰ οἴνου παλαιοῦ ξε. α, καὶ ὀλίγου ἅλας μίξας, καὶ ἐμβαλὼν ἐν αὐτῇ τῇ κατασκευῇ σίδηρον πεπυρακτωμένον, καὶ οὕτως χλιάνας δίδου, ἢ κόπρῳ ἀνθρωπίνῃ τὸν οὐρανίσκον τοῦ ζώου περίτριβε. Ἄλλο.

Κόπρον λαγωῶν μετὰ κοχλιαρίων μέλιτος θ', καὶ πεπέρεως κόκκων

ὃ καλοῦσι βουπρῆστιν. πίμπραται γὰρ ὥσπερ ὡς καὶ ῥίπτειν ἑαυτὸν εἰς τὴν γῆν ὑπὸ τῆς ἀλγηδόνος. βοηθεῖται οὖν, κράμβης φύλλοις λεανθεῖσι, καὶ οἴνου κοτύλαις τέτρασι, καὶ ἐλαίου κοτύλῃ μιᾷ, ἐγχυματισθεὶς διὰ μυκτῆρος ἀριστεροῦ, ἢ ἀψινθίῳ ἑψηθέντι ἐν οἴνῳ. ἀλειφέσθω δὲ καὶ ἡ κοιλία θείῳ τριφθέντι ἐν ἐλαίῳ γινομένῳ ὑγρῷ, αἱ δὲ κριθαί, ἀλειφόμεναι ὕδατι σευτλίῳ παραβαλλέσθωσαν. τῷ δ' αὐτῷ καὶ τοῖς ἕλμινθας ἔχουσι βοηθεῖ.

ΘΕΟΜΝΗΣΤΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀλγεῖ τὴν κοιλίαν ἵππος, εἰ μὴ πέψῃ τὰ σιτία, ἀλλ' ὁλοκλήρους τὰς κριθὰς ἀποβάλῃ, ἢ καὶ εἰ τούτων ἔτι τινὲς ἐμμένωσι τῇ γαστρί. πίνει γὰρ διὰ τὸ τῆς δυσπεψίας πλεῖον καὶ μᾶλλον, αἱ κριθαὶ ἀνοιδαίνουσιν ἐκ τῆς ὑγρασίας, καὶ ἐμπίπλαται καὶ στροφεῖται, καὶ ἐὰν μὴ διαχωρήσῃ θᾶττον, κινδυνεύει. δεῖ οὖν χρῆσθαι κλυσμοῖς διὰ τῆς ἕδρας ἐνιέντας ὑδρέλαιον, καὶ αὐτῇ δὲ τῇ χειρὶ ἀληλιμμένῃ ἐλαίῳ, ἐκκοπρίζειν αὐτὸν συνεχόντως, ἐντιθέναι τε καὶ πάσιλον μετὰ ἀσκαμωνίας ὡς ᾠὸν εἰς τὴν ἕδραν, καὶ λυθήσεται ἡ γαστήρ. σημεῖα δὲ τούτῳ τὰ μὲν ἄλλα ὅμοια τῷ δυσουροῦντι. ἰδίως δὲ δάκνει ἑαυτὸν καὶ τὴν γαστέρα περιρρήγνυσιν, ἀδημονῶν τῇ δυσαρεστίᾳ. δεῖ δὲ ἐγχυματίζειν αὐτὸν διὰ τῆς ἀριστερᾶς ῥινός, κράμβης χυλῷ δι' οἰνελαίου, ἔστω δὲ τὸ πλῆθος, οἴνου ξε. εἷς, καὶ ἐλαίου ξε. τέταρτον καὶ κράμβης χυλοῦ τὸ ἴσον. συμβαίνει δὲ πολλάκις καὶ διὰ ἑτέρων πλειόνων αἰτιῶν ἀλγεῖν τὴν κοιλίαν, ὅταν βουπρῆστιν φάγῃ ἐν τῷ χόρτῳ. ἔστι δὲ ὅμοιος φαλαγγίῳ σκώληξ, ἢ ὅταν ἀράχνιον ἢ τὸν λεγόμενον λύκον φαλάγγιον, ὅπερ πολλάκις ἐν τῷ χόρτῳ γίνεται. συμβαίνει δὲ καὶ διὰ φαυλότητα ὑδάτων καὶ ξενισμόν, καὶ τούτου τοῦ πάθους προσφάτου ὄντος ὁ ἐγχυματισμὸς ἁρμόζει, ἀλγεῖ δὲ τὴν κοιλίαν καὶ ἀπὸ ἑλμίνθων. ὅτε οὖν ἀλγεῖ καὶ συνεχῶς κυλίεται, χρὴ ἐγχυματίζειν αὐτὸν ψυλλίου ξηροῦ κεκομμένου γο α', ὀποπάνακος γο ς', ἐλαφείου κέρατος πρίσματος γο α', μεμιγμένα ἐν ὑδρομέλιτι. ἐχέτω δὲ τὸ ὕδωρ ἡδυόσμου ἀφέψημα, καὶ ἀκρεμόνων ἁπαλῶν δάφνης. ἐὰν δὲ ἐκ τούτου τοῦ πάθους δυσουρία ἐπιγίνηται, ἐγχυμάτιζε δι' ἐλαίου, καὶ κρητικοῦ ὀποπάνακος δραχμὴν μίαν.

Εὐμήλου

ΙΕΡΟΚΛΕους

ΠΕΡῚ ΚΟΙΛΊΑΣ ἈΛΓΟΎΣΗΣ.

ΚΕΦΆΛΑΙΟΝ ΛΑ.

Ὅταν κοιλίαν ἵππος ἀλγῇ, μάλιστα προσέχειν χρὴ τοῖς σημείοις. ἔνιοι γὰρ ὡς δυσουρίας συνεχομένους θεραπεύοντας, ῥῆξιν ἐνεργάζονται τῷ ζώῳ, δεῖ δὲ αὐτὸ στένως τῇ κοιλίᾳ. ἱδροῖ τοίνυν τὰς πλευρὰς, τάς τε λαγόνας καὶ τοὺς ὄρχεις, ἥ τε γαστὴρ μετέωρός ἐστι, καὶ τύπτει τοῖς ποσὶ τὸ ἔδαφος, καὶ ἐπιστρέφεται καθ᾽ ἑκάτερα πρὸς τὸ πάσχον, οἱονεὶ δεικνὺς τὸν ἀλγοῦντα τόπον, ἐνίοτε δὲ τρέμει ὅλῳ τῷ σώματι. ἀλλὰ ταῦτα μὲν καὶ τῷ δυσουριῶντι γίνεται, τὰ λοιπὰ οὐ ποιεῖ, ἀφ᾽ ὧν ὁ δυσουριῶν γνωρίζεται, περὶ οὗ ἐφεξῆς ἐροῦμεν. νῦν δὲ πρόκειται περὶ τὴν κοιλίαν ἀλγοῦντος εἰπεῖν, ὡς θεραπεύεται. διακόψας τὰς ἐν τῷ στήθει φλέβας, αἷμα ἀφαίρει τὸ ἀρκοῦν, καὶ τὴν χεῖρα ἀλείψας, καὶ καθεὶς διὰ τῆς ἕδρας, τά τε περικείμενα ἐμφράγματα ἐκκομίσας, καὶ ἁλῶν λεπτῶν ὅσον ὀξύβαφον ἐνι εἰς ἐρέθιζε, ὥστε διατιλῆσαι καὶ ἀνώδυνος ἔσται. καὶ καταντλεῖσθαι δὲ αὐτὸν χρήσιμον ὕδατι θερμῷ πολλῷ κατὰ τοῦ νώτου καὶ τῶν ἰσχίων, καὶ ἐγχυματίζειν σεύτλου ἀφεψήματι μετὰ οἴνου γλυκέος β' κοτυλῶν διὰ τοῦ ἀριστεροῦ μυκτῆρος, ἢ σῦκα ἑψήσαντας ἐν οἴνου κοτύλαις τέτρασιν, καὶ νίτρου τετριμμένου οὐγγίαν μίξαντας ἐγχυματίζειν, ἢ πολύφυλλον ὁμοίως, ἐν οἴνου κοτύλῃ μιᾷ καὶ ἡμισείᾳ ἑψήσαντα, περιπατείτω τε ἐπιτροχάζων μὴ συντόνως, καὶ κριθὰς μὴ ἐσθιέτω ἐπὶ ἡμέραις τρεῖς, ἐν ᾗ δὲ συμβέβηκεν ἡμέρᾳ. μὴ δὲ ποτιζέσθω, τὸν μέντοι χόρτον μάλιστα χλωρὸν ἐσθιέτω, καὶ κριθὰς μετὰ τῆς ἡμέρας ἐκ προσαγωγῆς. καλὸν δὲ καὶ τὴν αἰτίαν τῆς ἀλγηδόνος μαθεῖν, ὅταν ἐκ πολλοῦ δρόμου στὰς καὶ φαγὼν κριθὰς, μὴ καταπέψῃ, ἀλλ᾽ αἱ πλείους ἐμμένωσιν ἀδιοίκητοι, ἐπιπλεῖστον στροφεῖται, ἢ εἰ ἐμπεσὸν εἰς τὸν χόρτον, φάγῃ ἀράχνιον μικρὸν ὅμοιον φαλαγγίῳ,

Ἰσχίου ἴασις.

Ἐὰν ἵππος ἰσχίον ἀλγῇ, παρασύρεται τοῖς ὀπισθίοις σκέλεσιν ὥσπερ δεδεμένος. ἄφελε οὖν ἐξ ἑκατέρων τῶν βουβώνων αὐτοῦ αἷμα ὡσεὶ κοτύλας δ΄, καὶ ὕδατι πολλῷ θερμῷ κατάντλει, καὶ καταφυσῶν οἴνῳ καὶ ἐλαίῳ ἀνάτριβε, καὶ μὲν οὕτως ὑγιὴς γένηται. εἰ δὲ μὴ, καῦσον αὐτὸν, στρογγύλους ἐν ἑκατέρῳ ἰσχίῳ ξίβον, καὶ ἐπιμελοῦ καθὼς γέγραπται.

Ἄλλο.

Ἐὰν ἵππος ἀπὸ ὀπισθοτόνου, ἢ ἄλλοθέν ποθεν τὸ ἰσχίον ἀλγῇ, τὴν οὐρὰν ἀνατείνας διάσκεψαι τὰς φλέβας, καὶ τὴν κατατεταμένην τῇ οὐρᾷ, ἂν ᾖ μετέωρος, χάσον φλέβα, καὶ ὑγιαίνει.

Ἄλλο.

Ὅταν συνέχηται ἵππος περὶ πάθει τούτῳ, συνεχέστερον ἀναπνεῖ, καὶ πόνους περὶ τὰς ψύας ἔχει καὶ τὴν ῥάχιν. θεραπεία οὖν ταύτῃ χρηστέον, ἀπὸ τῶν μηρῶν ἄφελε αἷμα, καὶ ἀπὸ τῆς ὁπλῆς ἀνακολλήματί τινι καὶ πυρίᾳ χρῶ, καὶ ἵστα ἐν τόπῳ θερμῷ.

Ἄκοπον ἰσχιαδικοῖς.

Κολοφωνίας λίτραν μίαν, τερεβινθίνης, ἐλαίου παλαιοῦ ἀνὰ λίτρας μιᾶς ἡμισείας, ὀποπάνακος γο α ς΄, χαλβάνης οὐγγίας β΄.

Ἄλλο εἰς τὸ αὐτό.

Εὐφορβίου γο α΄, ἀδάρκης γο α ς΄, ἀλκυονίου γο α ς΄, κηροῦ γο γ΄, δαφνίδων γο δ΄, πεπέρεως γο α΄, κυπρίνου ἐλαίου γο β΄.

Περὶ ἰσχίου ῥῆξιν παθόντος.

Ἀσθμαίνει πυκνὰ, καὶ στένει, καὶ τὴν κοιλίαν πεφυσημένην ἔχει. διαψηλάφησον οὖν τὴν ὀσφύν, καὶ τοὺς ἀλγοῦντας τόπους σημειοῦ, καὶ συμποδίσας τὸν ἵππον, καυτηρίασον, καὶ ἐπακολουθήσει τὸ ὑγρὸν ὥσπερ ᾠοῦ διεφθαρμένου λευκός. ἅλας οὖν λεπτὸν λειώσας, καὶ πίσσῃ δεύσας ἐπιτίθει τῷ κεκαυμένῳ τόπῳ.

Ἱεροκλ.

Εἰ δὲ πλέον ἀλγήσῃ.

Λῦσον τὰς τῶν ὀνύχων φλέβας, καὶ τὸ ἀπορρέον αἷμα λαβὼν, ἀξουγγίῳ καὶ ἐλαίῳ συμμίξας ἐπιτίθει κατὰ τῶν νεφρῶν. εἰ δὲ ἀνάγκη καταλάβοι, χρῆσαι καὶ μαλάγματι.

Ἄκοπον νεφριτικῶν.

Ἐλαίου λίτρας ι, εὐφορβίου γο ι, χαμαιλέοντος ῥίζης ξηρᾶς γο δ, ἐλαίου κυπρίνου λίτρας β, θείου ἀπύρου γο δ, πεπέρεως γο γ, στρουθίου γο γ, πυρέθρου γο β, σταφίδος ἀγρίας γο δ, θαψίας χυλοῦ γο δ, σικύου ἀγρίου ῥίζας ξηρὰς, τὰ ξηρὰ πάντα κόψας καὶ σήσας, καὶ μετὰ ἐλαίου δεύσας ποίει πάχος μέλιτος, καὶ κείνου ἐν ἀγγείῳ ὑελίνῳ, καὶ χρῶ.

Περὶ ψυῶν.

Ἐὰν δὲ τὰς ψύας πονέσῃ ἵππος, σημεῖα τάδε, περιστρέφει τὰ ὀπίσθια, καὶ ἐν τῷ στρέφειν τὰ ὀπίσθια σφάλλεται, καὶ τοῖς σκέλεσι βαταλίζει τοῖς ὄπισθεν. ἰᾶσθαι δὲ χρὴ οὕτως, ὀρθοῖς καυτηρίοις ἀρξάμενος ἀπὸ τοῦ ἀγκῶνος ἕως τῶν γονάτων ἐξ ἑκατέρου μέρους καῦσον, ὠθῶν τὸ καυτήριον, ὥστε ὅλον κατιέναι τὸ πυρωθέν. ὁ γὰρ τόπος βαρύσαρκος, καὶ λοιπὸν λεάνας, ἅλας εἰς λεπτὸν κατάπασσε ψιλῶς, εἶτα ἀπομήξας θερμῷ ὕδατι, ἐμφύσα οἴνῳ καὶ ἐλαίῳ, ἄρτον τε κρίθινον καθαρὸν κατακαύσας τρίβε, καὶ ἐν αὐτῷ τῷ κεκαυμένῳ τόπῳ κατάπασσε, καὶ μὴ κίνει, ἕως ἂν ἀπὸ τῆς καύσεως ἡμέραι γένωνται ἱκαναί, καὶ δίδου τροφὴν ὡς πλείστην.

Σύγχρισμα εἰς τὸ αὐτό.

Ὄξους, ἀσφάλτου, θείου ἀπύρου, ὀποπάνακος, ἴσον ἴσῳ μίξας, χρῶ.

Πρὸς ψυῶν πόνον.

Κράμβην λειώσας, καὶ βαλὼν οἴνου μίαν ἡμίναν σὺν ὕδατι ψυχρῷ, ἐπίθες. Ἄλλο.

Κυπαρίσσου φύλλα λειοτριβήσας, καὶ ποιήσας μέτρον ἡμίνης, ἐπίβαλλε ἀλφίτων λίτραν μίαν, ὄξει τε φυράσας, τῷ πονοῦντι πρόσαγε. Ἄλλο.

Ῥητίνης ξηρᾶς γο β ἕψει μέχρι τοῦ διαλυθῆναι, καὶ κρίθινον ἄλευρον ἐπίβαλε, καὶ στέαρ αἴγειον, ἄχρις οὗ πυκνὸν ποιήσῃς, καὶ τῷ ἀλγοῦντι μέρει θερμὸν ἐπιτίθει, καὶ τοῦτο ποίει συνεχέστερον.

ἰσχίου

τι, ἔχει σημεῖα τάδε, οὐ χασμᾶται τὸ παράπαν, καὶ τοῖς ὀπισθίοις σκέλεσιν ἑστάναι οὐ δύναται, ἀλλὰ μετακινεῖ. ἔτι δὲ καὶ ἐν τῇ πορείᾳ ἀπολείπεται ἀπὸ τῶν ἐμπροσθίων, καὶ τοῖς ὀπισθίοις ἐγκυκλεῖ, ὁτὲ μὲν ἀμφοτέροις, ὁτὲ δὲ οὐχί, τὰ δὲ σφυγμὰ παχέα γίνονται καὶ βραδύτερα. θεραπεία δὲ τούτου τοῦ νοσήματος αὕτη, ὕδωρ θερμὸν ποιήσας, δαψιλῶς καταντλεῖ ἐπὶ τῆς ῥάχεως ὡς δέχεται.

Νεφρὸν ἵππος ἐὰν ἀλγῇ, τάς τε λαγόνας καὶ τοὺς διδύμους σφύζει, καὶ μόλις οὐρεῖ, καὶ τοῖς ὀπισθίοις ποσὶ κονδότερον μᾶλλον, ἢ τοῖς ἐμπροσθίοις ἐπιβαίνει, χρεμετίζει τε συνεχέστερον. θεράπευε οὖν οὕτως, ἀσφοδέλου ῥίζαν οἴνῳ καλῷ συνεψήσας καὶ λειώσας, εἰς ὕδωρ χλιαρὸν ὕπαγε τὴν γαστέρα, καὶ τοὺς νεφροὺς θερμοτέροις ἀλείμμασι κατάθαλπε. Ἄλλο.

Ἵππος ἐὰν τοὺς νεφροὺς ἀλγῇ, ἐγχυματιζέσθω γάλακτι προβατείῳ ὅσον κοτύλῃ μιᾷ ἐπὶ ἡμέραις τρισί, ἢ μυελῷ ἐλαφείῳ ἑψηθέντι κοτύλῃ μιᾷ, καὶ ἐλαίῳ τῷ ἴσῳ, ἢ ἀρωματικῇ μετὰ οἴνου καὶ ἐλαίου, καὶ μέλιτος ὠῶν. χρῶ δὲ καὶ ἐμβροχῇ, οἰνελαίῳ καὶ ἀφρονίτροις, καὶ ῥάκιον ἐπιτίθει κατὰ τοῦ νώτου μετὰ ἐμβροχῆς θερμῆς. γίνεται δὲ τὸ πάθος, ἀπὸ δρόμου σφοδροῦ.

Πεπέρεως γο δ', πετροσελίνου γο δ', σμύρνης τρωγλώτιδος γο δ', ναρδοστάχυος γο α', σελινοσπέρμου γο α', καστορίου γο α', ὀπίου γο β', ἀνήσου γο δ', κασσίας γο δ', ταῦτα κόψας καὶ σήσας, δίδου κοχλιάριον μεστὸν κονδίτῳ κεκραμένον.

Ἄλλο.

Ἁλίσκεται ἵππος τῇ νεφρίτιδι, ἢ ὅταν πολλῷ βάρει ἐπιφορτισθῇ, ἢ λάκκον ὑπερπηδήσῃ, καὶ συμβῇ αὐτὸν τοὺς ὀπισθίους πόδας ὑποκαθεσθῆναι. γίνεται δὲ καὶ ὑπὸ πολλοῦ κρύους. θεραπεύσεις οὖν θερμῷ, τὰς ψύας ἐπαντλῶν, καὶ μετὰ ταῦτα καυστικῷ κεχρισμένον.

ΠΡΟΠΟΤΙΣΜΑ ΕΙΣ νεφριτικούς.

Κικίδας κυπαρίσσου χλωρὰς, καύσας καὶ λειώσας ἀριθμῷ δέκα, ἐπίβαλλε νίτρου πεφρυγμένου, καὶ λελειωμένου γο γ', ἐλαίου καλοῦ γο γ', οἴνου παλαιοῦ ξε. δ', καὶ ἐν ταυτῷ μίξας δίδου ἐπὶ ἡμέραις τέσσαρσι.

Εἰ ἐπὶ

ἐν τῶν κδ', περὶ ἑκάτερα τῆς ῥάχεως τοὺς ἡμίσεις προσοιχέαν ποιούμενοι, ἀπέχοντας ἀπ' ἀλλήλων πάχος δακτύλων τριῶν.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νεφρίτιδος σημεῖα τάδε, οἱ ὄρχεις μετέωροί εἰσι, καὶ τοῖς ὀπισθίοις ποσὶν οὐκ ἐπιβαίνει· οὐρεῖ τε μέλαν ὡς ὕφαιμον καὶ παχύ. θεραπεύεται δὲ οὕτω, πυριᾶται τὰ ἰσχία καὶ τὰς ψόας, καταλείφεταί τε κηρωτῇ, καὶ σκεπάζεται ἱματίοις, καὶ παραβάλλεται διουρητικοῖς μαράθρῳ καὶ σελίνῳ. δίδου δὲ καὶ μηδικὴν χλωράν, καὶ ἐρεβίνθους λευκοὺς ἐν οἴνῳ, ἔπειτα ἐγχυματιζέσθω σελίνου ὅσον κοχλιαρίοις β', καὶ δαύκου τοῦ ἴσου καὶ ἀνήθου δυσὶ μέρεσι, καὶ σμύρνης τριωβόλῳ τριβεῖσιν ἐν οἴνου γλυκέως κοτύλῃ, καὶ περιπάτοις χρήσθω πραέσι. κλυζέσθω μέντοι ὕδατι χλιαρῷ μὴ ἐλάττονι χοός, καὶ στρώννυε ἁπαλῶς εἰς κοίτην, ἔστ' ἂν ἴδοις τὰ οὖρα καθαρά, καὶ τοὺς ὄρχεις ἰσχνούς, καὶ τοὺς ὀπισθίους πόδας ὑπερβαίνοντας ὅσον δακτύλων ἕξ. κλεομένης δὲ ὁ λίνδιος φησὶ δεῖν φλόμου ῥίζαν καύσαντα ἐν οἴνῳ συντρῖψαι, καὶ ὕδωρ ἴσον μίξαντα, κλύζειν διὰ τῆς ἕδρας. ἄλλοι συντάσσουσιν ἀλεύρου πυρίνου παραβάλλειν, καὶ χόρτου καλοῦ, καὶ ἄρτου ὅσον ἂν ἐθέλῃ, καὶ ἐρεβίνθου, καὶ περιπάτοις χρῆσθαι ἐλαφροῖς.

ΤΙΒΕΡΙΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τῆς νεφρίτιδός ἐστι σημεῖα τάδε, οἱ κρεμαστῆρες μετέωροι, ἡ λαγὼν σφάλλεται, κοῦφος τοῖς ποσίν, ὀφθαλμοὶ μετέωροι καὶ περιπατεῖν οὐ δύναται, διὰ τὴν ἔπαρσιν τῶν ἐπικειμένων νεφρῶν. θεραπεία οὖν χρὴ τοιαύτη, ἐκ τῶν βουβώνων αἷμα ἀφαιρεῖ, εἶτα τὰς τροφὰς στέλλε, καὶ ἐγχυματισμῷ χρῶ τοιῷδε, λαβὼν λιβάνου γο β', ἐρεγμοῦ τέταρτον, καὶ τὰ δύο ὁμοῦ λειοτριβήσας, μετὰ μέλιτος ἔγχει ἐπὶ ἡμέραις ἱκαναῖς διὰ ῥινῶν, τοῖς τε περιπάτοις πυκνοτέροις χρῶ. ἐγχυματισμῷ τοιούτῳ χρῶ, λαβὼν σκύλακα ἔμβρυον, κατάζεσον μετὰ πτισάνης, καὶ διυλίσας μετὰ μέλιτος, ἔγχει διὰ στόματος ἐπὶ ἡμέραις ἱκαναῖς, καὶ ὑγιαίνει.

ΝΕΦΡΙΤΙΚΟΥ ΠΡΟΓΝΩΣΙΣ καὶ ἴασις.

Ἐὰν ἵππος ἢ ὑποζύγιον οὕτω περιπέσῃ τοῦ ἀρρωστήμα-

ΠΕΛΑΓΩΝΙΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τὸν καρδιακὸν ἐπιγινώσκομεν, καὶ καταμανθάνομεν ἐὰν συνεχέστερον εἰς τὴν γῆν ἐκκρούῃ τὴν κεφαλὴν, ἢ πλειστάκις ἑαυτοῦ τὰς λαγόνας δάκνῃ, καὶ ἐὰν ἑστὼς ἁπλῶς ἱδροῖ. χρὴ δὲ τοῦτον θεραπεύειν οὕτως, ἐὰν ὄγκον ὑπομένῃ, σινήπεως καὶ λασάρου κυάμου μέγεθος, μέλιτος ὀξύβαφα δύο, ὕδατος θερμοῦ κυάθους δύο, ὄξους κυάθους δ΄ εἰς ἓν λειώσας, προπότιζε καὶ διακίνει, καὶ χλωρὰν τροφὴν παράβαλλε. μετὰ δὲ τὴν τῆς ὑγιείας ἀποκατάστασιν, χρὴ τὰς τῶν τενόντων λύειν φλέβας, καὶ ἀπὸ τῶν ὀπισθίων μερῶν ἀφαιμάσσειν, ὥστε διηνεκῆ τὴν ὑγίειαν παραμένειν.

ΕΥΜΗΛΟΥ ΕΙΣ ΚΑΡΔΙΑΣ ΠΟΝΟΝ.

Καρδίας πόνος διαγινώσκεται, ἡνίκα ὁ ἵππος τὸν δεξιὸν ὀφθαλμὸν δακρύει, καὶ ὑπὸ τὰ γόνατα πίπτει, τούτου καθὼς προείρηται, αἷμα ἀφαιρείσθω. ἐγχυματιζέσθω δὲ διὰ τοῦ ἀριστεροῦ μυκτῆρος οὕτω, μαράθρου σπέρματος ὅσον ὀξύβαφον, ἀνήσου τὸ ἴσον, οἴνου λευκοῦ κοτύλην μίαν μίξας, ἐπὶ ἡμέραις τρισὶν ἐγχυμάτιζε. ἐὰν δὲ ἐπιμένῃ, αἷμα ἀπὸ τῶν σκελῶν λάμβανε, καὶ μετὰ ταῦτα λασάρου ῥίζης ὡς κυάμου μέγεθος, καὶ νίτρου τὸ ἴσον, μέλιτος ὀξύβαφα β΄, καὶ ὕδατος θερμοῦ κοτύλας δ΄, σὺν ὄξους κοτύλῃ μιᾷ συμμίξας ἐγχυμάτιζε, ἢ σκίλλαν, καὶ ἀριστολοχίαν ὀλίγην, καὶ λίβανον, καὶ σμύρναν, καὶ θύμον σὺν οἴνῳ μίξας, διὰ μυκτήρων ἔγχει. τὸ δὲ ζῶον στρώμασι σκεπαζέσθω, καὶ ἡ ἱππόστασις ἔσω καθαρὰ, καὶ θυμιάσθω, ἢ σμύρνῃ, ἢ φύλλοις δάφνης, κριθῶν δὲ ἀπεχέσθω.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΝΕΦΡΙΤΙΔΟΣ.

ΚΕΦΑΛΑΙΟΝ Λ.

Νεφρίτις λέγεται, ἧς σημεῖα ἐστὶ τάδε, ἐπισύρει τὰ ὀπίσθια, καὶ βαταλίζει, καὶ σὺν τῷ βαδίζειν περιφέρεται εἰς τοὺς τοίχους. τοῦτον οὖν καύσομεν κατὰ τὸν σύνδεσμον τῶν ἰσχίων καὶ τῆς κύστεως, γόμφοις ὀρθίοις μὴ πλέον τῶν

ἀλλὰ μετὰ βίας, καὶ ἀνεσπακότα τοὺς διδύμους εἶναι, τό, τε αἰδοῖον προβάλλειν, καὶ προΐεσθαι τὸ οὖρον κατ' ὀλίγον. γινώσκειν δὲ δεῖ, ὡς τοῦ τοιούτου παρεμπέπτωκεν εἰς τὰς ἀρτηρίας ἡ χολὴ, καὶ περὶ τὴν καρδίαν γίνεται, καὶ ζῆν οὐ δύναται.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Καρδιακὸν ἵππον γνώσῃ ἐκ τῶνδε, ἀνασπᾷ τὴν γαστέρα καὶ τὰς λαπάρας, καὶ ἐστι κατηφὴς, καὶ ἱδροῖ μάλιστα τὴν κεφαλήν. ὠφελεῖ γὰρ μὴν αὐτὸν τὰ θερμαίνοντα, διά τε τῶν μυκτήρων καὶ τοῦ στόματος ἐγχεόμενα, πέπερι μετὰ οἴνου καὶ ἐλαίου, ἢ σκίλλα, ἢ λιβανωτὸς, ἢ ἀριστολοχία, ἢ δάφνη ἢ σμύρνα, ἢ θύμος, ἢ τι τῶν ἄλλων τῶν θερμαντικῶν. τροφὴ δὲ παραβαλλέσθω ξηρὰ, καὶ τριβέσθω οἰνελαίῳ ἐσκεπασμένος τὴν κοιλίαν, μάλιστα δὲ τὸ στῆθος, καὶ τριβέσθω θείῳ μετὰ ἐλαίου. ἔστω μέντοι καὶ ἱππόστασις καθαρὰ, καὶ κείσθω ἐν αὐτῇ τῶν εὐωδεστέρων, μυρσίναι, ἢ δάφναι, ἢ τὰ τοιαῦτα, ὅταν μὲν οὖν ὑπὸ τοῦ καρδιακοῦ πάθους σφοδρῶς κατακρατῆται, περιπατεῖν ἀδυνατεῖ. εἰ δὲ ἀναγκάζοιτο περιπατεῖν, φέρεται εἰς τοὺς τοίχους, ἐμπίπτει τε τοῖς ἀπαντῶσι, καὶ ἱδροῖ τὴν κοιλίαν, καὶ τρέμει τοὺς ὤμους μάλιστα, καὶ σπασμὸς ἔστιν ἐν αὐτῷ, πίπτων τε ἔρχεται ἀνασπᾷ, ὡς καὶ τὰ οὖρα κατ' ὀλίγον προΐεσθαι. τοῦ δὲ τοιούτου παρεμπέπτωκεν ἤδη ἡ χολὴ εἰς τὰς ἀρτηρίας, καὶ περὶ τὴν καρδίαν, καὶ ζῆν οὐκ ἂν δύναιτο.

ΘΕΟΜΝΗΣΤΟΥ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐὰν ἵππῳ περὶ τὴν καρδίαν ῥεῦμα ἐπιγένηται, ἢ ἕτερός τις πόνος, παρακολουθεῖ σπασμὸς, καὶ πίπτει ἐπὶ γόνυ, πάσχει τε τὸ σῶμα, καὶ μάλιστα τὴν κεφαλήν. ἐὰν οὖν ταῦτα ποιῇ, ἐγχυμάτιζε τούτοις, σιλφίου ὅσον κύαμον, μέλιτος γο δ΄, καὶ νίτρου γο γ΄, καὶ ὕδατος ξέστην β΄ τεθερμασμένου, ὄξους ξέ. α΄, μίξας ἐν ταυτῷ ἐγχυμάτισον, καὶ περιβαλὼν αὐτὸν διακίνει, καὶ ἐγχυματιζέσθω δι' ἡμερῶν τριῶν. χόρτῳ δὲ κεχρήσθω χλωρῷ, ἢ ἀγρώστει, ἢ μηδικῇ. ἐὰν δὲ μὴ ὑγιάνῃ, αἷμα ἄφελε αὐτοῦ ἐκ τῶν ἐμπροσθίων ποδῶν ἔσωθεν τῶν γονάτων, καὶ τοῦ ὀπισθίου, καὶ ὑγιάσεις.

Ἄλλο.

Ῥόαν ὀξίνην κόψας μετὰ ἀλφίτων ἐπίπασε, καὶ ἐν ὄξει φυράσας κατάχριε, ἢ κυπάρισσον κόψας, καὶ ἀλφίτοις καὶ ὄξει δεύσας, κατάπασε.

Χαμελαίας κεκομμένης καὶ σεσησμένης, καὶ ἀριστολοχίας τῆς στρογγύλης ὡσαύτως κεκομμένης καὶ σεσησμένης τὸ ἴσον ὕδατι φυράσας, ἐπιδέσμει.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΚΑΡΔΙΑΚΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ.

Ἄψυρτος Ἀγαθοκλεῖ ἱππιάτρῳ χαίρειν. ἱπποτροφοῦντά σε, εὔχρηστον εἰδέναι τῶν καρδιακῶν τὰ σημεῖα, λαγαρὸς γίνεται καὶ ἀνεσπακὼς τὴν γαστέρα, κατωπός ἐστι καὶ λελυπημένος, οἵ τε ὄρχεις οἰδοῦσι καὶ τὸ γόνυ. γινώσκεται μὲν ἐκ τούτων. θεραπεύεται δὲ οὕτω, δεῖ τούτοις τὰ θερμαίνοντα διὰ τῶν μυκτήρων ἐγχεῖν, ἢ καὶ τὴν γλῶτταν καταλαμβανομένην διὰ τοῦ στόματος, πέπερι καὶ οἶνον καὶ ἔλαιον, καὶ σκίλλαν ὡσαύτως, ἢ δαφνίδας, ἢ λιβανωτὸν, ἢ ἀριστολοχίαν, ἢ σμύρναν, ἢ θύμον, ἢ καὶ τοῖς ἄλλοις θερμαντικοῖς τοῖς ἁρμόζουσι χρῆσθαι. τροφὴν δὲ παραβάλλειν τὴν ξηρὰν, καὶ μηδὲν τῶν χλωρῶν, καὶ ῥῖψιν ποιεῖσθαι οἴνῳ καὶ ἐλαίῳ. ἔσω δὲ ἐσκεπασμένος τὴν κοιλίαν, μάλιστα δὲ τὸ στῆθος, καὶ τρίβειν θεῖον μετὰ ἐλαίου καὶ διδόναι. καὶ τὴν ἱπποστασίαν δὲ δεῖ καθαρὰν εἶναι, καὶ κεῖσθαί τι ἐν αὐτῇ τῶν εὐωδίαν ἐχόντων, μυρσίνας, δάφνας, ἢ τὰ τοιαῦτα. ὅταν δὲ γένωνται πρὸς τοῖς γεγραμμένοις σημείοις, ἀδυνατεῖ τοῦ περιπατεῖν, ἀναγκαζόμενος δὲ περιφέρεται, καὶ κατωπός ἐστιν ὡς προείρηται, καὶ ἱδροῖ τὴν κοιλίαν καὶ τοὺς ὤμους, ὡς καὶ ῥόμον ἐν αὐτοῖς καὶ σπασμὸν γίνεσθαι, καὶ πίπτειν ἀθρόως καὶ μὴ πλατιώνεσθαι, ἀλλ' ἐπὶ τῇ κοιλίᾳ κατακεῖσθαι, ὀδυνώμενον σφόδρα καὶ μὴ ὑπομένειν. ἐγείρεσθαι δὲ θέλοντα μὴ δύνασθαι,

ἀλλὰ

λουσι σφόδρα, αἱ ῥῖνες αὐτοῦ φυσῶσι, καὶ λύπη τούτῳ προσγίνεται, ὀχλουμένῳ ὑπὸ τοῦ πάθους. θεράπευε οὖν οὕτως· ὠὰ βρέξας εἰς ὄξος τρία τῇ πρώτῃ ἡμέρᾳ, τῇ δὲ δευτέρᾳ πέντε, καὶ τῇ τρίτῃ ζ´ ὅλος ἐν τῷ στόματι, ἐκπιέζων τὸ λίπος αὐτοῦ.

ΑΨΥΡΤΟΥ

ΠΡΟΣ ΣΗΠΕΔΟΝΑΣ ΤΑΣ ΕΝ ΤΗ ΓΝΑΘΩ.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ.

Συμβαίνει πάθος ἐν τῷ ψαλίῳ. χαλκῖτιν οὖν ὀπτήσας ἐν τῷ πυρὶ ἵνα γένηται διάπυρος, καὶ τρίψας μετὰ μέλιτος ὥστε λεῖα γενέσθαι, βαλὼν εἰς πυξίδα, χρῶ πρὸς τὰς σηπεδόνας καὶ νομὰς τὰς ἐν στόμασι, καὶ πανταχοῦ.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐὰν σηπεδὼν γένηται, ἀναπτύξας αὐτὴν, καὶ φανερὰν ποιήσας πρόσκαυσον, φυλασσόμενος μὴ περάψῃ τοῦ τένοντος. ἐν δὲ τῇ ῥάχει ἐὰν ᾖ, τεμὼν ταχέως τὸν χιτῶνα, πρόσκαυσον. ἐὰν δὲ ᾖ ἐν τῇ πλευρᾷ, τέμνε ἕως τοῦ ὀστέου, προσέχων ἀσφαλῶς, εἶτα κατάπλασσε, κυπάρισσον κόψας λείαν, καὶ ἀλφίτων μίξας ἴσον, ὄξει τε φυράσας προϋποχρίε ἐλαίῳ τὸν τόπον, μὴ πολὺ πλείονας μένοι τὸ ἕλκος ὑπὲρ ἡμέραις τρισί. τῇ δὲ τετάρτῃ περίπλυνον, μὴ προσάγων τὴν χεῖρα, ἢ κράμβης φύλλα κόψας, καὶ ἄλφιτα ἐπιβαλὼν, ὕδατι φυράσας κατάπλασσε, ἢ πράσα ἄγρια καὶ ἥμερα κόψας, ἐπιβαλών τε ἄλευρον κρίθινον καὶ λεάνας, κατάπλασσε. ἐὰν δὲ αἱ ἐσχάραι ἐκπέσωσι, καὶ φανερὰ γένηται ἡ σηπεδὼν, προϋποχρίσας τῷ τραυματικῷ φαρμάκῳ, ἀριστολοχείαν κόψας, ἢ πίσσαν ὠμὴν ἐπὶ τὴν σηπεδόνα τίθει ἄγχουσαν, ἢ χαλκῖτιν τρίψας, ἢ φλόμου φύλλα, ἢ σιδηρῖτιν βοτάνην. ἔχεις δὲ πρὸς σηπεδόνας ἐν τῷ δευτέρῳ βιβλίῳ ἐν ταῖς σκευασίαις τῶν φαρμάκων συντάγματα.

Ἄλλο.

σμύρνης τρωγλήτιδος, λιβάνου, ἀλεύρου, τραγακάνθης ἀνὰ γο α΄, σταφίδων τὸ ἀρκοῦν, ταῦτα πάντα συμμίξας, δίδου, καὶ τὰς φάρυγγας αὐτοῦ, μέλιτι, βουτύρῳ, ἀξουγγίῳ, καὶ ἅλατι μετὰ ταῦτα καταλέαινε. Ἄλλο.

Τοῦτο καὶ ἕλληνες ὀρθόπνοιαν ἐκάλεσαν. γνωρίζεται δὲ ἡνίκα ὀρθὰ φέρει τὸ ζῷον τὰ ὦτα, καὶ πυρῶδες ἐκπέμπει, καὶ συνεχέστερον τὰς λαγόνας ἕλκει, τούς τε ὀφθαλμοὺς αἰωρουμένους ἔχει. ἡ δὲ θεραπεία ἐστὶ τοιαύτη, αἷμα ἐκ σπονδύλου λαβὼν καὶ ὄξει καὶ ἐλαίῳ συμμίξας, ἐνάλειφε τὸ ζῷον. ἀπεχέσθω δὲ καὶ τροφῆς ὅσον δυνατόν, ἢ κεχρήσθω τοῖς θερμαίνειν δυναμένοις ὀρόβοις, ἢ ἐρεβίνθοις, ἢ ἀλεύρῳ σιτίνῳ, χειμῶνος, τοῦ δὲ θέρους κριθίνῳ. βαλὼν δὲ τραγάκανθαν, καὶ ἕψημα, καὶ ἄσφαλτον, πρόσθες καὶ αἷμα κυνός, καὶ κυμίνου λελειωμένου τοσοῦτον, ὅσον τρισὶ δακτύλοις δυνηθεὶς ἆραι, καὶ ἐπεμβαλὼν οἴνου, δίδου, ἢ ᾠοῦ τὸ λευκὸν μετὰ μέλιτος καὶ στροβίλων λελειωμένων, ἐπὶ ἡμέρας κ΄, ἢ καὶ πλείοσιν, ἄχρις οὗ ὁ πονούμενος θεραπευθῇ. εἰ δὲ μὴ ὠφεληθῇ, διὰ κάρπου ῥίζαν τοῦ μέλανος εἰς τὸ στῆθος ἐπιτίθει, ἢ καὶ εἰς τὰς τῶν ὤτων ἀρχάς, ἢ καὶ εἰς τὰς τῶν μυκτήρων, δι' ὧν πᾶσα ἡ νόσος ἐκβληθήσεται. δίδου δὲ καὶ πασίλους μετὰ ὑδρομέλιτος, καὶ πικρῶν ἀμυγδάλων, καὶ ἀγρίου σικύου ῥίζης, μέλιτι ἀναλαβών, ἢ ῥίζαν συκαμίνου ὡς ὀβολοὺς τρεῖς λειώσας, μετὰ οἴνου θερμοῦ εἰς τοὺς μυκτῆρας ἔγχει. τῶν δὲ δυσπνοϊκῶν ζῴων, πρότερον ἐλαίου κυάθῳ ἑνί, καὶ οἴνου ξέστῃ ἑνὶ τὴν κεφαλὴν ἀπόσμιχε, δι' ὧν τοῖς ἀβοηθήτοις πάθεσι θεραπεία κατεπαγγέλεται. Ἄλλο.

Ἡ δύσπνοια γίνεται ἐκ πλείστου ἱδρῶτος, καὶ ἐκ κόπου καὶ ἄσθματος. ὁ δὲ τῷ πάθει τούτῳ συνεχόμενος ἵππος, διὰ τῶν μυκτήρων ὑπόπυον ἰχῶρα φέρει. χρησιμώτατον δὲ πρὸς τὸ πάθος προπότισμα τόδε, ἑψήματος κρητικοῦ ξέστην ας΄, κόστου γο γ΄, ὑσσώπου ἄνθος, κασίας, ἠρυγγίου, τραγακάνθης ἀνὰ γο β΄, ἀβροτόνου γο γ΄, λιβάνου ἄρρενος ξηροῦ γο β΄, ταῦτα πάντα κόψας ἐπιμελῶς, καὶ μίξας τῷ ἑψήματι, διὰ τοῦ φάρυγγος ἐγχυμάτιζε.

ΤΙΒΕΡΊΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Τῆς δυσπνοίας σημεῖα ταῦτα. αἱ λαγόνες τοῦ ἵππου σφάλλουσι

Περὶ δυσπνοίας.

Τοῦ δυσπνοοῦντος ἵππου σημεῖα ταῦτα, τὸν δεξιὸν ὀφθαλμὸν ὑπόχλωρον ἔχει, οὐδ᾽ ἐξ ἑκατέρου μυκτῆρος ὀσμὴν δυσώδη πέμπει, τὰς λαγόνας ἕλκει ὑπὸ τὰς γνάθους, κονδυλώματα τίκτει. τὸν οὖν περίπατον αὐτοῦ κατανόησον, καὶ ἐὰν εἰς τὸ δεξιὸν μέρος ἐπιῤῥεπέστερον ᾖ, οὐκ εὐχερῶς θεραπεύεται. εἰ δὲ τὸ πάθος νεαρὸν ᾖ, ταύτῃ κέχρησο τῇ μεθόδῳ, αἷμα αὐτοῦ ἀφαίρει ἐπὶ ἡμέραις τρισί, εἶτα προπότιζε οὕτως, οἴνου παλαιοῦ ξέστην ἕνα, ἐλαίου δαφνίνου ξε. τὸ ἥμισυ, κρόκου γο α΄, ἐλαίου ῥοδίνου λίτραν α΄, ἐλαίου σχοινίνου ξε. τὸ ἥμισυ, σμύρνης τρωγλίτιδος γο α΄, ὑδρομέλιτος ξέστην ς̄, ταῦτα πάντα εἰς χαλκεῖον καινὸν βαλών, καὶ σὺν αὐτοῖς ἀλεκτρυόνα καθεψήσας ἀποβίτωσον, καὶ ἀπ᾽ αὐτοῦ ἀνὰ ἡμίναν μίαν δίδου μετὰ ὑδρομέλιτος καὶ ὠοῦ ἑνὸς διὰ μυκτήρων ἐπὶ ἡμέραις ἕξ. ἐκ τούτου δὲ τοῦ προποτίσματος εἰ βούλει, καὶ εἰς τὴν κεφαλὴν ἐπίβαλλε, καὶ ἐπιδέσμει πρὸς πόδα, καὶ θεραπεύσεις.

ἌΛΛΟ ΜΆΓΩΝΟΣ.

Ἐὰν ἰσχυρᾷ δυσπνοίᾳ ὁ ἵππος συνέχηται, κρεμνᾷ τὰς λαγόνας, καὶ τοὺς ὀφθαλμοὺς ἀμφοτέρους, ἢ τὸν ἕνα τὸν δεξιὸν κεχρωσμένον ἔχει, καὶ τὴν γνάθον οὐδὲν ἧττον φλεγμαίνουσαν, καὶ τὸ βῆμα οὐκ ὀρθόν, τοῦτο τὸ πάθος ἐν ἀρχῇ εὐχερῶς θεραπεύεται, εἰ καὶ μετὰ πολλῆς τῆς ἐπιμελείας. τὸ σχῆμα πίνων αὐτοῦ καταμάθε λεπτομερῶς, καὶ εἰς τὸ δεξιὸν κεκύρτωται μέρος, ἰαθήσεται. εἰ δὲ τὸ ἀριστερὸν δυσχερέστατα ζήσεται, ὅμως προσφέρειν δεῖ ταῦτα, τὰς δώδεκα φλέβας τοῦ ἵππου λύσας, οὕτω μέντοι ἵνα ἐπὶ ἡμέραις τρισὶ λύῃς ἀνὰ φλέβας δ΄, μετὰ τοῦτο δίδου τὸ προπότισμα τοῦτο, κρόκου, σμύρνης, τρωγλίτιδος, ναρδοστάχυος, πεπέρεως λευκοῦ, ἀνὰ γο α΄, ὑδρομέλιτος ξέστην ς̄, ἐλαίου παλαιοῦ ξε. α΄, ἐλαίου ῥοδίνου ς΄, φακῆς ξε. ς΄, πάντα ἐν ἀγγείῳ βαλὼν καινῷ, καὶ ἑψήσας ἅμα σκυλακίῳ ὅσον ἡμερῶν δέκα, ἐπιβαλὼν ἢ ὑδρόμελι, καὶ ὠὸν ἕν, ἐπὶ ἡμέραις συναπταῖς καὶ πολλαῖς, ἐγχυμάτιζε.

ΠΕΛΑΓΩΝΊΟΥ ἌΛΛΟ.

Ἑψήματος κρητικοῦ ξε. α΄, ἴρεως ἰλλυρικῆς, πεπέρεως, κρόκου

σμύρνης

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ὈΡΘΟΠΝΟΊΑΣ.

ΚΕΦΆΛΑΙΟΝ ΚΖ.

Ἄψυρτος σεκουνδῳ ἱππιάτρῳ χαίρειν. ὀρθοπνοίας γινομένης σημεῖα τάδε, περιπατῶν ἀφίσταται, καὶ ἀναπνεῖ διόλου ὁ ἵππος βαρὺ, καὶ εἰς τὸ πρόσαντες περιπατεῖν οὐ δύναται, ἀλλὰ ἀποκλίνεται ὥστε καὶ πίπτειν. ἀναπεσὼν δὲ οὐκ ἐκτείνει ἑαυτὸν, οὐδὲ πλατύνεται, μᾶλλον δὲ ἀνίστασθαι θέλει. θεραπεύεται δὲ οὕτω, λιβανωτοῦ ὁλκὰς β΄, θείου ὁλκὴν μίαν δεῖ τρίβειν λίαν, καὶ διέντα οἴνῳ λευκῷ εὐώδει, καὶ μέλιτι ἐγχυματίζειν διὰ τῶν μυκτήρων, ἢ πίσσης ὀρὸν καὶ νίτρον ὀπτὸν λεῖον μίξαντα μέλιτι καὶ οἴνῳ ἐγχεῖν, μέχρις ἂν παύσηται τὸ συνεχὲς πνεῦμα, καὶ μὴ ῥιγούτω, μὴ δὲ γυμνασίοις χρήσθω. καὶ νίτρον δὲ εἰς τὸ ποτὸν βάλλειν, καὶ τὸν χόρτον περιῤῥαίνειν αὐτῷ, καὶ ἐὰν μὴ πρὸς ταῦτα παύηται, τοῖς καθαρτικοῖς χρῆσθαι.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΕΡῚ ὀρθοπνοίας.

Σημεῖα ὀρθοπνοίας τάδε, δυσπνοεῖ, καὶ οἱ μυκτῆρες διαπέπρινται, καὶ ἐκ τῶν λαγόνων ἕλκεται. δεῖ τοίνυν τούτῳ θερμαντικὰ προσφέρειν, ὥς φησι Κλεομένης ὁ Λίβυς, ὀρόβους βεβρεγμένους, ἐρεβίνθους, βρώμους, κριθὰς, καὶ τῷ ποτῷ παραμισγειν ἄλευρον, καὶ ἐγχυματίζειν τραγακάνθης, καὶ θείου ἀπύρου βραχεῖ διὰ γλυκέος οἴνου.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Σκυλάκιον σφάξας, ἔγχει διὰ στόματος τὸ αἷμα θερμὸν, ἐπιπάσσων κυμίνου αἰθιοπικοῦ λείου κοχλιάρια β΄ ἐπὶ ἡμέραις θ΄.

Τοῦ αὐτοῦ.

Σύμφυτον, ὃ καλοῦσιν ἵππουρον, θλάσας ἔκπιαζε τὸν χυλὸν εἰς κοτύλας β΄, καὶ κυμίνου αἰθιοπικοῦ κοχλιάρια β΄, διεὶς οἴνου κοτύλῃ ἐγχυμάτιζε, καὶ λιβανωτὸν ῥίψας καὶ θεῖον, σὺν μέλιτι καὶ οἴνῳ διεὶς, ἔγχει διὰ τοῦ ἀριστεροῦ μυκτῆρος.

Πρὸς νῶτον βλαβέντα.

Ἄλφιτα μετὰ οἴνου καὶ ἐλαίου συμφύρασον καὶ περίπλασον τὸν τραυματισθέντα τόπον. εἰ δὲ περιδύμονα ποιήσει, πρῶτον σιδήρῳ ἀπότεμνε, καὶ ἐπιτίθει ἀφόδευμα ἵππου μετὰ ἐλαίου καὶ ὄξους, καὶ ἅλατος φρυκτοῦ.

Πρὸς πόνον ῥάχεως.

Εἰ τὴν ῥάχιν ἵππος ἀλγεῖ, πρῶτον φλεβοτόμησον, καὶ θερμοῖς ἀλείμμασι τοῖσδε θεράπευε, δαφνόκοκκα, καὶ θεῖον, καὶ ἔλαιον, καὶ ἀξούγγιον, καὶ νίτρον, μετὰ κεδρίας καὶ οἴνου μίξας, ἅπαν τὸ σῶμα τοῦ ἵππου ἀπότριβε ἐν ἡλίῳ, ἢ θερμοτάτῳ τόπῳ στήσας.

Εἰ τραύματα ἐν τῷ νώτῳ ποιήσει.

Τὰ ὄστρακα τῶν ὀστρέων λειώσας, κἀκεῖθεν ξηρίον ποιήσας, ἐπίπασσε τὸν πάσχοντα τόπον, ἢ παγούρων κεκαυμένων λίτραν μίαν ἐπίπασσε.

Εἰς νῶτον.

Σκωρίας σιδήρου γο α΄, καὶ ἰοῦ χαλκοῦ γο α΄ ἀναμίξας, καὶ ξηρίον ποιήσας, πρότερόν τε τὸν νῶτον τοῦ ἵππου οἴνῳ ἀποπλύνας, ἐπίπασσε ἐκ τοῦ αὐτοῦ ξηρίου.

Εἰ τραῦμα ἐν νώτῳ ἔχει.

Κηκίδας συριακὰς τρίψας, καὶ μέλιτι ἀναδεύσας, τῷ τραύματι ἐπιτίθει.

Πρὸς τραῦμα νώτου, κατὰ ἀπειρίαν τοῦ καθεζομένου γινόμενον.

Τὸν ἀπόδεσμον τῶν κρομμύων, ἐξ οὗ ταῦτα ἠρτημένα ἐτύγχανεν, τουτέστι τὰ ξηρανθέντα φύλλα εἰς θερμὸν ἐμβαλὼν καὶ ζέσας, ἐπίθες ἐπάνω τῆς φλεγμονῆς τοῦ ζώου ἕως θερμὰ εἴη καὶ ἐπίδησον μετὰ φασκίας, ἢ εἰ βούλει καὶ αὐτὴν τὴν σέλαν τῷ ἵππῳ ἐπίθες, ὥστε μίαν ἡμέραν καὶ νύκτα οὕτω μεῖναι.

Ἄλλο εἰς ῥάχιν.

Συκῆς φύλλα ἐμβληθέντα εἰς φοῦρνον, ἕως οὗ ξηρανθῇ μέχρι τοῦ λειώσασθαι κοπῆναι, κόψας καὶ σήσας, ἐπίπλασσε. τὸ αὐτὸ γὰρ ἀνακαθαίρει καὶ ἀπουλεῖ. Ἄλλο.

Τιθύμαλλον χλωρὸν σὺν τῇ ῥίζῃ τρίψας καὶ σήσας, ἔμπλασσε. εἰ δὲ βραχὺ εἴη, σύγκοπτε αὐτῷ ἅλας αὔταρκες.

Ἀνακόλλημα εἰς ὠμοπλάτην.

Κώνης γο ἑξ, ῥητίνης πιτυΐνης ἑξ, κόλλης ταυρείας γο γ, μάννης γο ἑξ, γύρεως ξέστην ἥμισυ, οἴνου παλαιοῦ τὸ ἱκανὸν εἰς πατέλλιον βαλὼν καὶ ἑψήσας, ἀνάγχριε ἀνὰ τρίχα.

Ἄλλο πρὸς ὦμον.

Ὀποβαλσάμου γο α, κρόκου γο α, ὀποῦ κυρηναϊκοῦ γο β, νουμικίου γο α, στέβεως γο α, κινναμώμου γο δ, λιβάνου ἄρρενος, νάρδου συριακῆς, σμύρνης τρωγλήτιδος, πεπέρεως λευκοῦ, ὀποπάνακος, ῥητίνης πιτυΐνης ἀνὰ γο α, μέλιτος ἀττικοῦ λίτραν α, ταῦτα συμμίξας χρῶ.

ΘΕΟΜΝΉΣΤΟΥ ΜΆΛΑΓΜΑ

καυστικὸν καὶ τονωτικὸν εἰς τὰ περὶ ῥάχιν ἕλκη, καὶ εἰς πᾶν ἄρθρον.

Ρητίνης φρυκτῆς, ἀσφάλτου ἰουδαϊκῆς, πίσσης, κηροῦ, ἰοῦ, ἑκάστου ἀνὰ λίτραν μίαν, ἀμμωνιακοῦ θυμιάματος γο ς, λιβάνου γο δ, χαλβάνης γο θ, ὀποπάνακος γο β, τήξας τὰ τηκτὰ, καὶ κινῶν διὰ σπαθίου ἐπίχριε, ἕως ἂν ᾖ θερμά. ἐὰν δὲ σκληρὸν γένηται, βάλλε ἀξούγγιον παλαιὸν κεκομμένον, καὶ οὕτω ποίει μαλακώτερον, καὶ χρῶ.

Τοῦ αὐτοῦ τονωτικόν.

Οὐχὶ τῶν προτέρου κατηγοροῦντες ἀδυναμίαν, τὸ δεύτερον γραφόμενον φάρμακον, ἀλλὰ τὸ ἐκ περιουσίας καὶ μᾶλλον εὐπόριστον, καὶ δυνατὸν τοῖς πενιχροτέροις κατασκευάσαι ἐκθησόμεθα, ἀσφάλτου ἰουδαϊκῆς, στυπτηρίας σχιστῆς ἀνὰ γο ἑξ, ἀξουγγίου παλαιοῦ λίτραν α, λιθαργύρου γο γ, χαλβάνης γο α, ὀποπάνακος γο α, ὄξους σκιλλιτικοῦ ξέστην α, ἐλαίου ξέστου τὸ ἥμισυ ἑψήσας καλῶς, κατάχριε.

Ἄλλο.

Συκῆς κλάδους ξηροὺς καύσας, καὶ τούτων τὴν τέφραν καθαρὰν λαβὼν σῆσον, καὶ μετὰ τοῦτο βαλὼν εἰς θυίαν τὴν αὐτὴν τέφραν, σύμμιξον οἴνου τὸ ἀρκοῦν, καὶ ἐλαίου τὸ ἴσον, καὶ δύο ὠῶν τὸ λευκόν, καὶ πάντα ἐν ταυτῷ συνταράξας, ἐπὶ τῆς χρείας χρῶ.

ΠΡΟΣ ΣΠΟΝΔΥΛΟΥΣ Η ΝΩΤΟΥΣ διερρωγότας.

Κηροῦ λίτραν μίαν, ῥητίνης φρυκτῆς γο δ', ἰοῦ γο β', ἐλαίῳ συνεψήσας χρῶ, ὥστε μὴ ῥῆξιν ὑπομεῖναι τραχήλους μουλῶν, τοῦτο ποίει, στέατος χοιρείου νεαροῦ, λίτρας β', ὄξους ξέστας δύο, ἑψήσας ἄχρις οὗ ἀποτριτωθῶσι, καὶ διυλίσας, χρῶ.

ΠΡΟΣ ΠΟΝΟΝ ΣΠΟΝΔΗΛΟΥ.

Αἷμα λαμβάνειν χρή, καὶ θερμοῖς ἀλείμμασι χρῆσθαι, τουτέστι κηρόν, ἔλαιον, ἀξούγγιον, παλαιόν, νίτρον, πίσσαν ὑγράν, ἄσφαλτον, κόκκους δάφνης ἐν οἴνῳ μίξας τὸ σῶμα ὅλον ἀπότριβε, καὶ εἰ χρεία καλέσῃ, καὶ εἰς λουτρὸν εἰσαγαγὼν λοῦσον. μετὰ δὲ τὴν θεραπείαν ταύτην, προπότιζε οὕτω, ζιγγιβέρεως, πετροσελίνου, κυμίνου, ὀπίου, δαφνοκόκκων τὸ ἀρκοῦν μετὰ οἴνου καλοῦ καὶ μέλιτος συμμίξας, θερμὸν δίδου.

ΠΡΟΣ ΣΠΟΝΔΗΛΩΝ ΠΟΝΟΥΣ καὶ σπασμοὺς τῶν ἐν αὐτοῖς νεύρων.

Καυτηρίαζον δὲ ἑκατέρων τῶν μερῶν καθαρίως τοῦ σπονδύλου, μετὰ ταῦτα ἀξουγγίῳ ἐπάλειφε, καὶ μεθ' ἡμέρας ζ' ὕδατι θερμῷ ἀπόπλυνον, καὶ μετὰ τὸ ψυγῆναι ἀλείμμασι θερμαντικοῖς σύγχριε, καὶ δέρματι μετὰ ἐρέας περιδέσμει.

ΙΕΡΟΚΛΕΟΥΣ ΠΡΟΣ ΕΛΚΟΣ ἐπὶ ῥάχεως καὶ πλευρᾶς.

Ἐὰν ἐπιπόλαιον ᾖ τὸ ἕλκος, καὶ ἐψιλωμένον τὸ μέρος, κυνὸς κεφαλὴν καύσας, τὴν τέφραν ἐπίπασσε, πρὸς γὰρ τὸ θεραπεῦσαι, καὶ τριχώσει. ἐὰν δὲ εἰς βάθος ᾖ, ἧλον ἔχει, ὀρόβινον ἄλευρον ἀναλαβὼν μέλιτι, ἐλλύχνιόν τε γεμίσας, ἐπιτίθει καὶ πλήρου, καὶ ἐκβάλλει τὸν ἧλον, καὶ ἀπουλεῖ.

πλάτας ἀπότριβε, καὶ ἐπὶ πολλαῖς ἡμέραις θερμῷ ὕδατι ταύτας ἀπάντλει, ἵνα καθυγρανθῶσι, καὶ ἀφ' ἑκάστης ἐκ τοῦ ξακτώματος ἐπιτίθει, προαποπλύνων οἴνῳ τὸν τόπον. Ἄλλο.

Δαφνοκόκκων λίτρας τὸ ἥμισυ, οἴνου παλαιοῦ λίτραν μίαν, νίτρου τὸ ἀρκοῦν, τὸ νίτρον καὶ τὰ δαφνόκοκκα κόψας καὶ σήσας, καὶ ἐν ἑνὶ ἀγγείῳ πάντα συμμίξας, προαπάντλει τὰς ὠμοπλάτας θερμῷ ὕδατι, καὶ ἐν ἡλίῳ χρίε τούτῳ τῷ βοηθήματι. εἰ δὲ ἡ ὠμοπλάτη ἐκβληθείη, εἰσάγων αὐτὴν, τῇ αὐτῇ θεραπείᾳ χρήσῃ, ἥτις εἰ μὴ προχωροίη, καυτῆρα πρόσαγε.

Ἄλλο.

Κόκκων δάφνης λίτραν μίαν, θείου ἀπύρου γο γ̄, πίσσης ὑγρᾶς ξέστας β̄, κόψας πάντα οἴνῳ καὶ ἐλαίῳ μίξον, καὶ οὕτως ἀπότριβε.

Τιβερίου πρὸς ὠμοπλάτας χάλασμα.

Πίσσης ξηρᾶς λίτρας β̄, ῥητίνης κολοφωνίας λίτρας β̄, ῥητίνης τερεβινθίνης γο β̄, χαλβάνης γο β̄ μίξας ἐν ταυτῷ, χρῶ.

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ΟἸΔΉΜΑΤΟΣ ἐν ὤμῳ παρὰ τὸν ἀγκῶνα.

Ἄψυρτος Μάρκῳ ἱππιατρῷ χαίρειν. Βούλομαί σε εἰδέναι ὅτι ὑπὸ τῷ ὤμῳ τῷ λεγομένῳ ἀγκῶνι παρὰ τὴν μάλην ἢ ἱπποζώνην, συμβαίνει οἰδήματα γίνεσθαι ἐκ τραυμάτων. οἱ δὲ πρὸ ἡμῶν εἶπον ἐξ ὠμότητος γίνεσθαι, οἷς ἐγὼ οὐ συγκατατίθεμαι. θεραπεύεται πρόσφατα ὄντα, καὶ ἐμφύσημα ἔχοντα καυστικῷ καταχριόμενα. ὅταν δὲ στεατωθῇ καὶ σκλήρωσιν ἔχῃ, ἐκτέμνεται καὶ θεραπεύεται, ὡς καὶ τὰ λοιπὰ ἕλκη τὰ ἐν τῇ ῥάχει γινόμενα, ἅτινα λέγεται κύστις. ἀρίστη δὲ θεραπεία ἡ διὰ καυτηρίου, ὡσαύτως καὶ τῶν ἐν τῇ συνωμίᾳ, περιτεμνόμενα γὰρ λεπόδερμα γίνεται, καὶ δυσαπούλωτα μένει. ὅταν δὲ γένηται ἐν αὐτοῖς σηπεδὼν ἐπὶ βάθος, καὶ ἅψηται τοῦ ὑποκειμένου νεύρου, ἀναπεσὼν οὐ δύναται ἐγείρεσθαι, ἀλλὰ διαφωνεῖ.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΕΡῚ ἐκβολῆς σπονδύλου.

Πρῶτον, σάπωνι ἀπόπλυνον, εἶτα ὕδατι ὀμβρίῳ βαλὼν ἔλαιον, καὶ ᾠῶν τὸ λευκὸν ταράξας, ποίει ἀνακόλλημα, καὶ χρῶ.

Ἄλλο.

ἈΚΡΩΜΊΑΣ ἼΑΣΙΣ.

Τοὺς δὲ ἐμπύους τὰς ἀκρωμίας ἔχοντας καὶ τὰ ἐμπλεύρια, καὶ τὰ ἀποστήματα, πάντα τέμνε καὶ ἐπίκλινε ἵνα ἀπορρυῇ τὸ πῦον, καὶ εὐρυχωρίαν ἔχῃ, καὶ διαπνέηται, καὶ μὴ μικρὰν τομὴν λαβοῦσα ἡ καῦσις, συνουλωθῇ. ὅταν δὲ καύσῃς καὶ τέμῃς, ἐπιμέλειαν ποιοῦ, ὡς περὶ τῶν ἄλλων κεκαυμένων εἴρηται.

ΠΕΛΑΓΩΝΊΟΥ ΘΕΡΑΠΕΊΑ

ὠμοπλάτης.

Εἰ βλαβῇ ἵππος ὠμοπλάτην, ἐκ τῶν φλεβῶν τῶν οὐσῶν ἐν μέσῳ τῶν ἀντικνημίων, χρὴ αὐτὸν φλεβοτομεῖν, καὶ λιβάνου ἀλεύρου μετ᾽ αὐτοῦ τοῦ ἐκρέοντος αἵματος συμμίσγειν, καὶ ἀποχρίειν τὸ ἀλγοῦν μέρος. ἵνα δὲ μὴ ἔξαιμον γένηται τὸ ζῶον, ἐκ τοῦ ἀφοδεύματος αὐτοῦ ταῖς φλεψὶ περίθες, καὶ ῥάκιον ἐπίδησον. τῇ δὲ ἐπιούσῃ, πάλιν ἐκ τῶν αὐτῶν τόπων ἀπόλυε τὸ αἷμα, καὶ περὶ αὐτῷ τρόπῳ περιόδευε. ἀπεχέσθω δὲ τὸ ζῶον κριθῆς καὶ ἀρκείσθω ὀλίγῳ χόρτῳ, μετὰ τρίτην ἡμέραν ἕως ἕκτην, πράσου χυλὸν ὅσον τρεῖς κυάθους μετὰ ἐλαίου, λίτρας ἡμισείας τῇ φάρυγγι διὰ κέρατος ἐπίχει, καὶ μετὰ τὴν ἕκτην ἡμέραν διακινῆσαι ἀνάγκασον. καὶ ὅταν ἀναπατήσῃ κολυμβησάτω, καὶ οὕτως ὁδῷ προβαίνων, στερροτέρας τροφῆς προσφερομένης, ὑγιανεῖ.

Ἄλλο εἰς τὸ αὐτὸ πάθος καλὸν καὶ ἁπλοῦν.

Ἀφρόνιτρον, οἶνον, ἔλαιον, ἕψημα, ἀξούγγιον, καὶ βολβοὺς, ὁμοῦ πάντα συγκόψας, ἐκ τούτων τὰς ὠμοπλάτας ἀπότριβε.

Ἄλλο εἰ ἐλαφρῶς πάσχει τὰς ὠμοπλάτας.

Ἵππος εἰ ἐλαφρῶς πάσχει τὰς ὠμοπλάτας οἰνελαίῳ αὐτὸν ἀπότριβε. εἰ δὲ σφοδρότερον πάσχει, διάτρησον τὸ σῶμα αὐτοῦ, ἀρχόμενος ἀπὸ τῆς χαίτης μεταξὺ τοῦ δέρματος, καὶ τοῦ τραγανοῦ ἀπὸ δακτύλων ὀκτὼ, ὥστε αὐτοῦ μὴ ἅψασθαι, καὶ ἐμφυσήσας ἄνεμον ἔμβαλε, καὶ λεπτῇ ῥάβδῳ ἁπαλῶς πλῆττε τὰς ὠμοπλάτας, καὶ ἅλατι καὶ ἐλαίῳ ἀπότριβε αὐτῇ τῇ ἡμέρᾳ. τῇ δὲ ἐπιούσῃ τράκτωμα ποίει, οὗ ἡ κατασκευὴ αὕτη, σεμιδάλεως, ἢ ἀλεύρου σιτίνου, ἢ κριθίνου ξέστας δύο, ὧν δύο τὸ λευκὸν μόνον, λιβάνου γο α ς´, ὄξει φυράσας, τῇ χειρὶ μετ᾽ αὐτοῦ τὰς ὠμο

θαι. ποίει δὲ αὐτῷ ἀνακολλήματα ἀλεύρου κριθίνου χοίνικα, ὄξους δριμέος τὸ ἀρκοῦν, μάννης στατῆρα, ᾠὰ δύο, ἀνακόψας εἰς τὸ αὐτὸ, καὶ κατάχριε τοὺς ὤμους καὶ τὸν τράχηλον. ἐὰν δὲ μὴ ἀνύῃ ἡ θεραπεία, καῦσον καυτηρίοις ὀρθοῖς, εἶτα χρίσον ἅλατι καὶ ἐλαίῳ, καὶ πάλιν γλοιῷ ἐπὶ ἡμέραις ἑπτά. ἐὰν δὲ ἐκπέσωσιν αἱ ἐσχάραι, χρῶ τῷ ὀροβίνῳ, καθὼς εἴθισαι.

ἈΨΥΡΤΟΥ ΠΕΡΙ ἘΧΕΔΕΡμίας καὶ ὤμου χρονίου.

Ἄψυρτος Ἐπιφανίῳ ἱππιάτρῳ χαίρειν. ἐσπουδακότα σε περὶ τὴν τῶν ἵππων χρῆσιν, ἀναγκαῖον εἰδέναι. ἐχεδερμία λέγεται ἐν τῷ ἵππῳ, ὅταν ᾖ χρονίως τὸν ὦμον ἀλγῶν. θεραπεύεται δὲ οὕτως, δεῖ κατακλίναντα αὐτὸν, κροτῆσαι τὸν ὦμον νάρθηκι, ἢ ῥάβδῳ ῥάκει ἐρίου περιεστρεμμένῳ, πρὸς ἀπόστασιν τῆς βύρσης, εἶθ' οὕτω τρυπᾶν παρὰ βύρσαν τῷ χαστηρίῳ, παρὰ τὴν φύσιν τοῦ ὤμου εἰς τὸν κόκκυγα μέσον, καὶ τό τε διωθεῖσθαι τῇ σμίλῃ, καὶ ὑποδέρειν αὐτήν, εἶτα ἐντιθέναι αὐλίσκον, καὶ ἐμφυσᾶν εὐρώστως, καὶ κατάγειν ταῖς χερσὶ τὸ ἐμφύσημα κύκλῳ τοῦ ὤμου, μέχρι τῆς νύμφης, καὶ καταχεντεῖν τὴν βύρσαν τῷ χαστηρίῳ, καταλαμβανόμενον τὴν βύρσαν οὗ ἐμπεφύσηται, ποιεῖν τε κεντήματα ὅσα ἱκανὰ δεῖ μὴ λίαν ἀραιά, καὶ καταπάσσειν ἅλας λεπτὸν, καὶ ὄξος. ἀνατριβέσθω δὲ σὺν τῷ αἵματι καὶ καταχριέσθω ἐν αὐτῷ ἔτι κατακείμενος. ἔστω δὲ τοῦ ἁλὸς πλῆθος, παροψίς, τὸ δὲ ὄξος ἡμικοτύλια τρία. τῇ δὲ τρίτῃ ἡμέρᾳ, δεῖ ἐπαντλεῖν ὕδατι πολλῷ θερμῷ, καὶ ταῖς ἐπιούσαις καθ' ἡμέραν κεχρῆσθαι καταχρίσματι, ἀνιέντα ἐλαίῳ μάλαγμα τὸ διὰ βδελλίου συγκείμενον. ἐὰν δὲ μὴ ᾖ τοῦτο, οἴνῳ καὶ ἐλαίῳ ἀνατρίβειν, τηροῦντα ἀνεῳγότα τὰ κεντήματα, ἄχρις οὗ ἡ βύρσα προσκαθίσῃ. τοῖς δὲ καταχρίσμασι χρῆσθαι καὶ τῇ πυρίᾳ, ἄχρις οὗ μὴ χωλαίνῃ. ὑγιεῖ δὲ γενομένῳ, ἐν τοῖς ἔργοις ἐκ προσαγωγῆς χρῆσθαι. ταύτην δὲ τὴν θεραπείαν ποιεῖσθαι θερείας, χειμῶνος δὲ δυσκόλως ἐπιτυγχάνεται. ἔσθ' ὅτε δὲ καὶ ἀδικεῖσθαι ὅταν γε μὴν γένηται ἐν ἀμφοτέροις τοῖς ὤμοις τοῦτο. λέγεται μὲν συνωμίασις, θεραπεύεται δὲ ὁμοίως.

Ἀκρωμί-

Ἐὰν ἵππου ὦμος ἐκβληθῇ, ἢ τινὸς τῶν ὑποζυγίων, ῥίψον αὐτὸν ἐπὶ τὸ ἔδαφος, ἵνα ὁ ἐκβεβλημένος ὦμος ἐπάνω ᾖ, καὶ δήσας τὸν πόδα, καὶ πρὸς κύλινδρον ἀποτείνας, ποκάριον ἐπιτίθει ὑπὸ στήθει, καὶ ξυρήσας τὸ δέρμα τοῦ ὤμου, μέχρις ἡμερῶν τεσσάρων, βάλλε ἐπιούρους συκίνους, εἶτα ἐν οἴνῳ καὶ ἐλαίῳ βρέχε πολλῷ ἐπιθεὶς τοῖς ἐπιούροις ἔρια, καὶ μετὰ τέσσαρας ἡμέρας λῦσον, εἶτα ἐκσύρας τοὺς ἐπιούρους, πάλιν βρέχε τοῖς αὐτοῖς.

ΚΑΤΆΠΛΑΣΤΟΣ ΕἸΣ
συνωμίας πόνον.

Αὐτολύκιον ἢ ἐλλέβορον λευκὸν, καὶ κέλυφα ᾠοῦ κατακαύσας καὶ κολοκύνταν, καὶ κεράσια τρία καὶ ἀγρισίκυον, καὶ πάντα κόψας ἐν ταυτῷ, ἐπίπασσε.

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ΣΥΝΩΜΊΑΣ.

Πρῶτον μὲν ἐν ὕδατι θερμῷ καταύτλησον πολλῷ, εἶτα ἐγκαταφύσησον οἴνῳ καὶ ἐλαίῳ θερμῷ τρίψον καὶ τῇ ἄλλῃ ἀπὸ τῶν ὤμων ἄφελε αἷμα, μὴ πολὺ ἀλλὰ ὅσον κοτύλας ἕξ, μὴ εἰς μείζονα ἀῤῥωστίαν ἐμβάλῃς, καὶ ὡσαύτως ὡς ἔμπροσθεν καταύτλει τῷ ὕδατι καὶ τρίβε. ἐὰν μὲν οὖν ἀπ᾽ αὐτῆς τῆς θεραπείας ὑγιὴς γένηται, εἰ δὲ μή γε, λαβὼν χαστήριον, χάσον παρὰ τὴν ἀκρωμίαν τὸ δέρμα διαμπερὲς, διαλιπὼν ἀπὸ τῆς ἀκρωμίας δύο δακτύλους, εἶτα ἐνθεὶς αὐλίσκον, ἐμφύσα, καὶ ἔπαγε τὸ δέρμα ἐπὶ τὸ ἄρθρον τῶν ὤμων, ἵνα πάντοθεν ὁμαλῶς ἀποστήσῃς, εἶτα ἐξελὼν τὸν αὐλίσκον, μότωσον τὴν τομὴν ἐρίῳ πιναρῷ, εἶτα ἐγκαταύτλει ὕδατι θερμῷ, προσέχων ἵνα μή τι παραῤῥυῇ τοῦ ὕδατος, εἶτα ἐὰν πίον γένηται, προσέχε ἵνα ἀποκλεισθῇ ἡμέρας δύο. τῇ δὲ τρίτῃ, ἔξαιρε τὸ ἔριον, καὶ ἔα ἀποκλείεσθαι. τὴν δὲ λοιπὴν θεραπείαν, πρόσφερε ὡς γέγραπται. εἰ δὲ μή γε, καῦσον αὐτὸν καυτηρίοις στρογγύλοις εἰς τοὺς ὤμους.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΕΡῚ
συνωμίας καὶ ῥάχεως.

Ἐὰν ἀλγήσῃ τὴν συνωμίαν ἀπὸ δρόμου ἀμέτρου, ἢ φορτίου ἢ τοὺς ὤμους ὡς συνδεδεμένους ἔχῃ, καὶ τὸν τράχηλον πρὸς κατάβασιν ἀλγῇ, καταντλείσθω ὕδατι θερμῷ καὶ ῥοιζέσθω. ποίει

πῆσαι τὸν ὦμον νάρθηκι, ἢ σανδαλίῳ λεπτῷ, ἁπαλόν τι ῥάκος ὑπὸ σανδαλίῳ περιβαλόντα. ἐὰν δὲ ἀποστῇ κρουομένη ἡ βύρσα, ῥυπαρὸν δεῖ παρὰ βύρσαν τῷ χαστηρίῳ παρὰ τὴν ἔκλυσιν τοῦ ὤμου εἰς τὸν κόκκυγα μέσον. Ἱερώνυμος δέ φησιν ἀπὸ δακτύλων τεσσάρων τῆς ἀκρωμίας, καὶ οὕτω διώσαντας τὴν σμίλην ὑποδέρειν αὐτόν, εἶτ' ἐνθέντας αὐλίσκον ἐμφυσᾶν εὐρώστως, καὶ κατάγειν ταῖς χερσὶ τὸ ἐμφύσημα κύκλῳ τοῦ ὤμου μέχρι τοῦ νύμφης, καὶ κατακεντεῖν τὴν βύρσαν ὑπὸ χαστηρίῳ καὶ καταπάσαντα ἁλσὶ λεπτοῖς καὶ ὄξει ἀποτρίβειν σὺν ὑπὸ αἵματι, καὶ καταχρίειν αὐτὸν ἐγκατακείμενον. ἔστω δὲ τῶν ἁλῶν πλῆθος, τοῦ δὲ ὄξους ἡμικοτύλια τρία. τρίτῃ δὲ ἡμέρᾳ ἐξαντλεῖν αὐτὸν ὕδατι θερμῷ, καὶ ἐφεξῆς καθ' ἡμέραν. χρῆσθαι δὲ καὶ καταχρίσματι, ἀνιέντα ἐλαίῳ τῷ διὰ βδελλίου μαλάγματι συγκειμένῳ. εἰ δὲ μὴ, οἴνῳ καὶ ἐλαίῳ ἀνατρίβειν, τηροῦντα ἀνεῳγότα τὰ κεντήματα, μέχρις ἂν μὴ χωλεύῃ. ὑγιεῖ δὲ γενομένῳ, χρῆσαι ἐν τοῖς ἔργοις ἐκ προσαγωγῆς καὶ κατὰ λόγον. ἐν θέρει δὲ ἡ θεραπεία ἁρμόττει, ὡς τῷ γε χειμῶνι δυσχερῶς κατορθοῖ. ἐνίοτε δὲ καὶ βλάπτειν, ὅταν γε μὴν ἐπ' ἀμφοτέροις γένηται τοῦτο τοῖς ὤμοις, καλοῦσιν αὐτὸ συνωμίασιν, τὸν μὲν τρόπον τὸν αὐτὸν θεραπεύεται. ἐν δὲ ὑπὸ ἀγκῶνι τοῦ ὤμου παρὰ τὴν μασχάλην συμβαίνει γίνεσθαι οἴδημα ἐξ αὐτομάτου, ὅπερ φασί τινες ἐξ ὠμότητος. πρόσφατον μὲν οὖν θεραπεύεται καυστικῷ καταχριόμενον. ὅταν δὲ στεατωθῇ καὶ σκληρὸν γένηται ἐκτμηθὲν, θεραπεύεται ὡς τὰ λοιπά.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΕΡῚ ἘΝ ῬΆΧΕΙ καὶ συνωμίᾳ ἑλκῶν.

Τῶν ἐν τῇ ῥάχει καὶ τῇ συνωμίᾳ γινομένων ἑλκῶν, ἀρίστη θεραπεία ὥς φησιν Ἄψυρτος, ἡ διὰ τοῦ καυστηρίου. τὰ γὰρ περιτεμνόμενα, λεπτοσαρκεῖ καὶ λεπτοδερμεῖ, καὶ δυσεπούλωτα μένει, ὡς γίνεσθαι ἐνίοτε συμπεδόνα κατὰ βάθους. ἧς ἁψαμένης τοῦ νευρώδους, ἀναπεσὼν ὁ ἵππος, οὐ δύναται διεγείρεσθαι, ἀλλὰ διαφθείρεται.

ἌΛΛΟ ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΕΡῚ ὤμου ἐκβολῆς.

Ἐὰν ἐπ-

χωλὰ, ἀτροφεῖ τε τὸ ἰσχίον καὶ παραξηραίνεται, καὶ τὴν ὁπλὴν ἐπισύρων ἐπιβιβάζει. συμβαίνει δὲ τοῦτο ὅταν βοχάζων ὀλισθήσῃ, καὶ πεσὼν διασυρῇ, ὃ λέγουσι βατραχῆσαι. ἔσθ᾽ ὅτε δὲ καὶ συνέκρουσεν ἐν τῷ πεδίῳ πρὸς ἕτερον ἱππάζων, καὶ οὕτως ἔκτασις ἐγένετο τοῦ νεύρου, καὶ σπασμὸς τοῦ ὤμου, δυσχερῶς δὲ γίνεται τοῖς νωταγωγοῖς. συμβαίνει δὲ λακτίζοντα εἰς τὸν τοῖχον, ἢ λίθον, ἢ ξύλον, ἢ τι τοιοῦτο, ἢ πτοηθέντα διά τινα αἰτίαν ἐκτινάξαι τὸν σφυρὸν, ὃ γίνεται εἰς τὸ παρὰ φύσιν αὐτόματον, εὐθὺς δὲ φλεβοτομεῖν ἀναγκαῖον ἐκ τοῦ μεσοκνημίου, καὶ δεσμεύειν ὥσπερ καὶ τὰς θραύσεις, μέχρις ἡμερῶν τεσσαρεσκαίδεκα, στερεώσαντα δὲ καίειν ἐμπλέκοντα μανδάκῃ. ἐὰν δὲ μὴ φλεβοτομηθῇ, ὑποβρέχει ὁ ἰχὼρ καὶ τὸ αἷμα τουτό που διϊάσασιν ἀλυφόβους, καὶ ἄμορφον γίνεται παρὰ φύσιν τῇ περιοχῇ τὸ σφυρὸν, καὶ μᾶλλον χωλεύει.

ΘΕΟΜΝΗ'ΣΤΟΥ ΕΙ'Σ ΤΟ' ΑΥ'ΤΟ'.

Ἐὰν ἐν τῇ ἐλασίᾳ ὁδοιποείᾳ ἵππος, ἢ ἄλλοτι ὑποζύγιον ὦμον κατεαγῇ, ἢ ἐκτραπῇ καὶ χωλαίνῃ, εἰ μὴ παρὰ φύσιν ἐκβῇ τῆς θέσεως, θεραπεύειν αἵματος ἀφαιρέσει ἀπ᾽ αὐτοῦ τοῦ ὤμου, καὶ δέχεσθαι τὸ αἷμα εἰς ἀγγεῖον, καὶ μιγνύναι ἐν αὐτῷ ἔλαιον καὶ ὠὰ τρία ἔψυμα, καὶ βολβοὺς ὠμοὺς καλῶς λειανθέντας, καὶ κοχλίας μικροὺς ν, καὶ ἀναχρίειν θερμῷ καλῶς, καὶ χρῆσθαι ἀνακολλήματι ὅπερ εἰς τοῦτο κατεσκευάσθη.

ΙΠΠΟΚΡΑ'ΤΟΥΣ ΠΕΡΙ' ἐκβολῆς ὤμου.

Ἐὰν ἐν ταῖς συμβολαῖς τῶν ὤμων καὶ τῶν βραχιόνων γένηται χωλεία, σημεῖα δ᾽ ἐστὶ ταῦτα. οὐ προφέρει εἰς τὰ ἔμπροσθεν, οὐδὲ συνάγει τὸν βραχίονα, ἀλλὰ ἐπισύρει τὸ σκέλος, ἐν δὲ τῇ καταβάσει, καταφέρεται λίαν. θεράπευε οὖν ἐναλείφων οἴνῳ καὶ ἐλαίῳ, καὶ αἷμα ἀφαιρῶν ἐκ τῶν βραχιόνων, καὶ πλύνων ἐπὶ ἡμέραις ἑπτὰ, ἔπειτα σύγχρισον ἐπὶ μιᾷ ἡμέρᾳ γλοιῷ παιδικῷ σὺν οἴνῳ καὶ ὄξει.

ΙΕΡΟΚΛΕ'. ΠΕΡΙ' ὬΜΟΥ ΧΡΟΝΙ'ΟΥ.

Ἐὰν χρονία ᾖ ἡ ἀλγηδὼν τοῦ ὤμου, χρηστέον τῇ ἀψύρτου ὑφηγήσει. ἔστι δὲ αὕτη, κατακλίναντα τὸν ἵππον χρὴ κρο-

ΠΕΡῚ ὬΜΟΥ ΠΑΘΌΝΤΟΣ.

ΚΕΦΆΛΑΙΟΝ κϛ.

ἘΑΝ ὦμος πάθῃ ἢ θλασθῇ, θεραπεύεσθαι ὥς φησιν Ἱερώνυμος οὕτως, αἷμα ἀφέλοντα ἀπὸ τοῦ στήθους ἐν μὲν τῷ θέρει, ψυχρῷ καταντλεῖν. ἐν δὲ τῷ χειμῶνι θερμῷ, καὶ μὴ κινεῖν, ἕως οὗ καταστῇ. ἔνιοι δέ φασιν ἀρίστην εἶναι κατάντλησιν, εἰ πτελέας φύλλα ἐπὶ τρίτης ἐν ὕδατι ἑψήσας, καταντλοίης.

ΘΕΟΜΝΉΣΤΟΥ ΠΕΡῚ ὬΜΟΥ βλαφθέντος ἴασις.

Ἀσφάλτου κώνης, ἀμμωνιακοῦ, θυμιάματος, χαλβάνης θείου ἀπύρου, βδελλίου, πάντα δὲ ἴσου μίξας, κατάχριε τὸν τόπον τὸν πάσχοντα.

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ἘΚΒΟΛΗ͂Σ ὤμου καὶ κοτύλης.

Ἄψυρτος Ἀπελλᾷ Λαοδικεῖ ἱππιάτρῳ χαίρειν. ὅσοι λέγουσιν ἐν τοῖς ὤμοις ἐκβολὴν, καὶ τοὺς γόμφους ἐν τοῖς ἐμπροσθίοις μέρεσι τεθεραπευκέναι, οὐκ ἔγνωσαν οὐδὲ τὸ συμβεβηκός. ἐκβολὴ γάρ ἐστιν ὅταν ἐκραγῇ τὸ ἐχόμενον νεῦρον ἐκ τῆς ὠμοπλάτης ἢ κοτύλης, ὁ κόνδυλος ὃν λέγομεν γομφόν. τούτων δὲ οὐκ ἔστι θεραπεία οὐδὲ μία. ἐντιθέμενα γὰρ εἰς τάξιν οὐ μένει, ἀλλ᾽ ὀλισθαίνει μὴ ἔχοντα τὸ συναφές. θεραπεύεται δὲ ὅταν γένηται ἔκτασις τοῦ νεύρου καὶ χάλασμα τοῦ ὤμου, καὶ ποδὶ πατῶν ἐπισύρει τὸν ὄνυχα, ἢ ἄνωθεν πεπηγμένον ἐκινεύει τὸ ἄρθρον βαδίζοντος. ἔστι δὲ ἡ θεραπεία τοιαύτη. δεῖ ἀνώσασθαι κατὰ φύσιν τὸ ἄρθρον τοῦ ὤμου, καὶ πόρπακας ἐντιθέναι, ἀντιπόρπους μυρικίνους, καὶ καταβρέχειν ὀξελαίῳ, προκαταντλοῦντα ὕδατι θερμῷ, ἄχρις οὗ ἀποπέσωσιν οἱ πόρπακες, καὶ τότε θεραπεύειν τὰ ἕλκη τῇ λιπαρᾷ. ὑγιοῦς δὲ γενομένου, καίειν αὐτοῦ περὶ τὸ ἄρθρον γραφῇ στρογγύλῃ ἐγκεχρισμένῃ, καὶ ἔσται ὑγιής. τὰ δ᾽ ἐν τοῖς ὀπισθίοις μέρεσι, δυσεπίτευκτά εἰσι καὶ μένει χωλά,

κοιλοῦται. θεραπεύεται δὲ περιτεμνόμενα τὰ τοιαῦτα οἰδήματα καὶ ἀντεμνόμενα, καὶ ἔχει δὲ φυσήματα ἄναιμα, καὶ εἰσβάλλεται εἰς τὰ τετμημένα ῥοὰ ἡ στύφουσα, καὶ ἐπάνω τὰ ἄλφιτα. τῇ δὲ ἐχομένῃ ἡμέρᾳ, κυπάρισσον δεῖ κόψαι, καὶ μίξαι τοῖς ἀλφίτοις, καὶ μετὰ ὄξους φυρᾶσαι καὶ καταπλάσσειν, ἀποσύραντα τὰ προϋποκείμενα τῇ χειρί. ὕδωρ δὲ μὴ προσάγειν καὶ ὡσαύτως τὰς ῥόας ἀντιθεῖναι. τῇ δὲ τρίτῃ τὸ αὐτὸ ποιεῖν. ὁπόταν δὲ δοκῇ κεκρατῆσθαι, καταπλύναντας ὕδατι, καὶ κράμβης φύλλα κόψαντας, καὶ μίξαντας ἄλευρον κρίθινον καταπλάσσειν, καὶ ἔσται ὑγιής.

ἹΕΡΟΚΛΕΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Εἴωθε τοῖς ὑποζυγίοις πυρώματα γίνεσθαι, καὶ μάλιστα τοῖς νωταγωγοῖς. φέρει γοῦν κίνδυνον αὐτοῖς, καὶ μάλιστα τὸ θῆλυ. ἔστι γὰρ καὶ ἄρρεν οἴδημα τὸ γινόμενον περὶ τὸν τόπον μέγα, τὸ καὶ ἰχῶρα ἔχον καὶ ἀποστρακούμενον. ἀντέμνεται οὖν τὰ οἰδήματα, ἅπερ ἐστὶ φυσήματα καὶ αἷμα οὐκ ἔχοντα. χρὴ δὲ ἐμβαλεῖν εἰς τὰ τετμημένα ῥόαν τὴν στύφουσαν καὶ ἐπάνω ἄλφιτα. τῇ δὲ ἑξῆς ἡμέρᾳ κυπάρισσον κόψας καὶ μίξας τοῖς ἀλφίτοις, μετὰ ὄξους τε φυράσας κατάπλασσε, ἀποσύρας τὰ προϋποκείμενα τῇ χειρί. ὕδωρ δὲ προσφέρειν οὐ χρή, ἀντιθεῖναι μέντοι καὶ αὖθις τὰς ῥόας. καὶ ὅταν καλῶς ἡ θεραπεία προχωρήσῃ, κατάπλυνε ὕδατι, καὶ κράμβης φύλλοις μίξας, ἄλευρον κρίθινον κατάπλασσε, καὶ ἔσται καθαρόν, ἢ πράσα μίξας τῷ ἀλεύρῳ τῷ ὀροβίνῳ, κατάπλασσε ἕως γένηται ὑγιῆ. ἔνιοι δὲ μετὰ τὴν ἐκτομήν, ὄξει καταβρέχειν δοκεῖ, καὶ ἀναπληροῦν τὰς τομὰς ῥοιᾷ τῇ ἐσθιομένῃ. τῇ δὲ ἑξῆς καταπλάσσειν ἀλφίτοις, φακοῖς τε τοῖς ἀπὸ τῶν λιμνῶν προϋποβρέξαντα ὄξει, εἶτα σταλέντων τῶν οἰδημάτων, περιτρίψαντα καὶ περιπλύναντα θεραπεύειν τῷ τραυματικῷ φαρμάκῳ.

θόμεθα, ἕως οἱ σπόνδυλοι τῆς τραχηλιᾶς εἰς τὸ κατὰ φύσιν ἔλθωσιν, εἶθ' οὕτω πόρπακας μυρικίνους ποιεῖν τρεῖς, καὶ τὸ χαστηρίῳ τρυπᾶν τὸν τράχηλον κατὰ τὸ κυρτὸν γεγονὸς μέρος ἐκ διαστήματος ἴσου, καὶ διείλειν αὐτοὺς ὑπὸ δέρμα, καὶ ἀποδεσμεῖν διὰ τῆς βύρσης χοινίῳ, ἢ τόνοις ῥαφίδι καννάβινῳ, ἔχοντι πάχος ν δρας. τὸ δὲ ἅμμα ποιεῖν βρόχον τὸν καλούμενον λύκον, καὶ ἀποδεσμεῖν, ἀποβρέχειν τε ὀξελαίῳ τρὶς τῆς ἡμέρας, καὶ οὕτω συλλαμβάνειν τοὺς πόρπακας ἄχρις ἂν ἀποπέσωσι, καταντλεῖν δὲ ὕδατι θερμῷ καὶ θεραπεύειν, οὕτω γὰρ οὐκ ἔτι διαστραφήσεται.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ ΤΡΑΧΉλου παρακίνημα.

Κόπρον προβάτου μετὰ οἴνου παλαιοῦ καὶ ἐλαίου μῖξον, καὶ θερμάνας πολλάκις ἀπότριβε τὸν τράχηλον, καὶ εἰς τὸ ποτὸν ἰδρόμελι χλιαρὸν ἔμβαλε. εἰ δὲ κατὰ τὸν αὐτὸν τόπον ὑπομένοι σκληρία, στέαρ χοιρείου καὶ στέαρ αἴγειου ἀνὰ λίτραν μίαν, ῥητίνης κορινθίας δραχμὰς ἕξ, στέατος χηνίου μέρος τέταρτον, ἐλαίου κυπρίνου κοτύλης ἥμισυ, πάντα μαλακῷ πυρὶ λύσας ἔχε πρὸς σύγχρισιν. μέλι δὲ καὶ ἔλαιον μίξας, διὰ τῶν μυκτήρων ἔγχει.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΡῸΣ ΤΡΆΧΗλον κεκλασμένον, ἢ σκέλος.

Ἀξουγγίου γο β, κηροῦ λίτραν μίαν, συπηρείας γο δύο, σκορόδων κεφαλῶν οὐγγίας β, λειώσας ἅπαντα ἐν ταυτῷ, καὶ ἑψήσας, χρῶ.

ἈΨΥΡΤΟΥ

ΠΡῸΣ ΠΎΡΩΜΑ, Ὃ ΝΥ͂Ν ΟἾΜΑΙ ΤΟΥ͂ ἉΓΊΟΥ ΚΑΛΕΙ͂ΤΑΙ.

ΚΕΦΆΛ. ΚΕ.

Πυρώματος γινομένου τῷ ἵππῳ, ἢ ὑποζυγίῳ τινί, ὃ δὴ μάλιστα συμβαίνει τοῖς νωταγωγοῖς, καὶ ἔστιν ἐπισφαλὲς καὶ κίνδυνον ἔχον, οἰδήματα γίνεται περὶ τὸν τόπον μεγάλα ἰχῶρας ἔχοντα, καὶ ἀποστα-

ποιοῦται

ἀλλὰ παραγωγὴ, ἐν οἷς τινες ἐπιδέσμοις χρώμενοι διὰ τῶν πλασίγγων καὶ κρειῶν, οὐδὲν ἀγαθὸν ποιοῦσιν. ἡμέτερον δὲ εὕρημα τοῦτο, δεῖ ἑστῶτος τοῦ ἵππου τὸ παρηγμένον μέρος τοῦ τραχήλου καὶ κεκυρτωμένον ἀνώσασθαι, εἶθ' οὕτως πόρπακας ποιήσαντας μυρικίνους, ἐπιτιθέναι τῷ τόπῳ παρὰ βύρσαν, ἀντιπόρπους ξυπῶντας τῷ χαστηρίῳ. τὸ δὲ ἅμμα ποιεῖν, βρόχον τὸν καλούμενον λύκον, καὶ οὕτω συλλαμβάνειν σὺν πόρπακας καὶ καταδεσμεῖν, καταβρέχειν τε ὄξει καὶ ἐλαίῳ δὶς τῆς ἡμέρας τὸν τόπον, ἄχρις ἂν ἀποπέσωσι, καταντλεῖν τε ὕδατι θερμῷ καὶ θεραπεύειν τὰ ἕλκη τῇ λιπαρᾷ, καὶ ἔσται ὑγιής. ἔστω δὲ τὸ σφήκωμα λινοῦν, ἢ καννάβινον, τὸ πάχος ἔχον χορδῆς τοξικῆς.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΕΡῚ ΤΡΑΧΉλου ἐκπλώσεως.

Τὸ μὲν ὄνομα τοῦτό ἐστι περὶ πάθει τραχήλου ἔκπλωσις. λέγει δὲ ἄψυρτος μὴ εἶναι ἐκβολήν, ἀλλὰ παραγωγήν, σὺν γοῦν ἐπιδέσμους, σὺν διὰ τῶν πλασίγγων μέμφεται. φησὶ δὲ τοῦ τραχήλου τὸ παρηγμένον μέρος καὶ κεκυρτωμένον ἀνώσασθαι εἰς τάξιν, εἶθ' οὕτω πόρπακας ποιήσαντα, μυρικίνους ἐντιθέναι τῷ τόπῳ παρὰ βύρσαν ἀντιπόρπους, ξυπῶντα τῷ χαστηρίῳ. τὸ δὲ εἶδος τοῦ δέματος, ποιεῖν βρόχον τὸν καλούμενον λύκον, καὶ οὕτω συλλαβόντα σὺν πόρπακας ἀποδεσμεῖν, καταβρέχειν τε ὄξει καὶ ἐλαίῳ δὶς τῆς ἡμέρας τὸν τόπον, ἄχρις οὗ ἀποπέσωσιν. καταντλεῖν δὲ ὕδατι θερμῷ, καὶ θεραπεύειν τὰ ἕλκη τῇ καλουμένῃ λιπαρᾷ. ἔστω δὲ τὸ σφήκωμα λινοῦν, ἢ καννάβινον, ἔχον τὸ πάχος χορδῆς τοξικῆς.

ΘΕΟΜΝΉΣΤΟΥ ΠΕΡῚ παραγωγῆς τραχήλου.

Συμβαίνει ἵππῳ καὶ ἄλλῳ ὑποζυγίῳ παραγωγὴν τραχήλου παθεῖν, ὅταν πρῶτον δεθῇ, καὶ πρὸς δένδρον προσαφθῇ ἀγανακτοῦντι καὶ διαστρεφομένῳ, ἢ κακουργῶν ἐν ζυγῷ, ἢ καταστραφέντος ὀχήματος ἐκτραπείσης τῆς ζεύξεως, καὶ γίνεται τοῦ τραχήλου αὐτοῦ τὸ ἓν μέρος κοῖλον, τὸ δὲ ἕτερον κυρτόν. τοῦτον θεραπεύομεν, τιθέντες ἐπὶ τὴν γῆν τὸ κοιλότερον τοῦ τραχήλου, καὶ τὸ κυρτὸν ἐπάνω, καὶ βαροῦντες ἰσχυρῶς ἀνω-

χαλκῖον ἄλλο ἐπιβαλὼν ὕδωρ, ὅσον ξέστας δ', πρόσμιγε εἰς τὸ αὐτὸ τ' ἀγγεῖον ἰσχάδας κ', καὶ γλυκυζίζου γο Β', καὶ ποίησον ζέσαι τοσοῦτον, ὅσον ἀπὸ τεσσάρων ξεστῶν τρεῖς ἐναπομεῖναι, καὶ τότε τὸ ἀφέψημα τοῖς προγεγραμμένοις, τουτέστι τῷ λελειωμένῳ κυάμῳ, καὶ τῷ βουτύρῳ καὶ τῷ τραγείῳ στέατι μίξας, λέαινον. εἰ δὲ ἔτι σκληρότερον εὑρεθῇ, ἐπίβαλλε ἕψημα τοσοῦτον, ὅσον δύναται τοσαύτην ὑγρότητα ἐμποιῆσαι, ὥστε διὰ κέρατος προχωρῆσαι, ἐγχυμάτιζε.

ΙΕΡΟΚΛΕΟΥΣ ΠΕΡῚ ΑΥ̓ΧΈΝΟΣ ὙΠΟΖΥΓΊΟΥ ἘΠΑΡΘΈΝΤΟΣ.

ΚΕΦΆΛΑΙΟΝ ΚΓ.

Ἐὰν αὐχὴν ὑποζυγίου παραριφθῇ καὶ ἐπαρθῇ, καλὸν χρῆσθαι τῇ θεραπείᾳ, ἣν ἐν τοῖς κλεομένοις τοῦ λίθου εὕρομεν, μυρίκης καὶ σκίλλης ἴσον ἑκατέρου ῥίψας, παράμισγε στέατός τε χοιρείου, καὶ κηροῦ τὸ ἴσον τήξας, πρόσμιγε, καὶ θείου καὶ λιθαργύρου καὶ μάννης, λιβάνου τε τὸ ἴσον, καὶ ψιμυθίου καὶ κεδρίας, ῥίψας τὰ ξηρὰ πάντα, παρέγχει τὴν κεδρίαν, καὶ συναναμίξας, κατάχριε λεπτότερον, ἢ ψιμυθίου καὶ λιθαργύρου, ἴσον ἑκατέρου τρίψας, ἐπίχεε ἔλαιον ῥόδινον καὶ κηρωτῆς τὸ πάχος ποιήσας, χρῶ. ἐὰν δὲ ὑπὸ μάστιγος, ἢ τινὸς ἄλλου τοιούτου ἔπαρμα ᾖ, θεῖον ῥίψας καὶ ἀναζέσας μετὰ ὄξους, κατάχριε τὸν πεπονθότα τόπον.

ΑΨΥΡΤΟΥ ΠΕΡῚ ΠΑΡΑΓΩΓΗ͂Σ ΤΡΑΧΉΛΟΥ.

ΚΕΦΆΛΑΙΟΝ ΚΔ.

Ἄψυρτος ὠρίωνι ἀλεξανδρεῖ χαίρειν. ἔγραψάς μοι ζητῶν, ποίᾳ μεθόδῳ τὴν ἔκπλωσιν τοῦ τραχήλου ἐν τοῖς ἵπποις, εἰς τὸ κατὰ φύσιν καταστήσεις. γινώσκειν οὖν σε θέλω, ὅτι οὐκ ἔστιν ἐκβολή,

ἀλλὰ

ὀποπάνακος ῥίζης γο α΄, μετὰ τὸ συνεψηθῆναι καλῶς, ἐμβαλὼν εἰς ἀγγεῖον ξύλινον ἢ μολύβδινον, ἀπόθου, καὶ χρῶ ἐπὶ τῆς χρείας, διδοὺς κοχλιάρια δύο.

Ἄλλο.

Φακὴν φρύξας, καὶ ἀλέσας, καὶ λινόσπερμον καὶ τῆλιν ἀλέσας σῆσον, καὶ ἀφ' ἑκάστου κοχλιάριον συμμίξας, καὶ σκόροδα γαλικὰ τὰ ἀρκοῦντα, μετὰ οἴνου ἐγχυμάτιζε.

ἌΛΛΟ ΣΥΜΒΑΛΛΌΜΕΝΟΝ
καὶ ἀνθρώποις.

Σχοίνου ἄνθος, σταθμὸν δηναρίων δ΄, ὀποπάνακος, ναρδοστάχυος, σμύρνης, ὀπίου, κρόκου σικελοῦ, φύλλων νάρδου, κόστου, ἀνὰ δηναρίων δ΄, μέλιτος ἀττικοῦ, σταθμὸν δηναρίων β΄ συμμίξας, δίδου.

ἌΛΛΟ ΠΡΟΠΌΤΙΣΜΑ.

Ἀβροτόνου γο ϛ΄, ὑσσώπου κρητικοῦ τὸ ἴσον, ὀπίου ὀβολὸν ἕνα, κόστου γο β΄, ναρδοστάχυος γο β΄, ὀποπάνακος ῥίζης γο μίαν, πασίλου κεκαυμένου γο ϛ΄, κινναμώμου γο α΄, σμύρνης γο β΄, λιβάνου ἄρρενος, πεπέρεως λευκοῦ, σχοίνου ἄνθος ἀνὰ γο β΄, πεπέρεως μέλανος γο α΄, κασίας γο β΄, καρδαμώμου γο ϛ΄, καστορίου γο ϛ΄, μέλιτος πρωτέου λίτρας ε΄, κρόκου γο β΄.

Ἄλλο.

Βοτάνην τὴν λεγομένην λάπαθον ἑψήσας ἐπιμελῶς, ποίησον σφαιρία, καὶ τούτοις πρόσθες ἔλαιον ἰσπάνιον, ὄξος τε ἅμα βαλὼν καὶ κύμινον, καὶ ἅλας συμμέτρους δίδου τῷ ζώῳ, τῇ μὲν πρώτῃ ἡμέρᾳ σφαιρία τρία, τῇ δὲ δευτέρᾳ δ΄, τῇ τρίτῃ ε΄, καὶ γνώσῃ τὴν τοῦ βοηθήματος ὠφέλειαν.

Πολλάκις βήσσουσιν ἵπποις καὶ ἡμιόνοις συνελθὼν, ὥστε θεραπεῦσαι διὰ βοηθημάτων. καὶ προποτίσμασι δὲ οὐχ ἧττον χρησάμενος, καὶ ἔτι τῆς νόσου παραμενούσης, μόλις κατελαβόμην χρήσιμον εἶναι καὶ λυσιτελὲς, ὑπὲρ πάντα τόδε πρὸς βῆχα τὸ βοήθημα, ὃ ἐπὶ τρισὶν ἡμέραις ἢ πέντε διὰ κέρατος χρὴ δίδοσθαι, φάβατος πεφρυγμένου ξε. α΄, ἑψήσας καὶ μετὰ τὸ ἑψηθῆναι λειώσας ἐν θυίᾳ, καὶ βαλὼν βουτύρου γο γ΄, στέατος τραγείου γο β΄, ἐν χύτρᾳ καινῇ λῦσον, ἐν θερμῇ σποδιᾷ, καὶ σύμμιξον τῷ φάβατι, καὶ μετὰ ταῦτα, τῆλιν ἐν χαλκείῳ μεθ' ὕδατος ἀποζέσας. τὸ μὲν πρῶτον αὐτῆς ἔκχει ζέμα, καὶ

ἄλλο

λὸν συμμίξας, καὶ ἐπιβαλὼν ἡμίναν γάρου καλοῦ, ποίησον σφαιρία, δίδου τῷ βήσσοντι. Ἄλλο.

Κισσοῦ φύλλα, καὶ λεύκης λευκῆς, τῆς τυχούσης λειώσας, καὶ μίξας οἴνῳ παλαιῷ λευκῷ, διὰ ῥινῶν ἐγχυμάτιζε.

Ὀξυσχοίνου σπέρμα τῷ χόρτῳ τῷ παραβαλλομένῳ τῷ ζώῳ σύμμιξον.

Πηγάνου φύλλα τὰ ἁπαλὰ τρίψον, καὶ μετὰ οἴνου παλαιοῦ διὰ ῥινῶν ἔγχει, καὶ τὸν χόρτον ὃν ἐσθίει, χυλῷ ἀγρίου σικύου ῥάντιζε. Βέλτιον δὲ αὐτοῦ ἀγριοσικύου τὸ σπέρμα, καὶ τὰς ῥίζας ξηρὰς συμμίξαι μετὰ κριθῶν, καὶ οὕτω παραβάλλειν. Ἄλλο.

Θεῖον ἄπυρον, καὶ βράθυος τὸ ἀρκοῦν μέλιτι καὶ οἴνῳ μίξας, διὰ τῆς ἀριστερᾶς ῥινὸς ἐγχυμάτισον, ἢ πάνακος ῥίζαν κόψας καὶ ἐπιβαλὼν οἴνου ἡμίναν μίαν, καὶ ἐλαίου κυάθους τρεῖς, τὸ αὐτὸ ποίει. Ἄλλο.

Βράθυος γράμματα δʹ, σμύρνης γράμμα αʹ, κρόκου γράμματα δύο, οἴνου ξέστην α ςʹ, ἐλαίου ξέστου τὸ ςʹ συμμίξας, δίδου πρωῒ ἡμίναν, καὶ μετὰ τὸ ἄριστον ἡμίναν διὰ ῥινῶν, ἢ ῥαφανίδας λειωθείσας μετὰ ἡμίνης οἴνου. Ἄλλο.

Μόρου ῥίζης γράμματος τρίτον, ἡλιοτροπίου ἡμίγραμμον καθαρείως λειώσας μετὰ ἡμίνης οἴνου θερμοῦ, διὰ τοῦ στόματος ἐπίβαλλε. Ἄλλο.

Φακὴν ἐκλεπισθεῖσαν, καὶ εἰς λεπτὰ ἀλεσθεῖσαν εἰς ἴσην ποσότητα θερμοῦ ὕδατος ἐπίβαλλε, καὶ εἰς τὰς φάρυγγας ἐπὶ ἡμέραις τρισὶν ἔγχει.

ΠΡΟΣ ΠΑΛΑΙΑΝ ΒΗΧΑ.

Πράσου χυλοῦ κυάθους τρεῖς μίξας μετὰ ἡμίνης ἐλαίου, δίδου ἐπὶ πολλαῖς ἡμέραις διὰ στόματος. Ἄλλο.

Πτελέας ξύλα μέρος καύσας, τὴν κόνιν λαβὼν, καὶ διηθήσας εἰς ὕδωρ καὶ μετὰ ἴσου μέτρου ἐλαίου συμμίξας, καὶ τριῶν ᾠῶν δίδου.

ΠΡΟΣ ΠΑΛΑΙΑΝ ΒΗΧΑ.

Χυλὸν πρασίου σταθμὸν δηναρίου ἑνός, σῦκα κβʹ, μέλιτος ἀττικοῦ ἢ σικελοῦ λίτραν α ςʹ, εἰς χύτραν βαλὼν ἕψησον, ἕως ἡμισυθῇ, καὶ μετὰ ταῦτα προσθεὶς σμύρνης τρωγλίτιδος γο α ςʹ, λιβανωτοῦ ἀρρενικοῦ γο αʹ, ἀριστολοχείας γο βʹ, ὀποπά-

ἡμέρας προσάγειν βοήθημα τόδε. σκίλλης παχυτέρας μέρη τέσσαρα κόψας, καὶ προσβαλὼν λασάρου, ὅσον κυάμου μέγεθος, καὶ οἴνου παλαιοῦ ξέστην α', καὶ ἐλαίου παλαιοῦ λίτραν μίαν διὰ κέρατος ἐγχυμάτιζε.

ὙΠΟΘΥΜΊΑΣΙΣ ΕἸΣ ΒΉΣ-
σοντας ἵππους.

Σανδαράχης γο α', ἀσφάλτου γο α', σκόροδα καὶ κρόμμυα δὲ ἴσου λειώσας, ποιήσον μέρη τρία, καὶ ἑνὶ τούτων ἑκάστης ἡμέρας ὑποθυμία τὸ ζῶον σκέπων τὴν κεφαλὴν, καὶ τοὺς ὀφθαλμοὺς περιδεσμῶν. μετὰ δὲ τὸ ὑποθυμιᾶσαι, στέαρ ἐλάφειον ἢ προβάτειον ἐν οἴνῳ γλυκεῖ ἀρκοῦντι συμμίξας καὶ λύσας, καὶ ἐπιβαλὼν ὀλίγον κηρίου λελειωμένου, καὶ θερμάνας, διὰ κέρατος ἐγχυμάτιζε.

ΚΑΤΑΣΚΕΥῊ ΠΑΣΤΊΛΩΝ
εἰς τὸ αὐτό.

Πετροσελίνου μακεδονικοῦ γο α ς', δαύκου γο ς', σμύρνης γο α', ναρδοστάχυος γο α', κρόκου, πεπέρεως, ἀκόρου, στέμματος ἀμμωνιακοῦ, κασίας, ἀνὰ γο α', κόψας καὶ σήσας, καὶ ὕδατι συμμίξας, καὶ μέλιτι ποίει πασίλους καὶ ἐμβάπτων ἐν ἑψήματι δίδου. τὴν δὲ τραγάκανθαν, προμιᾶς ἐν ὑδρομέλιτι ἀπόβρεχε.

ΠΡΟΠΌΤΙΣΜΑ ΕἸΣ ΤῸ ΑὐΤῸ
πάθος.

Τραγακάνθης, κυμίνου, ναρδοστάχυος, σμύρνης, πεπέρεως ἀνὰ γο α', ὀρμίνου σπέρματος λίτραν μίαν, ἑψήματος ξέσταις δυσὶ μίξας, διὰ κέρατος ἐγχυμάτιζε. Ἄλλο.

Αἰθάλην καθαρείως λεάνας, καὶ ἐκ ταύτης κοχλιάριον μεστὸν ἐμβαλὼν εἰς κέρας, καὶ οἶνον παλαιὸν συμμίξας, ἐπὶ τρισὶν ἡμέραις, ἐγχυμάτιζε.

ΠΡῸΣ ΒΗ͂ΧΑ ΠΑΛΑΙΆΝ
καὶ συνάγχην.

Στύρακος πυρροῦ γο γ', σμύρνης τρωγλήτιδος, ὀποπάνακος, ἴρεως ἰλλυρικῆς, χαλβάνης ἀνὰ γο β', ῥητίνης τερεβινθίνης γο δ', ὑοσκυάμου συμφωνιακῆς γο α', ὀπίου γο ς', συγκόψας καὶ οἴνῳ μίξας, ἐγχυμάτιζε. Ἄλλο.

Μέλιτος ἀττικοῦ λίτραν α', ἀξουγγίου λίτραν α ς', ἰσχάδας ι β', στρόβιλον κεκαυμένον ὁλόκληρον, κράμβης ἑψημένης χυ-

ἀς ἑψήσας, πασίλλους ἐκ τούτου ποίησον, καὶ τῷ πάσχοντι ζώῳ δίδου.

ΠΡΟΣ ΒΗ͂ΧΑ ΚΑῚ ΒΟΥΛΑΣΟῪΣ.

Σκόροδον γαλικὸν κόψας, καὶ σιδηρῖτιν, καὶ βοτάνην ἣν ῥωμαῖοι καλοῦσι περδίκιον, καὶ ἀξουγγίῳ παλαιῷ συμμίξας, ποίησον ἐκ τούτων πασίλλους, καὶ τούτους εἰς μέλι καὶ βούτυρον ἐμβάψας, δίδου τῷ ζώῳ ἐπὶ τρισὶν ἡμέραις.

ΠΡῸΣ ΒΗ͂ΧΑ ΤῊΝ ἘΚ πνεύμονος ἀναδιδομένην.

ὑσσώπου δεμάτιον ἕν, λασάρου γο ε', γλαύκου κρητικοῦ γο β', βοτάνης βράθυος, ἣν ῥωμαῖοι σαβῖναν καλοῦσι γο β', δικτάμνου γο γ', καστορίου γο ς', ὀπίου γο α', καρδαμώμου γο α', μάννης λιβανωτοῦ γο α', σμύρνης τρωγλίτιδος γο α', ἐν ὀξυμέλιτι μίξας, πρόσαγε τῷ ζώῳ.

ΠΡῸΣ ΒΗ͂ΧΑ ἘΚ ΤΟΥ͂ φάρυγγος τικτομένην.

Σμύρνης γο β', λινοσπέρμου φρυγέντος ξέστην α', καρδάμου γο ς', σταφίδων ξέστην α', στροβίλων ξε. α', μέλιτος λίτρας β', ταῦτα πάντα λεάνας ἐπιμελῶς, ποίει πασίλλους εἰς καρύου μέγεθος, καὶ δίδου τρεῖς καθεκάστην ἡμέραν τῷ ζώῳ, ἐπὶ ἡμέραις πέντε ἢ ἑπτά.

Ὄρνιν σφάξας, καὶ εὐθέως ῥαχίσας, λάβε αὐτῆς τὴν κοιλίαν ὡς ἔστι μετὰ τῆς κόπρου, καὶ εἱλήσας αὐτὴν ἐν μέλιτι, δίδου τῷ ζώῳ ἔτι θερμὴν οὖσαν διὰ τοῦ φάρυγγος.

ΠΡῸΣ ΒΗ͂ΧΑ ΒΑΡΕΙ͂ΑΝ.

Σφαιρία κυπαρίσσου ἑψήσας καλῶς, κόψον ἐν ὅλμῳ, καὶ ἐπιβαλὼν φύλλα βοτάνης σιδηρίτιδος, ἣν ῥωμαῖοι παριταρίαν καλοῦσι, καὶ σκόροδα γαλικὰ, καὶ ἀξούγγιον, ποίησον πασίλλους, οὓς ἐπὶ τρισὶν ἡμέραις ἐμβαλὼν εἰς ἔλαιον καὶ οἶνον καὶ προσμίξας ἕψημα καὶ ἀνὰ δίδου. εἰ δὲ μὴ βουληθῇς τὰ σφαιρία ἑψῆσαι φύλλα τοῦ κυπαρίσσου κόψας, καὶ ποιήσας ξηρίον μετὰ τῶν προγεγραμμένων, χρῶ. Ἄλλο.

Πρὸ πάντων χρὴ καθαίρειν τὸ σῶμα τοῦ ζώου, ἀγριοσικύῳ μετὰ νίτρου ἀλεξανδρίνου λεανθέντος, καὶ οἴνου παλαιοῦ προσμιγέντος, καὶ διὰ κέρατος ἐγχυματιζομένου. μετὰ δὲ τρεῖς ἡμέρας

κοτύλῃ μιᾷ ἐγχυμάτιζε. καὶ ἡ μαλάχη δὲ ἐν οἴνῳ γλυκεῖ καὶ ἐλαίῳ ἑψηθεῖσα, τὸ αὐτὸ ποιεῖ. Ἄλλο.

Πρασίου δεμάτιον χειρόπληθον, οἴνου λευκοῦ ξε. α, τίλιν ἀποβεβρεγμένην ἰσχάδων χ α, ἢ φοίνικας κατ᾽ ἀναλογίαν ἑψήσας εἰς τρίτον, δίδου ἐπὶ ἡμέραις τρισί. χρίε δὲ καὶ τῶν πονούντων τὸ σῶμα, μέχρι τῶν ὀνύχων.

Πίτυρα ἀφεψήσας καὶ σαβάνῳ καλῶς ἐκπιέσας, διήθησον καὶ μίξας ὀμφάκινον ἔλαιον, δίδου, φυλαττόμενος μὴ λέπος ἐναπομένῃ τῶν πιτύρων. Ἄλλο.

Μάζας ἐκ χοιρείου στέατος ποιήσας, καὶ περιχρίσας ἔξωθεν βουτύρῳ καὶ μέλιτι, διὰ στόματος δίδου. Ἄλλο.

Κράμβης χυλῷ, ἀμιναίου οἴνου αὐτάρκως βλυθέντος, ἐγχυμάτιζε.

ἌΛΛΟ ΓΡΗΓΟΡΊΟΥ.

Κριθῆς ξέστας β, πράσα ἑπτὰ, κράμβας ε, μέλιτος ἡμικοτύλιον, προβάτειον στέαρ, ἐλαίου καθαροῦ γο δ, καὶ σέλινα.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΡῸΣ ΚΑΘΗμερινὸν βῆχα.

Πράσα ἑψήσας μετὰ τῆς οὕτω λεγομένης βοτάνης σιδηρείτιδος, κόψον καὶ ποίησον πασίλους ὡσεὶ ὠὰ, καὶ ἐλαίῳ ῥοδίνῳ ἑψήματι συμμιγέντι καὶ μέλιτι ἐμβάψας, ἐπὶ τρισὶν ἡμέραις δίδου. οὐδὲν δὲ κωλύει ἐν αὐταῖς ταῖς τρισὶν ἡμέραις καὶ τῷ χυλῷ τῆς αὐτῆς βοτάνης μετὰ τοῦ ἀφεψήματος τῶν λοιπῶν εἰδῶν ἐγχυματίζειν.

ΠΡῸΣ ΒῆΧΑ ὉΔΟΙΠΟΡΙΝῊΝ.

Λασάρου κόκκον, ὡσεὶ λεπτοκάρυον μικρὸν εἰς οἶνον λῦσον, καὶ τοῦτον ἐν μιᾷ μόνον ἡμέρᾳ διὰ κέρατος δίδου.

ΠΡῸΣ ΒῆΧΑ ἘΚ ΤΟῦ πνεύμονος ἀναδιδομένην.

Ἔστι βὴξ, ἣ ἐκ τοῦ πνεύμονος ἀναδίδοται, ὃ συμβαίνει ἐκ πολλοῦ ἱδρῶτος. χρὴ οὖν θεραπεύειν ταύτην οὕτως, κόστου γο δ, ὑσσώπου δεμάτιον ἓν μικρὸν, πάνακος ῥίζης γο γ, σμύρνης τρωγλίτιδος γο δ, πρασίου ἀρρενικοῦ γο α, κενταυρείου γο γ, ὁμοῦ πάντα κόψας καὶ σήσας, μετὰ μέλιτος ἡμίνης μι-

σὺν ἐκ βηχὸς ῥευματίας ἐθεράπευσεν. ἁρμόζει δὲ καὶ πρὸς πᾶσαν βῆχα προσαγόμενον. ἡ δὲ τούτου σύνθεσις αὕτη, σταφίδων λευκῶν, μέλιτος καλοῦ, δαφνίδων ἀνὰ ξέστου ἥμισυ, σαμψύχου γο β΄, ὀριγάνου γο α΄, ἀξουγγίου παλαιοῦ χοιρείου ἀνάλου λίτρας ε΄, σκορόδων μεγάλων κεφαλὰς θ΄. τὰ ξηρὰ κόψας, καὶ τὰ τηκτὰ τήξας καὶ μίξας, ποίει κολλύρια, καὶ μερίσας τὸ φάρμακον εἰς τρία μέρη, δίδου τῷ ζώῳ, ἐπὶ ἡμέραις τρισίν. ὅταν μέντοι μέλλῃς διδόναι, ἔμβρεχε αὐτὰ ἐν ἑτέρῳ μέλιτι, καὶ οὕτω χρῶ.

ΠΡῸΣ ΒΗ͂ΧΑ ΤῊΝ ἘΞ ἘΚ- καύσεως, καὶ κονιορτοῦ.

Ὠὰ ὠμά τε μετὰ ἐλύτρων εἰς ὄξος δριμὺ ἀφ᾽ ἑσπέρας βρέξας, εὑρήσεις αὐτὰ ἕωθεν οὕτω λεπτυνθέντα, ὡς εἶναι μαλακά, οἷα τὰ ἀωρότοκα φαίνεται, μὴ ἀντιτυποῦντος τοῦ ἔξωθεν ἐλύτρου πρὸς τὴν ἀφήν, ἀλλὰ κύστεως δίκην τὸ ὑγρὸν περιέχοντος. ταῦτα διαστείλας τοῦ ζώου τὸ στόμα, καὶ καταλαβόμενος τὴν γλῶσσαν, ὁλόκληρα διὰ τοῦ φάρυγγος ὤθει, καθ᾽ ἓν ἕκαστον εἰλίσσων ἀρσενικίῳ, ἐπαίρων εἰς ὕψος τὴν κεφαλήν, μέχρις οὗ καταπίῃ ἕκαστον τῶν ᾠῶν τούτοις. ἐπεγχυμάτιζε τίλεως χυλόν, ἢ πτισάνης μέλιτι κεκραμένον, οἷς χρησάμενος ἐπὶ τρισὶν ἡμέραις, θεραπεύσεις.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Τραγάκανθαν ὡς λεπτότατα κατατεμών, καὶ πλύνας, μίξας τε κριθαῖς καὶ ὀρόβοις, δίδου φαγεῖν. ἢ τὴν αὐτὴν τραγάκανθαν βρέξας ἐν οἴνῳ μέλιτος κοτύλῃ μιᾷ ἐπὶ ἡμέραις τρισίν, ἔλαιον προσμιγνὺς, ἐγχυμάτιζε, ἢ πηγάνου ῥίζαν καθεψήσας ἐν ὕδατος κοτύλῃ μιᾷ κλύζε, καὶ τῷ ἴσῳ ἐγχυμάτιζε. ἐπίῤῥαινε δὲ καὶ τὰς κριθὰς χυλῷ μυρίκης κεκομμένης. ἐὰν δὲ πυώδη ἀναβάλλῃ διὰ τοῦ στόματος, ἢ τῶν ῥωθώνων, στέαρ ὕειον βρέξας ἐν οὔρῳ παιδικῷ ἐπὶ ἡμέραις τρισί, καὶ ἐπιβαλὼν οἴνου καὶ ἐλαίου ἀνὰ κοτύλην μίαν, καὶ συνεψήσας ἐγχυμάτιζε, ἢ δαφνίδας ἑψήσας, κόψον καὶ ἄλφιτα καὶ ἀξούγγιον παλαιὸν οἴνῳ γλυκεῖ δεύσας καὶ μίξας, καθ᾽ ἡμέραν ψώμιζε, ἢ τὴν ἀρτεμισίαν βοτάνην καθεψήσας ἐν ὕδατι καὶ ἐλαίου

κοτύλῃ

ἌΛΛΟ ΕὙΜΗΛΟΥ.

Τὴν νεαρὰν βῆχα ἰᾶται φακῆς ἀληλεσμένης καὶ ἀπολελεπισμένης ἄλευρον, ἢ πίσου ὁμοίως ἀληλεσμένου καὶ κεκαθαρμένου ἐν ὕδατος θερμοῦ ξέστῃ ἑνὶ, διὰ κέρατος διδόμενον. τὰ μὲν οὖν νοσοῦντα ζῶα, ἢ χλόῃ, ἢ δένδρων ἁπαλοῖς ἀκρέμοσι τρεφέσθω, μέχρι τῆς κατὰ φύσιν ὑγείας.

ἌΛΛΟ ΠΡῸΣ ΝΕΑΡᾺΝ ΒΗ͂ΧΑ.

Τὸ τῆς βηχὸς πρόσφατον, τῇ τῶν ἀρτηριῶν ἑλκώσει καὶ τραχύτητι γίνεται, ταύτην καταπαύσεις νίτρον λειώσας, καὶ σὺν οἴνου ξέστῃ ἑνὶ διὰ μυκτήρων ἐγχέας. ἀπόχρει δὲ καὶ πᾶν τὸ σῶμα λινελαίῳ, ἢ λιβάνου γο δ´, σμύρνης γο α´, κρόκου γο α´, κόψας καὶ σήσας ἐν οἴνου κοτύλαις τρισὶ, καὶ ἐλαίου κοτύλης ἡμίσει, ἐν πολλαῖς ἡμέραις διὰ τῶν μυκτήρων ἔγχει, ὅσον ἡμικοτύλιον, ἢ ἀνήθου καὶ ἴρεως κεκομμένης τὸ ἴσον, καὶ πηγάνου λελειωμένου δραχμὰς τέσσαρας, ἐν οἴνου κοτύλαις τρισὶ μίξας ἔγχει.

ΘΕΟΜΝΉΣΤΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Οἱ βῆχες μάλιστα τοῖς πώλοις γίνονται, ὅταν πρῶτον λάβωσι τὸν χαλινόν. χαίνοντες γὰρ ἐξ ἀνάγκης παρὰ συνήθειαν τὰ στήθη καταψύχονται. καὶ θερείας δὲ τῷ χαίνειν δεχόμενοι τὴν κόνιν, ἐμφράσσονται τὰς τοῦ πνεύμονος ἀρτηρίας, καὶ βῆχες αὐτοῖς ἐπιγίνονται. τελειουμένοις δὲ ὀλιγάκις τοῦτο συμβαίνει, ἢ κατὰ ψύξιν, ἢ κατὰ ἔμφραξιν. γίνεται δὲ καὶ ὅταν ὕδωρ ἔμπηλον πίῃ, ἢ κριθὴν σὺν κόνει προσενέγκηται, ἢ ἐξ ὁδοιπορίας θέρους ὅταν πολλὴν δέξηται. ἡ δὲ ἀγρία λεγομένη βὴξ, πολλάκις καὶ ῥήγνυσι τὸν οὐρανίσκον, καὶ αἷμα ἀνάγει. τότε δὲ ἀγρίως βήσσει, ὅταν ἀπὸ τῆς τάσεως ἀποπέρδηται, καὶ οὐρῇ. μάλιστα δὲ τοῖς ἀγωνισταῖς ἵπποις τοῦτο συμβαίνει. ὅταν οὖν ἀπὸ ψύχους κάμνῃ, τοῖς χαλῶσι καὶ θερμαίνουσι δεῖ χρῆσθαι. ὅταν δὲ ἀπὸ κόνεως τοῖς ἐμφράττουσι καὶ καταλεαίνουσιν. ὅταν δὲ ἀγρίως βήσσῃ, ἑκατέροις τούτοις ἐγὼ χρησάμενος, ἐπί τινων μὲν ἐθεράπευσα. τινῶν δὲ οὐ περιγέγονα, καὶ σφόδρα φροντίζας ἐπιδρομέως ἵππου συνδιατιθέμενος, καὶ μονονουχὶ ῥηγνύμενος βήσσοντος, ἐπενόησα φάρμακον, ὃ καὶ

τίζειν, ἢ πράσιον τρίψαντας μετὰ ἐλαίου καὶ ἁλὸς οἴνῳ δεύσαντας ὁμοίως ἐγχυματίζειν. ἔστι δὲ καὶ ἕτερα πολλά, ἄριστα δὲ πάντων ταῦτα.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐὰν βὴξ ἐνοχλοίη, πρῶτον καθαίρειν χρὴ διὰ τοῦ σικύου καὶ τοῦ νίτρου τὸ σῶμα ὅλον, εἶτα σκύλλης τοὺς παχυτέρας φλοιοὺς τέσσαρας τρίψαντα, καὶ ὀποῦ κυρηναϊκοῦ ὅσον κυάμου μέγεθος διανέντα οἴνῳ λευκῷ ἢ ἐλαίῳ παλαιῷ, καταλαβόντα τὴν γλῶτταν διὰ στόματος ἐγχυματίζειν, ἢ ὑποθυμιᾶν δὲ αὐτὸν ἐπ' ἀνθράκων σκευάσματι τοιῷδε, σκορόδων κυπρίων ἢ κρομμύων τὸ ἴσον, ἢ σανδαράχης τρίψαντα ὁμοῦ καὶ λεάναντα, διελεῖν εἰς τρία μέρη, καὶ καθ' ἡμέραν ἓν μέρος ὑποθυμιᾶν, τὴν κεφαλὴν καλύψαντα, καὶ τοὺς ὀφθαλμοὺς περιδήσαντα. μετὰ δὲ τὴν ὑποθυμίασιν, οἴνῳ γλυκεῖ, στέαρ ἐλάφειον, ἢ προβάτειον, ἢ κηρὸν τήξαντα, ἢ τὴν γλῶτταν καταλαβόντα ἐγχυματίζειν, ἢ πράσιον τρίψαντα μετὰ ἐλαίου καὶ ἁλῶν, οἴνῳ διανέντα ἐγχυματίζειν ὁμοίως, ἢ τραγάκανθαν εἰς ὕδωρ χλιαρὸν ἀποβρέξαντα μετὰ ἑψήματος καὶ ἐλαίου παλαιοῦ ἐγχυματίζειν, ἢ ἐρέγμον ἑψήσαντα διηθῆσαι τὸ ὕδωρ, καὶ τρίψαντα μετὰ στέατος χοιρείου διδόναι πίνειν, ἢ σακτὴν κονίαν καὶ νίτρον καὶ ἔλαιον καὶ ᾠόν, καὶ μέλι μίξαντα ἐγχυματίζειν, ἢ κράμβης τὰ τρυφερά, καὶ σκόροδον ἢ στέαρ χοίρειον ἐξ ἴσου ἐμβρέξαντα εἰς κεδρίαν βώλους πέντε ἐγχυματίζειν, ἢ ἀληθινῆς σμύρνης γο α΄, καὶ μὴ ποτίζειν ἕως τρίτης ὥρας.

ΤΙΒΕΡΊΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤῸ.

Ἀξούγγιον μετὰ ὑγροπίσσης δίδου πιεῖν εἰς κοίτην τῶν ἡμέραις τρισὶν ἐν τῇ γῇ, καὶ πέμπτῃ ἢ ἑβδόμῃ.

Πεπέρεως γο α΄, γεντιανῆς γο α΄, ἀριστολοχείας γο α΄, σμύρνης γο μίαν, δαφνίδων γο β΄, ῥητίνης γο α΄, ὀποῦ γο ἕξ, ὀποπάνακος γο ἕξ.

Ἄλλο.

Κενώσας τὸ ᾠὸν παντελῶς, βάλε ἔνδον κεδρίαν ἢ χισὸν ἀρσενίκιον, συγκόψας σκόροδον ἢ ἀξούγγιον χοίρειον, καὶ ἐγκλείσας εἰς τὸ ᾠόν, δίδου τρίς.

Ἄλλο.

Τοῦ παλιούρου τὸ σπέρμα τρίψας πότιζε.

Ἄλλο

μέντοι ἐὰν ἐνδοτέρω καὶ μετέωρος, δυσθεράπευτός ἐστι. φασὶ δὲ ἔνιοι χρῆναι περιτρίβειν αὐτὸν μολύβδῳ. τὸ δὲ νόσημα τοῦτο, ἐν τοῖς περὶ σαρματίαν μάλιστα ἐπιπολάζει τόποις. ἔνιοι δέ φασι δεῖν βελόνας τρεῖς μακρὰς συνδήσαντας, ἀναστρέψαντάς τε τὴν κεφαλὴν, πρῶτον αὐτὴν κατακεντεῖν, ἕως τοῦ ἐξελθεῖν πῦον, ἔπειτα κλύζειν οἴνῳ καὶ ἐλαίῳ παραχρῆμα, καὶ ταῖς ἄλλαις ἡμέραις ὁμοίως, καὶ ὑγιαίνει.

Ἄλλο εἰς τὸ αὐτό.

Λιβάνου ἐξ, νίτρου, ὀπίου, πηγάνου τὸ ἴσον, ἐν οἴνου αὐστηροῦ ξέστῃ ἑνὶ μίξας, ἐγχυμάτιζε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΒΗΧΌΣ.

ΚΕΦΆΛ. ΚΒ.

Ἄψυρτος Σεκούνδῳ ἱππιατρῷ χαίρειν. εἰδέναι σε θέλω, ὅτι ὅταν ὁ ἵππος τὴν κεφαλὴν κλίνῃ καὶ βήσσῃ ἀραιῶς, ἡ βὴξ ἀπὸ τῶν ἐντός ἐστιν. ὅταν δὲ βήσσων συνεχῶς τὸν τράχηλον αὐτοῦ τανύῃ καὶ λεπτύνηται τρώγων καὶ πίνων, τότε ἡ βὴξ ἀπὸ ψύξεώς ἐστι. δεῖ δὲ πρὸς τούτοις εἰδέναι ὡς ἄρα τοῖς ὑπὸ βηχὸς ὀχλουμένοις, ἁρμόζει πρῶτον ἡ κάθαρσις, τοῦ σώματος ὅλου διὰ τοῦ σικύου τοῦ ἀγρίου καὶ νίτρου, εἶτα σκίλλης τοὺς παχυτέρους φλοιοὺς τέσσαρας τρίψαντας, καὶ ὀποῦ κυρηναϊκοῦ, ἡλίκον κύαμον διανέντας οἴνῳ λευκῷ καὶ ἐλαίῳ παλαιῷ, καταλαμβανομένους τὴν γλῶσσαν ἐγχεῖν διὰ τοῦ στόματος. δεῖ δὲ καὶ ὑποθυμιᾶν αὐτὸν ἐπ' ἀνθράκων συνθέματι τοιούτῳ, σκορόδων κυπρίων καὶ κρομμύων τὸ ἴσον, σανδαράχης ὁλκὴν μίαν, ἀσφάλτου τὸ ἴσον, πάντα ταῦτα ἐν ταυτῷ τρίψαντα λίαν, διελεῖν εἰς τρία μέρη, καὶ τούτων ἐν τῇ ἡμέρᾳ ὑποθυμιᾶν, τὴν κεφαλὴν κατακαλύψαντας, καὶ τοὺς ὀφθαλμοὺς περιδήσαντας. μετὰ δὲ τὴν θυμίασιν, ἐν οἴνῳ γλυκεῖ στέαρ ἐλάφειον, ἢ προβάτειον, καὶ κηρὸν τήξαντας, τὴν γλῶσσαν καταλαμβανομένους ἐγχυματίζειν

βαίνης, ὀποπάνακος, κηροῦ, σιλφίου, ἀμμωνιακοῦ ἀνὰ γο̄ δ΄ λύο· ῥητίνης φρυκτῆς ℥ α΄, ῥητίνης πιτυΐνης ℥ α΄, κολοφωνίας γο̄ β΄ συμμίξας, θεράπευε. Ἄλλο σκορπισικόν.

Κηρύκια θαλάσσια καύσας, καὶ μέλιτι συνεψήσας, κατάπλασσε.

ἈΨΥΡΤΟΥ

ΠΕΡῚ ΠΟΛΎΠΟΔΟΣ ἘΝ ΤΗ͂Ι ῬΙΝΊ.

ΚΕΦΆΛ. ΚΑ.

Ἄψυρτος ἀρκαδίτῃ χαίρειν. πολύποδος γενομένου ἐν τῷ μυκτῆρι τοῦ ἵππου, ὀχλεῖται τὸ ζῶον. συμφράσσεται γὰρ ὁ ῥώθων καὶ φέρεται πύα ἐξ αὐτοῦ ὀσμὴν ἔχοντα σαπράν, καὶ φυσᾷ δεινόν. ἀτροφεῖ δὲ ὅλον τῷ σώματι, καὶ σκυθρωπός ἐστι πάντοτε, καὶ χρεμετίζειν οὐ δύναται. ἔστι δὲ ὁ πολύπους τῷ μεγέθει ὡς συκάμινον, τῇ περιοχῇ ἐλάσσων. θεραπεύεται δέ, ὅταν ἔξω φαινόμενος ᾖ, ἢ μέρος τι ἐξ αὐτοῦ ἐκτεμνόμενον, καὶ χαλκίτιδι ὠμῇ καταπασσόμενος. ἁρμόζει δὲ ἡ αὐτὴ καὶ μετὰ ὄξους πάχος ἐχούσης, καταχριομένη πυκνότερον, ἢ ἀμόργῃ ἑφθῇ μετὰ ἀριστολοχείας μιγεῖσα. ὅταν δὲ ᾖ ἐνδοτέρω καὶ μετέωρος, οὐκ ἔστιν αὐτοῦ θεραπεία. λέγεται δὲ ὑπό τινων καὶ μολύβδῳ περιαιρεῖσθαι αὐτόν. συμβαίνει δὲ τοῦτο μᾶλλον ἐν τοῖς κατὰ Σαρματίαν τόποις.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Πολύπους ἐν τῷ μυκτῆρι γίνεται, ὡς συκάμινον τῇ περιοχῇ, πάνυ δὲ ἐνοχλεῖ τὸ ζῶον. συμφράσσονται γὰρ οἱ μυκτῆρες, καὶ πύα ἐξ αὐτῶν δυσώδη φέρεται, καὶ φυσᾷ δεινόν, λεπτύνεταί τε καὶ σκυθρωπάζει διηνεκῶς, μὴ δὲ χρεμετίζειν δυνάμενος. ὅταν οὖν ὅλος ὁ πολύπους, ἢ μέρος αὐτοῦ φαίνηται ἐκτεμνόμενον, χαλκίτιδι ὠμῇ περιπάσσεται, ἁρμόζει δὲ καὶ μετὰ ὄξους, πάχος ἔχουσα ἡ χαλκῖτις, καταχριομένη πυκνότερον, ἢ ἀμόργῃ ἑφθῇ μετὰ ἀριστολοχείας μιγεῖσα. ὅταν

μέντοι

ΘΕΟΜΝΗΣΤΟΥ ΠΕΡΙ χοιράδων καὶ παρισθμίων.

Εἰ γὰρ περὶ ἰσθμῷ εἴη διὰ σφαγῆς ὑπὸ τὸν βράγχον ἡ χοιρὰς, μὴ χειρουργεῖν ἀλλὰ καταπλάσσειν, ξέσαντας τὸν τόπον τοῖς διαπυῶσαι δυναμένοις πρῶτον ὠμὴν λύσει, ἀξουγγίῳ παλαιῷ χοιρείῳ, ἀλθαίᾳ ἑφθῇ καὶ σκορόδοις λελειωμένοις. εἰ δὲ μὴ εἴη ἐξηγριωμένος ὁ τόπος, καυτῆρας διδόναι, ὡς μόνην τὴν βύρσαν διακαῦσαι, ἵν' ἐκρεύσωσιν αἱ χοιράδες, καὶ χρῆσθαι φαρμάκῳ ἐφελκτικῷ τῷδε. σάπωνος γαλλικοῦ λίτραν μίαν, ἀξουγγίου παλαιοῦ λίτρας δύο, κηροῦ καὶ πίσσης τὸ ἀρκοῦν ἰσχάδας πιμελεῖς, καὶ ἰξοῦ δρυΐνου γο β.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Συμβαίνει τὸ τῶν χοιράδων πάθος ὡς ἐπιτοπλεῖστον ἐξ ὑδάτων μεταβολῆς, οἷον καρύου τὸ μέγεθος τῷ τοιούτῳ, καυτήριον πρόσαγε σκληρόν. εἰ δὲ βήσσει, καὶ συντάσεως γινομένης, πνεύματα δυσώδη ἐκφέρει, ἐγχυμάτιζε τοῖς λεαντικοῖς, ἵνα μὴ ἡ βὴξ παροξυνθῇ. εἴωθε γὰρ κακοῦσθαι ἡ ἀρτηρία ἐρεθισθεῖσα. κεδρίαν οὖν καθεψήσας, καὶ ῥάκη δινήσας, ἐνάλειφε καὶ ἐγχυμάτιζε. ὕστατος δὲ χρῆσαι ποτίσματι τῷ ἀρωματικῷ μετὰ οἴνου καὶ ἐλαίου, καὶ ᾠῶν καὶ μέλιτος ἐγχυματίζων. ἀφαίρει δὲ πρῶτον καὶ ἀπὸ τοῦ αὐχένος αἷμα.

Σύνθεσις πρὸς χοιράδας.

Σύκων λίτραν μίαν, νίτρου γο ἕξ, χαλβάνης γο ἕξ, προπόλεως γο ἕξ, πίσσης γο δύο. Ἄλλο.

Ἐὰν ὑπὸ γήρως χοιράδες γίνωνται, ἢ φύματα, πυρία πρότερον, εἶτα μίξας σύκα καὶ νίτρον κοπέντα, εἰς ἓν μετὰ ἀξουγγίου ἢ κριθίνου ἀλεύρου, καὶ ἑψήσας ἐν ὑδρομέλιτι καὶ ἐλαίῳ καταπλάσσε. ἐὰν δὲ μὴ θεραπεύηται, τέμνε καὶ τὴν τομὴν καῦσον.

ΜΑΛΑΓΜΑ ΠΡΟΣ ΑΡΘΡΑ κεκλασμένα, καὶ χοιράδας, καὶ δοθιῶνας.

Ἴρεως ἰλλυρικῆς γο ἕξ, κηροῦ α, ἰρίνου γο ἕξ, ἀμμωνιακοῦ γο γ, σιλφίου γο δ, μίξας μετὰ κηροῦ ἐν ἰρίνῳ ἐλαίῳ τηχθέντος, χρῶ. ἐὰν δὲ τὸ μάλαγμα ἄκοπον βούλῃ ποιῆσαι χαλ-

κεκομμένα, ἢ συκῆς ἀγρίας ῥίζαν, Ἄψυρτος μὲν τοιαύτην ἀπο-
δοκιμάζει τὴν μέθοδον. σκλήρωσιν γὰρ ἐγγίνεσθαι, καὶ σφιγγο-
μένης τῆς βύρσης ὀδυνᾶσθαι τὸ ζῶον, καὶ μὴ ἐᾶν ἅψασθαι τοῦ τό-
που τῇ χειρί, βαρύνεσθαί τε ὅλην τὴν κεφαλὴν, καὶ διοιδαί-
νειν τό τε πρόσωπον καὶ τοὺς μυκτῆρας τῶν φλεβῶν ἐπηρμένων.
λέγει οὖν ἀρίστην εἶναι θεραπείαν τὴν κατακλίναντα τὸ ζῶ-
ον καταλαβεῖν τοὺς πόδας, καὶ τὴν κεφαλὴν κρατήσαντα, καὶ
αὐτὴν τὴν χοιράδα ἐπιλαβόμενον, σαρκολαβίδι τὴν βύρσαν
ἀποτέμνειν τῷ σμιλίῳ στρογγυλοειδῶς τοσοῦτον, δι' οὗ ῥαδίως
ἡ χοιρὰς ἐκκομισθήσεται. ὡσαύτως καὶ τοὺς χιτῶνας ἀποσπά-
σαντα σαρκολαβίδι περιτέμνειν, γυμνώσαντά τε τὴν χοι-
ράδα, καὶ διὰ σπαθίου ὑπὸ τὴν βύρσαν ὑποδείραντα, εὐ-
τόνως καθέντα τὸν δάκτυλον, πρῶτον ἐκ τοῦ ἄνωθεν μέρους
ἀποσπᾶν, καὶ ἐκλαμβάνειν αὐτὴν τῷ δακτύλῳ πάντοθεν,
μέχρι τοῦ διαβράγχου περὶ ἑκάτερα, κάλλιον μὲν ὑγιῆ. εἰ δὲ μὴ
κατὰ μέρος, μέχρι τοῦ μηδὲν αὐτῆς καταλιπεῖν. ἂν γὰρ μικρὸν
ἀπολειφθῇ, ἔσται μέγα, ὡς ἀναγκασθῆναι πάλιν χειρίζειν. τὰς
φλέβας δὲ φυλάσσειν χρὴ, καὶ διακρίνειν ἀκριβῶς. ἐὰν δὲ αἱ-
μοῤῥαγία γένηται, τίλμα ῥάκους ἢ ἐρίδι διάβροχα ποιή-
σαντα ὄξει δριμυτάτῳ τιθέναι εἰς τὴν ἐκτομὴν καὶ σταλήσεται.
ἐὰν δὲ μὴ αἱμοῤῥαγῇ, ἔλαιον μίξον τῷ ὄξει καὶ ἅλας, καὶ ἐπι-
θεὶς, τριταῖον λύε, εἶτα ἐξαντλήσας ὕδατι θερμῷ, τὰ τίλμα-
τα τοῦ ῥάκους ποιήσας μότους μετὰ οἴνου χλιαροῦ, ἐπίθες μέ-
χρι τεσσάρων ἡμερῶν πρὸς ἡμέραν, καὶ προσάντλει θερμῷ τὰ
οἰδήματα καὶ τὴν ἐκτομὴν, ἐσυμμένων τε αὐτῶν, τὰ τίλμα-
τα μέλιτι δεύσας, ἐπιτίθει. ἐὰν δὲ ἀναπληρωθῇ καθαρὸν γε-
νόμενον, κατάχριε τῇ λιπαρᾷ. τῇ δὲ πρώτῃ ἡμέρᾳ κριθὰς μὴ
παράβαλλε, διὰ γε μὴν ὀρχοτομημένῳ οὐκ ἐπαίρονται αἱ χοι-
ράδες, ἀλλ' εἰ καὶ πρότερον ἦσαν παραξυραίνονται. ἐὰν δὲ πώ-
λῳ πενταμηνιαίῳ χοιράδες ἐπαχθῶσιν, ὡς διὰ τὴν φλεγμο-
νὴν μὴ δύνασθαι νέμεσθαι, δεῖ τέμνειν καθὼς προγέγρα-
πται καὶ ἐξελόντα τὴν χοιράδα, παρασμήχειν ἁλσὶ λε-
πτοῖς, καὶ ἀφιέναι εἰς τὴν ἀγέλην. τῇ δὲ τρί-
τῃ ὑποχρίειν ἀμόργῃ ἑφθῇ, ἢ πισσε-
λαίῳ, ἵνα μὴ σκώληξ γένηται.

διδόναι, ἀλλὰ τὸν χόρτον μόνον. ἐν κινήσει γὰρ γινόμενα τὰ χελώνια, δυνατώτερον μᾶλλον ἐπιφέρει φλεγμονήν. ἀναγκαίως δὲ ἔχει ἐξαιρεῖσθαι αὐτὰς ὡς ἔστιν ἐν τῇ πωλικῇ ἡλικίᾳ, πρωτόβολος, ἢ καὶ μέλλων λαβεῖν τὸν δευτερόβολον. δοκοῦσι γὰρ τότε φαίνεσθαι. συμβαίνει δὲ ἐν αὐτῷ μάλιστα γινομένης δι' ἀρθρίτιδος, ἐνστασιν γίνεσθαι ἐν τῇ κεφαλῇ. ὑποτρέχει γὰρ ὁ ἰχὼρ εἰς τὰς φλέβας τὰς ὑποκειμένας αὐταῖς, καὶ οἴδησιν λαμβάνουσι, καὶ πληροῦνται αἱ ῥῖνες, καὶ ἐμφράσσονται δι' ὧν φυσᾷ, ἥ τε γλῶσσα συνδιδυμεύεται, καὶ διαφανεῖ διὰ τὴν ἀσιτίαν. τοῖς δὲ ὀρχοτομημένοις, οὐ συμβαίνει μετεωρίζεσθαι αὐτάς, οὐδὲ ὑποδέχεσθαι τὸν ἰχῶρα, ἀλλὰ καὶ τὰς ἐκ γενετῆς ἐκξηραίνεσθαι.

ΠΕΡῚ ΘΛΊΨΕΩΣ

πώλων νεογνῶν.

Ἐπιγινώσκονται δὲ παρὰ Σαρμάταις, ἔτι νεογνῶν ὄντων θλίβειν, καὶ οὕτως εὐνουχίζειν, ἵνα μὴ τοῦτο συμβῇ, ὧν καὶ λέγεται σὺν τοὺς ἐκ γενετῆς ὀδόντας μένειν, καὶ μὴ ἑτέρους ἐκφύειν. συμβαίνει δὲ πώλοις τοῖς ἐν ταῖς ἀγέλαις πενταμηνιαίοις καὶ ἑξαμηναίοις μετεωρίζεσθαι τὰς χοιράδας καὶ φλεγμαίνειν, ἐδυνατεῖν δὲ τὴν πόαν ἕλκειν, καὶ τὸν μασθὸν λαμβάνειν, οὓς δεῖ τέμνειν καθὼς γέγραπται, καὶ ἐξαίρειν τὴν χοιράδα, καὶ παρασμήχειν ἁλσὶ λεπτοῖς, καὶ ἀφιέναι εἰς τὴν ἀγέλην, καὶ τὸν διαπεπυωκότα δὲ θεραπεύειν καὶ ἀπολύειν, τῇ δὲ τρίτῃ ὑποχρίειν ἀμόργῃ ἑφθῇ, ἢ πισσελαίῳ, ἵνα μὴ σκώληξ ἐγγένηται.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥΤῸ.

Τὰς χοιράδας θεραπεύειν Ἱερώνυμος φησὶν οὕτω. καταντλεῖν ὕδατι θερμῷ, εἶτα καταπλάττειν ἀλεύρῳ κριθίνῳ ἑφθῷ ἐν ὕδατι μετὰ νίτρου δὶς τῆς ἡμέρας. ὅταν δὲ πεπανθῇ γένηται, καθιέντα τὸ μαχαίριον τέμνειν, καὶ τὸν χιτῶνα διαιρεῖν, εἶτα κόψαντα συκῆς φύλλα, ἢ τιθύμαλον, ἢ πράσιον μετὰ ἁλῶν, καὶ οἴνου ἀναδεύσαντα ἐπιτιθέναι, ἕως ἂν τὸ ἕλκος καθαρὸν γένηται. καὶ σικύου δὲ ἀγρίου ὡς ἂν σαρκωθῇ, εἶτα ὀρόβοις λεπτοῖς, ἕως ἂν ὑγιὲς γένηται, ἢ ἰρίνῳ μετὰ μέλιτος χρῆσθαι. ἕτεροι δὲ ἐντέμνειν φασὶ χρῆναι, καὶ ἐντιθέναι φύλλα ἐρινεοῦ

καὶ σπόγγον ἐν ὄξει θερμῷ βάψαντες, ἐπιδεσμοῦσιν. ἄλλοι δὲ ἐντέμνειν, καὶ ἐπιτιθέναι ἐρινεὸν κόψαντες ἢ τιθύμαλον, ἢ σικύου ἀγρίου ῥίζαν. κάκιστα δὲ ποιοῦσι, καταχρίοντες τῷ καυστικῷ. συμβαίνει γὰρ ἀδύνατον γενέσθαι τοῦ διαπυῶσαι καὶ ἔκρηξιν λαβεῖν, σκλήρωσίς τε ἐπιγίνεται μᾶλλον κατασφιγγομένης τῆς βύρσης, καὶ οὐκ ἐᾷ ἅψασθαι τοῦ τόπου ἐκείνου τῇ χειρί, ἀλλὰ βαρύνεται ὅλῃ τῇ κεφαλῇ. καὶ οἴδησις ἐπιγίνεται τῇ ὄψει, τάς τε φλέβας ἐπηρμένας ἔχει ἐν αὐτῇ ὡσαύτως, καὶ τὸ ῥύγχος οἰδεῖ. ἀρίστη δὲ θεραπεία οὖσιν αὐτῶν ἡ ἐκτομή, ἥτις γίνεται παρὰ ἀλεξανδρεῦσι. δεῖ δὲ ἐκτέμνειν οὕτως, κατακλίναντα καὶ καταλαβόμενον τοὺς πόδας, κρατήσαντά τε τὴν κεφαλὴν καὶ τὴν χοιράδα ἐπιλαβόμενον σαρκολαβίδι, τὴν βύρσαν ἀποτέμνειν σμιλίῳ στρογγυλοειδεῖ, ὅσον ἱκανόν ἐστι δι' οὗ ἐκκομισθήσεται. ὡσαύτως καὶ τοὺς χιτῶνας ἀποσπᾶν τῇ σαρκολαβίδι, καὶ περιτέμνειν. γυμνώσαντα δὲ τὴν χοιράδα, ὑποῤῥίπτειν τὸ σπαθίον ὑπὸ τοὺς χιτῶνας, καὶ τὴν βύρσαν ὑποδέρειν, εἶτα εὐτόλμως καθιέντα τὸν δάκτυλον πρῶτον ἐκ τοῦ ἄνωθεν μέρους τοῦ κατὰ γλῶσσαν ἀποσπᾶν, καὶ ἐκλαμβάνειν αὐτὴν τῷ δακτύλῳ πάντοθεν μέχρι τοῦ διαβράγχου περὶ ἑκάτερα, κάλλιον μὲν ἂν ὑγιῆ τηρήσῃ τις αὐτήν. εἰ δὲ μή γε κατὰ μέρος, μηδὲν ἀπολιπόντα αὐτῆς. ἀπολειφθὲν γάρ, κἂν μικρὸν ᾖ, ἔσται μέγα, καὶ δεήσει χειρίζειν πάλιν. φυλάσσεσθαι δὲ τὰς φλέβας καὶ διακρίνειν. αἱμοῤῥάγια δὲ ἐὰν γίνηται χειριζομένου μὴ εὐλαβεῖσθαι, οὐκ ἔχει γὰρ κίνδυνον. διεγείραντα δὲ αὐτὸν θεραπεύειν οὕτως, τίλματα ῥάκους ἐρείου διάβροχα ποιήσαντα, ὄξει δριμυτάτῳ καὶ ἅλατι, ἐντιθέναι εἰς τὴν ἐκτομήν, καὶ στήσει τὸ αἷμα. ἐὰν δὲ μὴ αἱμοῤῥοήσῃ, ἔλαιον μιγνύειν τῷ ὄξει, τὸ δὲ ἅλας οὐχί, καὶ ζιταῖον λύειν, εἶτα ἐξαντλήσαντα ὕδατι θερμῷ. ὡσαύτως μοτοῦν τίλμασι τοῖς αὐτοῖς μετὰ οἴνου καὶ ἐλαίου, μέχρι ἡμερῶν τεσσάρων καθ' ἡμέραν, καὶ προσαντλεῖν θερμῷ τὰ οἰδήματα καὶ τὴν ἐκτομήν. ἐστυμμένων δὲ αὐτῶν, χρῆσθαι τίλμασι μετὰ μέλιτος. ἐπὰν δὲ καθαρὸν γίνηται, καὶ ἀναπληρωθῇ, ἐὰν λελυμένον, καὶ καταχρίειν τῇ λιπαρᾷ, καὶ ἔσται ὑγιής. τηρεῖν δὲ ἄποτον αὐτὸν πρὸ τοῦ χειρισθῆναι, καὶ οὐ συμβαίνει αἱμοῤῥαγεῖν. καὶ ἐν τῇ πρώτῃ ἡμέρᾳ κριθὰς μὴ

διδόναι

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἔστιν ἡ κυνάγχη τῶν σφαλερῶν νοσημάτων καὶ κινδυνωδεστάτων, ἧς σημεῖα τάδε, ἡ κεφαλὴ οἰδεῖ, καὶ οἱ ὀφθαλμοὶ καὶ τὰ χείλη, καὶ ἡ γλῶσσα προσπίπτει ἔξω διοδοῦσα, καὶ ἡ φάρυγξ συμφράσσεται, καὶ ἡ ἀρτηρία, ὡς μήτε φαγεῖν μήτε πιεῖν δύνασθαι. θεραπευέσθω δὲ τὴν κεφαλὴν καὶ τοὺς κροτάφους, καὶ τὴν γλῶτταν συγχριόμενος ταύρου χολῇ, καὶ προσκαταντλούμενος ὕδατι θερμῷ, ἐγχυματιζόμενός τε διὰ μυκτήρων οἴνῳ καὶ ἐλαίῳ παλαιῷ, ἁρμόσει δὲ τὸ διὰ βδελλίου ἐνιέντα συγχρίειν. ἐνδόσεως δὲ γινομένης, καὶ τροφὴν ἐπιζητοῦντος, παραβάλλειν χλωρὸν χόρτον. ἄμεινον δὲ βόσκειν ἐὰν μέντοι μὴ ᾖ χλωρός, τὸν ξηρὸν καταῤῥαίνειν διὰ νίτρου, καὶ τὰς κριθὰς ὁμοίως καταπάσσειν ἀλεύρῳ πυρίνῳ, καὶ ποτίζειν. αἷμα δὲ ἀπὸ μόνης ὑπερῴας ἀφαιρεῖν. ἐπὶ τὸ βέλτιον δὲ προχωροῦντα, καθαίρειν τῷ σικύῳ καὶ διὰ νίτρου. ἔνιοι δὲ ὧν ἐστι Στρατόνικος, μετὰ τὴν κατάντλησιν συμβουλεύουσι καταπλάσσειν ἀλεύρῳ ἐν οἴνῳ κεκραμένῳ συνεψηθέντι.

Ἄλλο.

Νίτρῳ καὶ ἐλαίῳ καὶ μέλιτι παράτριβε τὴν γλῶσσαν, εἶτα κατάπλασσε ἀλεύρῳ, μετὰ οἴνου συμφυραθέντι. Ἄλλο.

Χοιρείαν κόπρον μέλιτι μίξας περίχριε. ἔστω δὲ τὸ μέλι τοσοῦτον, ὅσον καλύπτειν τὴν κόπρον.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΧΟΙΡΆΔΩΝ ΘΛΊΨΕΩΣ.

ΚΕΦΆΛ. ΕἸΚΟΣΤΌΝ.

Ἄψυρτος Δάμᾳ Λαοδικεῖ ἱππιατρῷ χαίρειν. χοιράσι ταῖς γινομέναις τοῖς ἵπποις, πολλοὶ συνετάξαντο βοηθήματα πολλὰ ἀδύνατα καὶ ἀνωφελῆ. λέγουσι γὰρ οἱ μὲν ὠμῇ λύσει ἑφθῇ, ἤτοι ἀλεύρῳ κριθίνῳ καὶ ῥητίνῃ καταπλάσσειν. τινὲς δὲ ἐν ὄξει καθέψοντες, ἕτεροι δὲ πυρίνῳ μετὰ οἴνου τῶν τοιούτων

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ΛΊΘΩΝ

γινομένων ἐν τοῖς γνάθοις.

Ἄψυρτος Λαμνάτῳ τομεῖ χαίρειν. ἱπποτροφοῦντά σε βούλομαι εἰδέναι, ὅτι δεῖ τοὺς ἐπιγινομένους λίθους ἐν τοῖς γνάθοις ἐκτίλλειν. ἐπιμένοντες γὰρ μείζονες γίνονται, διὸ δεῖ καταλαμβανόμενον τὸν ἵππον ἐκτέμνειν, εἶτα ἐπιλαβόμενον ἐξελεῖν τὸν λίθον, σκοποῦντα ἐμμελῶς τὴν τομήν, μήτι τοῦ λίθου ἐναπομεῖναν, αὐξηθῇ πάλιν, καὶ δεήσῃ δευτέρας ἰατρείας.

ἈΨΥΡΤΟΥ

ΠΕΡῚ ΚΥΝΆΓΧΗΣ.

ΚΕΦΆΛ. ὈΚΤΩΚΑΙΔΈΚΑΤΟΝ.

Ἄψυρτος ἰσοεικῷ ἱππιατρῷ χαίρειν. κυνάγχης γινομένης ἐν τῷ ἵππῳ ῥᾳδίως διαφωνήσει. ἔστι δὲ ταύτης σημεῖα τάδε. σύνδεσμος γίνεται τῶν κροτάφων, καὶ ἡ γλῶσσα ἐκπίπτει ἔξω καὶ οἰδεῖ, ἡ κεφαλὴ ὡσαύτως καὶ οἱ ὀφθαλμοὶ οἰδοῦσι, καὶ συμφράσσεται ὁ βράγχος καὶ ἡ ἀρτηρία, καὶ οὔτε τρώγειν δύναται οὔτε πίνειν. θεραπεύεται δέ, συγχριόμενος τὴν κεφαλὴν καὶ τοὺς κροτάφους, καὶ τὴν γλῶσσαν ταύρου χολῇ. καὶ προσκαταντλούμενος θερμῷ ὕδατι, καὶ ἐγχυματιζόμενος διὰ μυκτήρων οἴνῳ καὶ ἐλαίῳ. ἔστω δὲ τὸ ἔλαιον παλαιόν. εἰ δὲ οὐκ ἔστι, τῷ ὄντι χρῶ. λέγεται δὲ καὶ σῦκα ἕψειν, καὶ τῷ νίτρῳ μετὰ τοῦ ἀφεψήματος ἐγχυματίζειν ὡσαύτως, ἁρμόζει δὲ καὶ τὸ διὰ βδελλίου ἀνιέντας συγχρίειν αὐτόν. ἐνδόσεως δὲ γινομένης, καὶ ἐπιζητοῦντος φαγεῖν, διδόναι χόρτον χλωρόν. κάλλιον δὲ βόσκειν αὐτόν. εἰ δὲ οὐκ ἔστι, τὸ ξηρὸν καταρραίνειν νίτρῳ, καὶ τὰς κριθὰς ὡσαύτως παραβάλλειν. ἀσύμφορος δὲ ἡ τοῦ αἵματος ἀφαίρεσις ἐκ τῶν ἄλλων τόπων, ἐκ δὲ τῆς ὑπερῴας μόνης ἁρμόζει. ὡς ἂν δὲ καλῶς ἔχοι, καθαίρειν αὐτὸν διὰ τοῦ σικύου καὶ τοῦ νίτρου.

ἐμπέσῃ τὸ ζῶον, καὶ πρὸ πάντων τὰ τούτου ὦτα καθᾶραι, μή τι ἔνδον ἐγκαθίσαν βλάβην, ἢ πόνον παρέξῃ, καὶ καθάραντα διὰ σπόγγου ἁπαλοῦ, μέλι καὶ νίτρον καὶ ὕδωρ διυλισθὲν εἰς τὸ οὖς ἔμβαλε, πρότερον τοῦτο ἀπομάξας. ἔασον δὲ τὸ σπογγάριον εἰς τὸ οὖς ἐμμεῖναι μιᾷ νυκτί. τῇ δὲ ἄλλῃ καταντλεῖ ὕδατι θερμῷ καὶ νίτρῳ, ἕως οὗ ὑγιάνῃ.

ΕΙ ΕΙΣ ΤΟ ΟΥΣ ΥΔΩΡ ΕΙΣΕΛΘΗ.

Ἔλαιον παλαιὸν καὶ νίτρον ἐξ ἴσου βαλὼν εἰς τὸ οὖς, ἐπίχεε καὶ ἐπίθες ἔριον. τούτῳ δὲ τῷ τρόπῳ, καὶ εἰς τραύματα ἐγχεῖ, ἰαθήσονται.

ΙΕΡΟΚΛΕΟΥΣ ΠΕΡΙ ΠΑΡΙΣΘΜΙΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

Παρίσθμια ἐστίν, ὅταν περὶ τὴν λεγομένην σφαγὴν καὶ τὸν βράγχον γένηταί τι οἴδημα, ὅτε δὴ μάλιστα ἐστὶν ἡ γλῶττα ὅλη εἰς τὸ ἔσω παραπίπτει, πελιδνὴ γενομένη, καὶ σίελον ἀφίησιν, ὥστε ἐσθίειν ἢ καταπίνειν μὴ δύνασθαι. ἴασις δὲ ἡ αὐτὴ ἢ καὶ ὑπὸ τοῦ παρωτίδος. ἐὰν μέντοι συμβῇ τὴν ἔκκρισιν περὶ τὸν ἐντὸς γίνεσθαι, ἐστὶ πῦον διὰ τοῦ στόματος φέρεσθαι, ἐγκλυζέσθω ὀξυκράτῳ διὰ τῶν ῥινῶν, καὶ διασόλειον θείς, καὶ τὸν διαστῆρα μέλιτι χρίσας, κάθες, καὶ παράτριβε τὸν τόπον. Ἄλλο.

Ἐὰν παρίσθμια γένηται καὶ φλεγμονὴ περὶ τὰ ὦτα, θεράπευε ζεστῷ ὕδατι τὸν τόπον ἀντλῶν, καὶ καταπλάσσων τῷ διὰ κριθίνης. καὶ ὅταν συστῇ ἐν τόπῳ, περίτεμνε σμίλῃ, καὶ ἐπιμελοῦ. ἐὰν δὲ μὴ ὑπακούσῃ, καυτηριάσας, θεράπευε.

ΑΛΛΟ ΕΥΜΗΛΟΥ ΠΡΟΣ γνάθων πόνων καὶ φλεγμονήν.

Ὄξει θερμῷ, καὶ παλαιῷ ἀξουγγίῳ, ὑείᾳ, καὶ εἰ ἐπιμένει ὁ πόνος, ἐπίκαιε. τὸ δὲ αὐτὸ βοήθημα, καὶ πρὸς φλεγμονὰς προσαγόμενον, ὠφελεῖ.

Ἀψύρτου

Εἰ κονδυλώματα ἔχῃ τὰς παρωτίδας, ἐπιθέματα πρόσαγε, ἵνα πεπανθῇ τὸ πάθος καὶ ἀνοιγῶσιν, εἶτα ἀνοιγεῖσι μοτάρια μετ' ἐλαίου καὶ ὄξους τοῖς τραύμασιν ἐπίθες, ἕως ἂν καθαρισθῶσιν. ὅταν δὲ ἰαθῇ τὰ τραύματα, ἀθρόον ξηρὸν ποιήσας ξηρίον, ἐπιξράντισον, καὶ θεραπεύσεις.

Κηροῦ δραχμὰς κη, ῥητίνης τερεβινθίνης δραχμὰς κϛ, μέλιτος δραχμὴν μίαν, χαλβάνης δραχμὰς δ', ἀμμωνιακοῦ δραχμὰς ιδ, ἐλαίου ἐν μὲν θέρει κυάθους ϛ, ἐν δὲ χειμῶνι κυάθους η συμμίξας, θεραπεύσεις.

Κατάπλασσε τὰς παρωτίδας ἀλεύρῳ σιτίνῳ, καὶ ῥητίνῃ καὶ ὄξει, καὶ ἀξουγγίῳ, ἐν ταυτῷ πάντα συμμίξας. μετὰ δὲ τὸ πεπανθῆναι, ταύτας ἀπόκοπτε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ἝΛΚΟΥΣ ἘΝ ὨΤΊΩ.

ΚΕΦΑΛ. ἙΠΤΑΚΑΙΔΈ.

Ὅταν γένηται ἐν τῷ ὠτίῳ ἕλκος, ἢ ἀπόστασις ἐν τῇ διπλοΐδι, συμβαίνει ὑγρὸν ἔχειν πυῶδες ἢ ὅμοιον τῇ μελικηρίδι, ὃ δεῖ τέμνειν ὄρθιον καθὼς πέφυκεν. θεραπεύεται δὲ διὰ τοῦ μέλιτος καὶ τῆς συμπηγείας, ἀνάγκη δ' αὐτὸν ἐκλαμβὸν γενέσθαι.

ἹΕΡΟΚΛΈΟΥΣ

εἰς τὸ αὐτό.

Ἐὰν ἕλκος ἐν ὠτίῳ ἢ ἀπόστημα γένηται, συῤῥαγέντος ὑγροῦ πυώδους, ἢ ὁμοίου μελικηρίδι, τεμνέσθω ὄρθιον καθὼς εἴθισται, καὶ θεραπευέσθω διὰ τοῦ μέλιτος, καὶ διὰ τῆς συμπηγείας. ἐὰν δὲ ἐντὸς γένηται τὸ ἕλκος, κλύσας αὐτὸ ἐλαίῳ καὶ ἀκράτῳ, εἶτα κόψας πράσα, καὶ τῷ χυλῷ αὐτῶν ἐπιχέας ἔλαιον, καὶ ἀναδεύσας ἔγχει εἰς τὸ οὖς, κλύσας χλιαρῷ ὕδατι. καὶ κενταύρειον δὲ λιανεὶς ἐν οἴνῳ, ἔγχει εἰς τὸ οὖς ὁμοίως.

Τὸν πόνον τοῦ ὠτίου θεραπεῦσαι δεῖ, μήπως εἰς μανίαν

ἐμπέσ

τὴν λεγομένην σφαγὴν, ἢ ὑπὸ βράγχον, ἢ τὸν λεγόμενον ἰσθμὸν, καὶ ἐσθίειν οὐ δύναται ἢ καταπίνειν, καὶ ἡ γλῶσσα οἰδεῖ καὶ παραπέπτωκεν εἰς τὸ ἔξω μέρος, καὶ πελία γίνεται καὶ σίελα ἀφίησι, θεραπεύεται ὡσαύτως. λέγεται δὲ παρίσθμια. ἐὰν δέ ποτε συμβῇ εἰς τὸ ἐντὸς μέρος τὴν ἔκρηξιν γενέσθαι, καὶ πύα φέρῃ διὰ τοῦ στόματος, ἔγκλυζε ὀξυκράτῳ διὰ τοῦ ὠτὸς, καὶ τοῦ ῥινὸς ἐγχυματίζειν ἢ διασόλιον ἐνθέντας, καὶ τὸν διωστῆρα μέλιτι χρίσαντας δαψιλῶς, καθιέναι καὶ παρατρίβειν τὸν τόπον.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τὴν παρωτίδα σημειώσῃ, ὅταν οἴδημα περὶ τὸν σύνδεσμον τῆς κεφαλῆς καὶ τοῦ τραχήλου σκληρὸν γένηται, ἴσον καρύου. σπόγγον οὖν ὄξει θερμῷ διαβρέχων δέσμει δὶς τῆς ἡμέρας μέχρι τοῦ διαπυῶσαι, καὶ τότε τέμνε καθυπόρρυσιν ὅσον ἀρκεῖ, καὶ ἐκβαλὼν τὸ ὑγρὸν, παράσμηχε ἁλσὶ λεπτοῖς. τῇ δὲ ἐπιούσῃ, πυριάσας ὕδατι θερμῷ τὸν τόπον, καὶ ἀποκαθάρας, ὀρόβινον ἄλευρον ἐπίπασσε, μέλιτι ἐπιχρίων. τὸν δὲ δάκτυλον οὐ χρὴ ἐντιθέναι. συνεγγοῦται γὰρ οὗτος ὁ τόπος.

ΕΥΜΗΛΟΥ ΠΡΟΣ ΠΑΡΩ-
τίδας καὶ χοιράδας.

Ἐὰν συμβῇ ζώῳ ἔχειν παρωτίδας ἢ χοιράδας, ἅσπερ τινὲς ἰδιώτερον γλανδύλας προσαγορεύουσιν, ἰχῶρα πυώδη διὰ στόματος ἀποπέμπει. χρὴ τοίνυν θεραπεύειν, ἄλευρον κρίθινον μετὰ ὄξους προσφέροντα. εἰ δὲ μὴ ὠφελήσῃ, τέμνειν τὸ δέρμα, καὶ αὐτὰ τὰ λεγόμενα γλάνδυλα ἐκβάλλειν πάντα σιδήρῳ, χειρὶ μὴ ἁπτόμενον. εἰ δὲ μὴ οὕτω θεραπευθῇ, ἐπικαίειν τοὺς τόπους μέχρις οὗ ὁ συνηγμένος ἰχὼρ ἐκφορηθῇ, τὰ δὲ κεκαυμένα τῷ προειρημένῳ τρόπῳ θεράπευε. κάλλιστον δὲ τυγχάνει ἐν ταῖς τοῦ πάθους ἀρχαῖς, ἡνίκα τῷ τοιούτῳ νοσήματι φλεγμονὴν τὸ ζῷον ὑφίσταται, καὶ σφαῖραν μολυβδίνην ἀπὸ τῆς φορβειᾶς ὑπὸ τῆς γένυος μέρος ἀποκρεμᾶν, ὥστε παντὶ τρόπῳ τὸ τῆς καταπόθρας καταγυμνάζεσθαι μέρος ὑπὸ τοῦ μολύβδου πληττόμενον. ἔχει δὲ τὴν αὐτὴν τοῦ θεραπεύειν δύναμιν, καὶ συκίου ἀγρίου ῥίζα μετὰ ἀλεύρου κριθίνου, καὶ ὄξους δριμυτάτου μιγεῖσα καὶ καταπλασσομένη.

Εἰκον-

τὴν φύσιν τοῦ ἵππου ἕως τῆς μήτρας. προκαταντλεῖ δὲ τὴν φύσιν τοῦ ἵππου ἕως τῆς μήτρας. προκαταντλεῖ δὲ τὴν φύσιν θαλασσίῳ ἀπεζεσμένῳ, καὶ ἐλαίῳ ὅσον κοτύλῃ μιᾷ, καὶ γλοιῷ διέτριβε τὴν ὀσφὺν καὶ τὰ αἰδοῖα, καὶ τὰ παραμήκεια δὶς τῆς ἡμέρας ἕως συλλήψεται, καὶ παρ' ἡμέρας πέντε ἢ ἑπτὰ, γάλακτος κοτύλας τρεῖς, ῥοδίνου τέταρτον, ἱπποσελίνου δραχμὴν μίαν, πεπέρεως κόκκους ε῞, σμύρνης ὁλκὰς Β῞, διαζέσας ἐγχυμάτιζε τὴν μήτραν χλιαρῶς, αὐλίσκον μακρὸν προσθεὶς. καὶ κρίθινον δὲ ἄλευρον ἑψήσας ἐν ὕδατι, δίδου πίνειν ἕως τέκῃ.

Ἐὰν βούλῃ στεῖραν ποιῆσαι ἵππον συλλαβεῖν, πράσων δίδυμον κόψας ἐν ὅλμῳ, παρέγχει οἴνου κύαθον α΄, καὶ κανθάρια τῶν ποικίλων ιΒ῞, καὶ τούτοις προσμίξας ὕδωρ, ἐπὶ δυσὶν ἡμέραις κλύσον τὴν μήτραν, τῇ δὲ τρίτῃ ἄφιε τὸν ἵππον, καὶ ὀχευθήτω, καὶ λοῦσον μετὰ ὀχεῖον δίς. Ἄλλο.

Λαβὼν νίτρον, καὶ κόπρον στρουθῶν, καὶ ῥητίνην τερεβινθίνην καὶ εἰς ἓν συλλειώσας, εἰς τὸ αἰδοῖον τοῦ ἵππου ἔμβαλε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΠΑΡΩΤΊΔΟΣ.

ΚΕΦΆΛ. ἘΚΚΑΙΔΈΚΑΤΟΝ.

Ἄψυρτος Δεγμίῳ πλαστικῷ χαίρειν. ἐπεὶ ἐσπουδακότα σε περὶ τοὺς ἵππους, ἀναγκαῖον εἰδέναι καὶ τοῦτο. συμβαίνει τῷ ἵππῳ οἴδημα γίνεσθαι κατὰ τὸν σύνδεσμον τῆς κεφαλῆς καὶ τοῦ τραχήλου, παρὰ τὸ οὖς σκλήρωμα ἔχον. λέγεται δὲ παρωτὶς, ἣν δεῖ θεραπεύειν οὕτως, σπόγγον βρέχοντας ἐν ὄξει θερμῷ, δὶς τῆς ἡμέρας ἐπιδεσμεῖν ἄχρι τοῦ διαπυῶσαι, καὶ τότε τέμνειν καθυπόῤῥυσιν, ἐκκόπτοντας μυρσινοειδῶς ὅσον ἐξαρκεῖ, καὶ ἐκλαμβάνοντας τὸ ὑγρὸν, παρασμήχειν ἁλσὶ λεπτοῖς, καὶ τῇ ἐχομένῃ ἡμέρᾳ ἀποπυριᾶν ὕδατι θερμῷ τὸν τόπον, καὶ ἀνακαθαίρειν. ὡς ἂν δὲ καθαρὸν γένηται, τὸ ὀρόβιον ἐμπλάσσειν μέλιτι μίξαντας, καὶ ἔσται ὑγιής. οὐ δεῖ δὲ τὸν δάκτυλον ἐντιθέναι, δυσχερῶς γὰρ συνεγγοῦται ὁ τόπος. ὅταν δὲ γένηται κατὰ

τὴν λε-

τῆς θερμῷ χειμῶνος. θεραπείας δὲ ἀναψύχοντες ὑποστρωννύντες τε καὶ ξύλα στρογγύλα διαρμόστως συγκείμενα ὑπὸ τοὺς πόδας αὐτῶν, ἵνα ἐν μὲν τῇ κοίτῃ ἁπαλότητα ἔχωσιν, ἐν δὲ τοῖς ποσὶ σκληρότητα διὰ τὰς ὁπλάς, τά τε οὖρα καταῤῥῇ εὐχερῶς. τὰς δὲ φάτνας ὑψηλοτέρας εἶναι δεῖ, ὡς ἀνηρτῆσθαι ἀπ᾽ αὐτῶν τὰς φορβειὰς καὶ ἀνανευούσας λαμβάνειν τὴν τροφήν, μάλιστα δὲ τοῦτο ἐπὶ τῶν πώλων παρατηρητέον. ὑψαύχενας γὰρ αὐτοὺς εἶναι συνεθίζομεν, ὅπερ ἐν ἱππικῷ μάλιστα κάλλος ἐστίν. οὐ χρὴ δὲ αὐτὰς ποικιλίᾳ τῶν νομῶν καὶ τῶν ὑδάτων ξενίζειν. ἀμβλύσκουσι γὰρ ὑπὸ τοῖς τοιούτοις ξενισμοῖς. τεκούσαις δὲ αὐταῖς τὴν μηδικὴν παραβαλοῦμεν, καὶ τὴν προειρημένην ἐπιμέλειαν προσεπάγομεν. πολλῷ μᾶλλον μετὰ δύο που καὶ τρεῖς μῆνας γυμναστέον τὴν ἵππον, ἵνα αὐτῇ κάλλιον ἐγγίγνηται τὸ γάλα τῇ ποιότητι, καὶ ὁ πῶλος ἀκολουθῶν γυμνάζηται τοῖς δρόμοις. ἐὰν δὲ ἁπαλὰς ἔχωσι τὰς ὁπλὰς οἱ πῶλοι, ἐν τραχέσιν αὐτοὺς χωρίοις γυμνάσομεν ὑποστρωννύντες αὐτῶν τοῖς ποσὶ καὶ ψηφῖδας, οὕτω γὰρ αὖ αἱ ὁπλαὶ σκληρυνοῖντο. καλὸν δὲ θεραπεῦσαι τὴν ὁπλὴν αὐτοῦ τὴν ἁπαλὴν οὕτω, στέαρ χοίρειον παλαιὸν καὶ τράγειον, καὶ θεῖον ἄπυρον, καὶ σκόροδα μίξαντα, χρίειν τὰς ὁπλὰς καὶ τὰς χελιδόνας αὐτῶν.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ ΕΥ̓ΤΟΚΊΑΝ.

Ἐὰν φορὰς βράδιον ἀποτίκτῃ, τοὺς μυκτῆρας αὐτοῦ ἠρέμα κατέχων πίλου, καὶ παρ᾽ αὐτὰ τέξεται.

Μαράθου δεσμὴν μικρὰν μίαν εἰς ὕδωρ ἀφέψησον, καὶ τοῦ ὕδατος αὐτοῦ κυάθους η̄, μετὰ οἴνου παλαιοῦ κυάθων η̄, καὶ ἐλαίου κυάθων β̄ χλιανάς, διὰ τῶν μυκτήρων ἔγχει.

Ἱπποκράτους πρὸς σύλληψιν φορβάδος.

Εἰ βούλει συλλαβεῖν φορβάδα, κνίδας ὠθοῦμεν εἰς τὸ στόμα τοῦ ἵππου.

ΕἸ ΤΕΚΟΥ͂ΣΑ ἍΠΑΞ ΚΑῚ δὶς φορὰς στῇ τοῦ τίκτειν, οὕτω ποίει ἵνα συλλάβῃ.

Ἀννήσου ὀξύβαφον α̅, σμύρνης δραχμὰς ιβ̅, κρόκου δραχμὰς δ̅, λειώσας ἐπιμελῶς καὶ καθαρείως, καὶ ἀναπλάσας εἰς εἶδος βαλάνων ἁδρῶν, προσωθεῖ κατὰ μίαν πρὸς

ΙΕΡΟΚΛΕΟΥΣ ΠΕΡῚ ΚΥΉΣΕΩΣ ΚΑῚ ἘΜΒΡΎΟΥ ΔΙΑΦΘΟΡΆΣ.

ΚΕΦΆΛ. ΠΕΝΤΕΚΑΙΔΈ.

Περὶ ἱππάδος συλλήψεως καὶ καθάρσεως, καὶ περὶ τοῦ γνῶναι ἄρρεν ἢ θῆλυ τὸ συλληφθέν.

Ὡς μὴ δοκεῖν ἠγνοηκέναι τι τῶν τοιούτων, βραχέα περὶ κυήσεως καὶ διαφθορᾶς ἐμβρύου λέξομεν. ἀπὸ γὰρ τῆς συλλήψεως τοσοῦτον ἵππος κύει μησὶν ιαʹ, καὶ ἡμέρας ιʹ. ἐὰν δὲ συμβῇ ταύτην θᾶττον ἀποκυῆσαι, τουτέστι μηνῶν θʹ, καὶ ἡμερῶν κʹ, ἀνατρέφεσθαι μὲν εἴωθε τὸ πῶλιον καὶ τελειοῦσθαι. χρὴ δὲ αὐτὸ τῆς ἀγέλης ἀποκρίνειν τὸ μὴ σπουδαῖον εἶναι. ἐὰν γεμὴν τὸ οὖθαρ χαλάσῃ ἐπίτεξ οὖσα τοῦ δεξιοῦ μέρους, καὶ τὴν θήλειαν σημαίνει αὐτὴν ἄρρεν τέξεσθαι. εἰ δὲ μὴ ἀπὸ σπουδαίου ἵππου συλλάβῃ, καὶ μὴ χρησίμου πρὸς ἀγῶνα, χρὴ καθέντα ἀπὸ τοῦ αἰδοίου τὴν χεῖρα ἐπὶ τὴν μήτραν. ἂν μὲν ᾖ λάσιον τὸ πῶλιον, τοῦ στόματος λαβόμενον ἀποπνῖξαι, καὶ τὴν κεφαλὴν θλῖψαι. ἐὰν δὲ ἁπαλὸν ᾖ καὶ ψιλόν, φαρμάκῳ διαχρίσαντα οὕτω διαφθεῖραι. ἔστι δὲ τὸ φάρμακον τοιοῦτον, δᾷδα λαβὼν ὡς πιοτάτην, καὶ κατατεμὼν ὡς λεπτότατα, ἐπίχεε οἴνου εὐώδους κοτύλας ηʹ, καὶ ἑψήσας ἐπὶ τρίτης, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισὶ διαιρῶν. εἶτα ῥοχαζέτω μὴ συντόνως. φασὶ δὲ καὶ βρυωνίας ῥίζαν ἐν οἴνῳ τρίψαντα ἐγχυματίζειν. εἴ τις μέντοι μὴ θέλοι τὰς ἐγκύμονας ἐξαμβλύσκειν, φυλασσέσθω μὴ δᾳδῶν σβεσθέντων τῆς κνίσσης αἰσθάνωνται. εἴωθε γὰρ ἐκ τούτων ἐξάμβλωσις γίνεσθαι.

ἈΝΑΤΟΛΊΟΥ ΠΕΡῚ ἘΠΙΜΕλείας τῶν κυουσῶν ἵππων.

Τῶν κυουσῶν ἵππων ἐπιμέλειαν ποιησόμεθα τὴν προσήκουσαν, ὥσπερ τοῦ βάρους αὐτὰς κουφίζοντες, καὶ μὴ βαστάζειν συγχωροῦντες, ποιοῦντες ἠρέμα βόσκεσθαι, καὶ τροφὴν παρατιθέντες κουφοτέραν, χόρτον ἔτι χλωρὸν τμηθέντα. οὗτος γὰρ ἐστι γλυκύτατος, κριθήν τε βεβρεγμένην, καὶ ὅσα τοιαῦτα, δίς τε τῆς ἡμέρας ποτίζοντες. ἐν ἱπποστασίῳ τε ἱστάντες θερ-

ώσιν, ὅταν ἀπὸ πρασοτόμων διεγηγερμένοι εὑρεθῶσιν, καὶ πάλιν ὅταν ἀπὸ κεκινημένων πραεῖς γένωνται οὗτοι, καὶ εἰς τὴν χρείαν τὴν ὑπηρεσίαν χρήσιμοι τυγχάνουσι, καὶ εἰς καμάτους ἱκανοί.

Ἄψυρτος οὐήρῳ μαρκέλλῳ χαίρειν. χρήσιμον εἰδέναι σε τὰς τῶν ἐμβρύων διαφθοράς. πολλάκις γὰρ οὐ λυσιτελεῖ διενεγκεῖν τὴν ἵππον, ἐὰν κακογενὴς ὀχεῖον ἐπιβῇ, ἢ πρὸς ἀγῶνα τινὰ γυμναζόντων ἡμῶν αὐτὴν κύησῃ. δεῖ δὲ διὰ τοῦ αἰδοίου ἐνθεῖναι τὴν χεῖρα, καὶ περιεῖναι εἰς τὴν μήτραν. καὶ ἐὰν μὲν δὴ λάσιον ᾖ τὸ πώλιον, λαβόμενον τοῦ στόματος ἀποπνῖξαι, καὶ τὴν κεφαλὴν ἐνθλίψαι. ἐὰν δὲ ἁπαλὸν ᾖ τὸ ἀμνεῖον, διακνίσαι αὐτό. φαρμάκῳ δὲ διαφθείρεται οὕτως, λαβόντα δάδα ὡς πιοτάτην, ποιῆσαι λεπτὰ ὡς μάλιστα, καὶ ἐπιχέαι οἴνου γλυκέος κοτύλας η, καὶ αναζέσαι, ὥστε τὸ τρίτον ἀφεψηθῆναι, καὶ τοῦτο ἐγχυματίζειν ἐφ᾽ ἡμέραις τρισὶ διαιροῦντα, καὶ τροχαζέτω μὴ συντόνως. λέγεται δὲ καὶ βρυωνίας τὰς ῥίζας τρίψαι ἐν οἴνῳ, καὶ τὸ αὐτὸ ποιεῖν. τινὲς δὲ τόρδιλον κόψαντες, μετὰ οἴνου ἐγχυματίζουσιν.

ΑΨΥΡΤΟΥ ΠΕΡῚ ΠΡΟΠΤΏσεως μήτρας.

Χάρις τῷ εὑρηκότι ἐν ταῖς θηλείαις τὸ περὶ τὴν μήτραν βοήθημα. λέγει γὰρ βοηθεῖν οὕτως, ἐὰν ἐκπέσῃ μήτρα, κατακλῖναι δεῖ τὴν ἵππον, ὥστε ὑπτίαν κεῖσθαι ἐπὶ τὴν κεφαλὴν ῥέπουσαν, καὶ καταντλῆσαι ὕδατι θερμῷ πολλῷ τὴν μήτραν, καὶ κατακεντῆσαι αὐτὴν ῥαφίδι λεπτῇ, εἶτα οἴνῳ αὐστηρῷ καὶ ἀμόργης ἴσον, καὶ ἐλαίου τὸ ἥμισυ, καὶ σίδια ἐν τῷ αὐτῷ ἑψήσας ὤθειν ἔσω, εἶτα καὶ τὴν κύστιν λαβὼν ἐντίθει, καὶ ποίησον αὐτὴν πεφυσημένην ἐγκεῖσθαι, καὶ ἀπόδησον αὐτὴν ἵνα τὸ ἔνδυμα κατέχῃ, καὶ τὸ αἰδοῖον ἐπίδησον τρὶς ἐκ διαστήματος, ἵνα ἡ μὲν κύστις ἔνδον μένῃ, τὸ δὲ οὖρον ἐκκρίνηται. ἔγχει δὲ καὶ δάφνης φύλλα, κατακαύσας μετὰ οἴνου μέλανος αὐστηροῦ, δώδεκα δὲ ἡμέρας διαλιπὼν τὸ ἔνδυμα ἕλκε, καὶ τὴν κύστιν κέντησον. καὶ τοῦ ἐνδύματος ἐκπεσόντος, ἔξελε αὐτήν, καὶ τὴν ἵππον καλῶς τρέφε μετὰ ἡσυχίας. συμφέρει γὰρ αὐτὴν εὐσαρκοτέραν εἶναι.

πεφρυγμένοις ἐπ' ὀλίγον, καὶ σεμιδάλεως, ὕδατι βραχείσης ἀρκούντως. σφοδρότεροι γὰρ πρὸς τὴν ὀχείαν γίνονται. ἐὰν δὲ μὴ προσίηται τὸν ἵππον ἡ θήλεια, νίτρον καὶ ὀρνίθων τῶν μικρῶν κόπρον σὺν ῥητίνῃ τερεβινθίνῃ τρίψας, τὰ μόρια τοῦ ἵππου ἐπίχριε, πολλῷ δὲ μᾶλλον σκίλλῃ περίχριε. δυσκολωτέρα γὰρ πρὸς ὀχείαν ἡ ἵππος. ἐὰν δὲ ἅπαξ ὀχευθεῖσα μὴ προσίηται πάλιν, ὑπερθετέον ἡμέρας κ̄, καὶ πάλιν ἐπαφετέον. ἐὰν δὲ μὴ ᾖ οὕτως ἀνέχηται, χώριζε λοιπόν, πιστεύων ἐγκύμονα εἶναι.

ὄνους εἰς ὀχείαν ἐπιτηδείους τούτους ἐπιλεξόμεθα, οὓς σὺν ταῖς ἵπποις ἀνεθρέψαμεν. ἔνιοι δὲ καλῶς ποιοῦντες, καὶ τοὺς ἀγρίους ἡμεροῦσι, καὶ ἔστιν αὐτῶν ἡ παιδοποιΐα καλλίστη, ἅτε δὴ μὴ κατακεκλεισμένων, ἀλλὰ ἀφέτων. κάλλιον δὲ ἱππάδας ὑπὸ ὄνων ὀχεύεσθαι, ἢ ὄνους ὑπὸ ἵππων. φιλοκαλώτερον δέ τινες ποιοῦντες, ταῖς θηλείαις ἱππάσιν ὑποβάλλουσι τοὺς τῶν ὄνων πώλους. κρείττονί τε γὰρ ἐκτραφήσονται γάλακτι, καὶ συντραφέντες, φιλοστοργότερον ἕξουσι πρὸς τὰς ἱππάδας ἐκ τῆς ἀναστροφῆς, ὥστε καὶ ἐφορμᾶν προθύμως. ἔστω δὲ τοῦ γαλουχίας ὁ χρόνος διετής, ὥσπερ καὶ ἵπποις. ὄνοι δὲ περὶ τὴν ὀχείαν ἀπὸ τριῶν ἕως δέκα ἐτῶν ἔστωσαν. τοιαῦτα γὰρ ἔσται καὶ τὰ γινόμενα. τινὲς δὲ φιλοκαλώτερον ποιοῦσι, τὸν ἀναβάτην ὄνον ἢ ἵππον, ἢ ἄλλό τι ζῶον χρώματος, οἵου βούλονται γίνεσθαι τὸ τικτόμενον, τοιούτῳ καὶ ἱματίῳ περικαλύπτουσιν. ὁποῖον γὰρ ἂν ᾖ τὸ τοῦ ἱματίου χρῶμα, ᾧ ὁ ἱπποβάτης περικαλύπτεται, τοιοῦτο καὶ τὸ τικτόμενον ἔσται.

ΠΕΛΑΓΩΝΙΟΥ ΠΕΡΙ κήλωνος ἐπιλογῆς.

Εἰ θέλεις γνῶναι κήλωνα χρήσιμον, καὶ ἐν τῷ τίκτειν ἐσόμενον δόκιμον, λαβὼν τοῖς δυσὶ δακτύλοις ἐκ τοῦ σπέρματος αὐτοῦ, κλωνίῳ ἀπὸ ἐρέας διάσυρον, καὶ εἰ στέξει μὴ ἐκκοπῆναι, ποιήσει χρήσιμον κήλωνα. τοῦτο γὰρ ἵππου πάχος διαβεβαιοῦται. εἰ δὲ εὐθέως ἐκκοπῇ τῇ θίξει, διασυρόμενον τὸ σπέρμα, καὶ μὴ ὡς ἰξὸς κολληθῇ, ἄχρησιμος ἔσται ἡ γονή, καὶ οὐκ ἔστιν ὁ τοιοῦτος κήλων προσδεκτέος. τρόποι δὲ ἵππων ἐπαινετοί εἰσιν,

γὰρ καὶ τοῦτο πρὸς τὸ καταπλαγῆναι τὴν ἵππον, καὶ εὐπάρεχον εἶναι. τῇ χρόᾳ δὲ καλοὶ, οἱ λαμπροὶ καὶ οἱ πορφυρίζοντες, καὶ ἐν τῷ προσώπῳ λευκοὶ καὶ οὐ φαιοί. πάντων δὲ καλλίονες οἱ μέλανες, καὶ μὴ πολιὰν ἔχοντες τὴν κοιλίαν, ἀλλ' ὁμόχρωμον. εἰ δὲ τύχοι τὸ ἐντὸς τοῦ στόματος μέλαν ἔχων, καὶ τὴν γλῶσσαν, πρόδηλος ἐστὶν ὅμοια γεννήσων. τοὺς δὲ λευκοψάρους οὓς καλοῦσι μάρονας, μὴ παραλαμβάνειν, μὴ δὲ ποιεῖσθαι ἐξ αὐτῶν τὸ ὀχεῖον. χρόαι γὰρ ἄτιμοι ὡς ἐπὶ τὸ πολὺ γίνονται ἐκ τούτων.

Οὐρὰν ἐλάφου καύσας, τρίψον μετὰ οἴνου, καὶ χρῖσον τοὺς ὄρχεις καὶ τὸ αἰδοῖον. ὅτε δὲ θέλεις παῦσαι, ἐλαίῳ χρῖε.

ἈΝΑΤΟΛΊΟΥ ΠΕΡῚ ἩΛΙΚΊΑΣ ἵππων, τῶν πρὸς ὀχείαν ἐπιτηδείων.

Ἐπιλεκτέον εὐγενεῖς ἵππους, τούς τε ἄῤῥενας καὶ τὰς θηλείας, καθ' ὃν ἀναγραψόμεθα τρόπον. ἔστω δ' εἰς ὀχείαν παραλαμβανόμενος ἵππος πενταέτης, καὶ παυέσθω τῆς ὀχείας πενταδεκαέτης. ὁ αὐτὸς δὲ χρόνος καὶ ἐπὶ τῶν θηλειῶν ὡρίσθω. ἐπιγνωσόμεθα δὲ τὴν ἡλικίαν, οὐκ ἀπὸ τῶν ὀδόντων μόνον, αὕτη γὰρ οὐκ ἀκριβὴς ἂν εἴη δοκιμασία. οὐ γὰρ οἱ ὀδόντες τὴν ἡλικίαν δηλοῦσι. τινὲς δὲ καὶ ἐκ τῶν γνάθων δοκιμάζουσι, καὶ εἰ μὲν τὸ δέρμα ἀρθὲν εὐκόλως τοῦ λοιποῦ σώματος διὰ χειρὸς, καὶ ἀφαιρεθὲν αὖθις ἐπανέλθοι ῥαδίως, νέον αὐτὸν ἀποφαίνουσιν. εἰ δὲ ἐπαρθέντος τοῦ δέρματος, βραδέως κολλήσεται ἐν τῇ σαρκὶ, γέροντα αὐτὸν διαβεβαιοῦνται.

Καιρὸς τῆς ὀχείας, ἀπὸ ἐαρινῆς ἰσημερίας, ἕως τροπῶν θερινῶν. τὴν θήλειαν δὲ ἵππον ἰσχνὴν καὶ ῥυπῶσαν ὀχεύεσθαι παραιτητέον. δοκεῖ γὰρ παρὰ τὰς τοιαύτας ὁ ἵππος θᾶττον ἐπείγεσθαι ὥσπερ τῇ ῥυπαρίᾳ αὐτῆς χαίρων. ὅταν δὲ ἀναβιβάζωμεν αὐτὸν ἐπὶ τὴν θήλειαν, τὰ ἄῤῥενα κείρωμεν αὐτῆς τὴν οὐράν. τινὲς δὲ ἐπετήδευσαν ἐρωτικοὺς τοὺς ἵππους πρὸς τὰς θηλείας ποιῆσαι, καὶ κοσμοῦσιν αὐτὰς κόσμῳ τῷ ἀπὸ τῶν οἰκείων τριχῶν, καὶ ἄλλοις περικαλλέσι πηκάσμασι, καὶ ἔτι ἄλλο πρὸς ἐπιθυμίαν ἐπακτικὸν, καὶ σύνδρομον αὐτὴν ἵππῳ ποιήσαντες, καὶ ὥσπερ ἁμιλλωμένην δοκοῦσι διεγείρειν τὸν ἵππον εἰς τὸν τῆς προκαλουμένης ἔρωτα. δεῖ δὲ τοὺς ἄῤῥενας πρὸ πέντε μηνῶν χωρίζειν ἀπὸ τῶν θηλειῶν. προσδιαιτᾶν δὲ αὐτοὺς σίτῳ καὶ ὀρόβῳ

τρέφου-

αὔτως συμβήσεται. ὅσοι δέ εἰσι δυσκατάρτιστοι ἐν τῇ ἐπιβάσει, καὶ νωχελεῖς, ἀποκριτέον καὶ τούτους, ἥσσονας ὄντας ἐν τῷ ἔργῳ, καὶ τοὺς μονόρχεις δέ, οὐ δεῖ παραλαμβάνειν ἀγόνους ὄντας ἐπὶ τὸ πλεῖστον, ἢ ὅμοιον γεννῶντας. καὶ ὅσοι δὲ ἐπὶ τῶν διδύμων κρειοσοὺς ἔχουσιν, οἱ λέγονται κριοσοκάβαινοι, ἀβέβαιοί εἰσι. δεῖ γὰρ τὸν ὀχεύοντα ἄρτιον εἶναι κεχωρισμένον παντὸς αἰτίου.

Εὔχρηστον εἰδέναι τοῖς ποιουμένοις τὰς συστάσεις ἐκ τοῦ ἱππικοῦ καὶ ὀνικοῦ ζώου, ὅτι δεῖ ὑπάρχειν τὸν ἀναβάτην ὄνον μέγαν τῇ ἕξει, καὶ πολλὴν τῇ περιοχῇ τοῦ σώματος, τὴν κεφαλὴν μεγάλην ἔχοντα, καὶ μὴ ἱππώδη, πρόσωπον ὡσαύτως, καὶ τὰς ἐν αὐτῷ γνάθους, καὶ χείλη μεγάλα, ὀφθαλμοὺς μὴ μικρούς, μὴ δὲ κοίλους, μυκτῆρας μεγάλους, ὦτα μὴ μικρά, μὴ δὲ κλαμβά, αὐχένα πλατύν, μὴ βραχύν, στῆθος ὡσαύτως πλατὺ καὶ σαρκῶδες μεμυωμένον, στερρὸν πρὸς τὸ ὑπομένειν τὰ ὑπὸ τῆς ὀργῆς λακτίσματα, ὠμοπλάτας μεγάλους, καὶ τὰ ὑποκάτω τούτων. ἐπάνω δὲ τῶν γονάτων, παχέα καὶ σαρκώδη καὶ ἰσχυρά, καὶ ὡς μάλιστα διάστασιν ἔχοντα. δεῖ γὰρ αὐτὸν ἐν τῇ ἐπιβάσει τὴν ὀχευομένην εὐπερίληπτον ἔχειν. τὸν δὲ νῶτον μέγαν, καὶ τὴν ἐν αὐτῷ ῥάχιν πλατεῖαν, μὴ κυρτὴν δὲ ἢ κοίλην, καὶ τὴν ἐν αὐτῇ γραμμὴν στενὴν ἐχέτω, καὶ μὴ σχολιάν. ἔστω δὲ μὴ κάτωμος, συνωμίαν τε ὑψηλοτέραν ἐχέτω καὶ ἴσην, καὶ τὸν ἐν αὐτῇ κατάγραφον κόκκυγα, πλατύν, μεστόν, διάμηκον, μὴ στενὸν δὲ καὶ πνιγώδη. κοιλίαν δὲ μὴ ἄγαν ἔνογκον, μικρὰς λαγόνας, πλευρὰς πλατείας, ἰσχία μεγάλα καὶ ἴσα, μὴ περιάγλουτον, μὴ δὲ ὀξύπυγον. οὐραὶ δὲ κάλλιονες, αἱ μείουροι μικροὺς μὴ μεγάλους, σαρκώδεις μᾶλλον, μὴ δὲ ἔξω ἀπεστραμμένους, διαβεβηκότας δέ. ἑδραιότερος γὰρ ὑπάρχει ἐν τῇ ἐπιβάσει. εἰσὶ δὲ καὶ ἰσχυρότεροι οὗτοι τῶν συμμήρων. τοὺς δὲ ὄρχεις, ἴσους καὶ μεγάλους, γόνατα μεγάλα καὶ στρογγύλα, καὶ τὰ ὑπ' αὐτὰ σκέλη καὶ κνήμας μὴ μεγάλα, ὀστώδη, ἄσαρκα, καὶ νευρώδη μᾶλλον, μὴ βλαισά, μὴ δὲ ταινίας ἔχοντα ἑτεροχρώμους. τὰ μεσοκώνια μὴ λίαν ὑψηλά, μὴ δὲ ταπεινά, μὴ δὲ κυνοβάτης ἔστω. ἐχέτω δὲ πόδας μὴ σκαύρους, μὴ δὲ ταπεινούς, παχὺν τὸν ὄνυχα, καὶ κάτωθεν κοίλην τὴν ὁπλήν, καὶ χελιδόνα μικρὰν ἔχουσαν. ἔστω δὲ καὶ τῇ φωνῇ μὴ μογγός, ἀλλὰ λαμπρός. συμβάλλεται

γὰρ καὶ

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ` ἙΤΕΡΟΦΘΑ΄ΛΜΟΥ ΚΑΙ` ἈΛΦΟΡΥ΄ΓΧΟΥ.

ΚΕΦΑ΄Λ. ΤΡΙΣΚΑΙΔΕ΄ΚΑΤΟΝ.

Ἄψυρτος φλαμαρουιτίω χαίρειν. οἱ ἑτερόφθαλμοι τῶν ἵππων, οὐ τὸ αὐτὸ βλέπουσι τοῖς ὀφθαλμοῖς. ὃν τρόπον γὰρ τόπον ὁ ἑτεροσκελὴς καὶ ὁ ἑτερόπους σκάζει, καὶ λέπεται περὶ περιπάτῳ, οὕτω καὶ οὗτοι τῷ ὁρατικῷ. εἰσὶ δὲ καὶ πονηροὶ καὶ ἐπιλελησμένοι διὰ τὴν ἑτεροφθαλμίαν. παραλαμβάνουσι δὲ αὐτοὺς πάρθοι, ὡς εὐγενεστάτους. δοκεῖ δὲ καὶ παρ᾽ ἐκείνοις πρώτως γεγενῆσθαι, καὶ ὅσοι δὲ ποικίλοι τῷ χρώματί εἰσι, καὶ οὗτοι δοκοῦσι παρ᾽ ἐκείνοις πρώτως γεγονέναι, διὸ καὶ οἱ ἀρχαῖοι πάρθους αὐτοὺς ὠνόμασαν. ἴσθι δὲ καὶ τοῦτο, ὅτι τῶν ἵππων οἱ ἀλφόρυγχοι, καὶ ἀλφοπρόσωποι, καὶ περὶ τοὺς ὀφθαλμοὺς ἔχοντες, οὗτοι ἀπὸ τῆς γενέσεως εἰς τὸν καταγηρασμὸν πολυχρονιώτεροί εἰσιν.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ` ὈΧΕΙ΄ΑΣ.

ΚΕΦΑ΄Λ. ΤΕΣΣΑΡΕΣΚΑΙΔΕ΄Κ.

Ἄψυρτος καρισανῷ φρόντωνι χαίρειν. σπουδαίως ἔχοντός σου περὶ τὴν ἱπποτροφίαν, καὶ ζητοῦντος ἐκ τίνων δεῖ καὶ ποταπῶν τὸ ὀχεῖον ποιεῖσθαι, ἀναγκαῖον εἰδέναι σε καὶ τοῦτο τῶν ἐχόντων ἐν τῷ ὁρατικῷ λεύκωμά τι, οὐχ ὑπὸ πληγῆς, ἀλλ᾽ ἐκ τοῦ αὐτομάτου. τούτων οὐ δεῖ τὰ ὀχεῖα λαμβάνειν. ζωογονηθὲν γὰρ καὶ ἐλθὸν εἰς τὴν αὐτὴν ἡλικίαν, πηροῦται ὡσαύτως. τῇ δὲ ἐκ τοῦ τοιούτου ἱππάδι γενομένῃ, οὐ γίνεται τοῦτο, διὰ τὸ ἔχειν αὐτὴν ἐνιαυσιαίαν κάθαρσιν. τῷ δὲ ὑπ᾽ αὐτῆς γεννηθέντι ἄρρενι, ὡ-

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ,

ἐν ᾧ καὶ περὶ ῥευματιζομένων καὶ πτερυγίων.

Ἐὰν ὀφθαλμὸς διακοπῇ, καὶ λῆμαι φέρωνται παχεῖαι, καὶ δέος μὴ ἐκρεύσῃ ὁ ὀφθαλμός, θεραπεύεται οὕτως, μυελὸν προβάτειον ἀπὸ τῶν μηρῶν ξύσας, ἐνάλειφε, καὶ κάτεχε τῇ χειρὶ ἐπί τινα χρόνον δὶς τῆς ἡμέρας. καλὸν δὲ εἰ ὁ μυελὸς εἴη πρόσφατος. ἐὰν δὲ μὴ ἔχῃς μυελόν, στέαρ χήνειον, ἢ καὶ τῶν κατοικιδίων ὀρνίθων ξύσας ἐπίχριε, καὶ ὁ μυελὸς δὲ μετὰ χηνείου στέατος μεμιγμένος ὠφελεῖ. ὅταν δὲ ἀναπληρωθῇ τὸ τραῦμα καὶ ἡ διακοπὴ ἀπουλωθῇ, ὡς μηκέτι λήμας φέρεσθαι, ἐνάλειφε τῷ φαρμάκῳ τῷ ὑπογεγραμμένῳ, χαλκάνθης ὀβολὸν ἕνα, σμύρνης ὀβολοὺς β', κρόκου δραχμὴν μίαν, μυελοῦ προβατείου στατῆρα, προλειώσας τὸν μυελόν, εἶτα ξύσας ἅμα πάντα, καὶ ἐπιχέας ἀττικοῦ μέλιτος, χρῶ, καὶ ἀπόσμηχε τὴν οὐλήν. ἐὰν δὲ θολερός ποτε γίνηται ὁ ὀφθαλμὸς ἐξ ὕλης, ἢ ἄλλης αἰτίας ἢ παραρρίψεως, ἢ ἀχλὺς αὐτὸν ἐπιδράμῃ, κείρας τὴν ἐν τῷ προσώπῳ φλέβα τὴν ὑπὸ τὸ μῆλον, τῇ ὑστεραίᾳ ἐνάλειφε ὡς προείρηται. ἔνιοι δὲ ἰοῦ, σμύρνης, ἀφρονίτρου ἀλεξανδρίνου ξύσαντες, καὶ μέλιτι ἀττικῷ συλλεάναντες, χρῶνται. εὔχρηστον γε μὴν βοήθημα, καὶ παραυτίκα τοῦ συμβαίνοντος ἐμφυσᾶν οἴνῳ, διαστέλλοντα τὸν ὀφθαλμόν. εἰ δὲ φλεγμονὴ γένοιτο, ἄλφιτα ἀναμίξαντα οἴνῳ, καταπλάσσειν καὶ ἐπιδεσμεῖν. ὅταν δὲ ῥευματιζομένου μὴ ἵστηται τὸ ῥεῦμα, περικαυστέον τὸν ὀφθαλμὸν ἀπόγγυ, τὸ ὁρατικὸν κατέχοντα διὰ τὸ καυτήριον. καὶ τοῦτο δὲ ῥευματιζομένοις χρήσιμον, λιθάργυρον ξύσαντα καὶ πλύναντα, καὶ ὑοσκυάμου χυλὸν ἴσον ἑκάτερον, καὶ ὀποῦ μήκωνος τὸ τρίτον, καὶ ἰοῦ καὶ θείου ὁμοίως τρίψαντα καθ' ἕν, εἶτα κοινῇ, καὶ οἴνῳ διαλύοντα γλυκεῖ παχυτέρῳ ἐγχρίειν. τὸ δὲ τῶν πτερυγίων πάθος, οὐκ εὐίατόν ἐστιν. γίνεται γάρ τινα, οἱονεὶ διφθέρεια ὑπὸ τῶν βλεφάρων λευκά, καὶ ἀποτυφλοῖ τὸ ζῷον. ὑποβαλὼν οὖν τὸν δάκτυλον, ἀποπόρπισον καὶ ἔκτεμε, εἶτα χρῖσον τὸ περίτμημα ἁλσὶ καὶ ἐλαίῳ, καὶ ταῖς ἓξ ἡμέραις ἐνάλειφε μυελῷ προβατείῳ τῷ ἐκ τῶν καλουμένων νυμφιδίων. κολλυρίων δὲ διαφόρους συνθέσεις εὑρήσεις γεγραμμένας ἐν τῷ δευτέρῳ μου βιβλίῳ.

προσφοιῶντα σε, ἀναγκαῖον σε εἰδέναι τὰ βοηθήματα, ἐὰν διακοπὴ γένηται ἐν αὐτῷ, καὶ φέρῃ λήμας, παχείας γινώσκειν δεῖ ὅτι ἐκρεῖ ὁ ὀφθαλμός. θεραπεύεται δὲ οὕτως, μυελὸν προβάτειον τὸν μηριαῖον τρίψαντα ἐναλείφειν, καὶ κατέχειν, τῇ χειρὶ ἐπέχοντα ποσῶς δὶς τῆς ἡμέρας. ἄριστον δὲ εἰ ὁ μυελὸς πρόσφατος εἴη. ἐὰν δὲ μυελὸς μὴ ᾖ, στέαρ χήνειον, ἢ ὀρνίθων τῶν κατοικιδίων τρίψαντα ὑποχρίειν. καὶ ὁ μυελὸς δὲ μιχθεὶς τῷ χηνείῳ συλλελειωμένος ἁρμόζει. ἀναπληρωθέντος δὲ τοῦ τριπήματος, καὶ τῆς διακοπῆς ἀπουλωθείσης, ὥστε μηκέτι φέρεσθαι λήμας, ἐναλείφειν τῇ συνθέσει ταύτῃ, χαλκάνθης ὀβολὸν α΄, σμύρνης β΄, κρόκου δραχμὴν μίαν, μυελοῦ προβατείου τοῦ προγεγραμμένου στατῆρα, ταῦτα τρίψαντα ἐν ταυτῷ, καὶ μέλι ἀττικὸν ἐπιχέαντα χρῆσθαι, καὶ ἀποσμήχειν τὴν οὐλήν. ἔστι δὲ ὁ μυελὸς προλελυωμένος. ἐὰν δέ ποτε συμβῇ θολερὸν γενέσθαι τὸν ὀφθαλμὸν ὑπὸ πληγῆς, ἢ δι᾽ ἄλλης τινὸς αἰτίας ἢ παραρίψεως, ἢ ἀχλὺς ἐπιδράμῃ, ἄριστον φλεβοτομεῖν διακόπτοντα τὴν ἐν τῷ προσώπῳ φλέβα ὑπὸ τὸ μῆλον, καὶ τῇ ἐπαύριον ἐναλείφειν τῷ προτέρῳ. χρηστοτέρα δὲ πρὸς τοῦτο ἡ σύνθεσις αὕτη, ἰοῦ ὀβολὸν ἕνα, σμύρνης, ἀφρονίτρου ἀλεξανδρινοῦ β΄, τρίψαντα ὡς λεπτότατα, καὶ μέλιτι ἀττικῷ συλλεάναντα, χρῆσθαι. πρὸς τὴν διακοπὴν δὲ τὸ διὰ τοῦ μυελοῦ συγκειμένῳ χρῶ. ὠφέλιμον δὲ καὶ τοῦτο, ὀρόβους ἀλέσαντα καὶ σήσαντα ἐν ὀθονίῳ, καὶ μέλιτι μίξαντα ἀττικῷ ἢ κρητικῷ, καὶ συλλεάναντα ὑπαλείφειν ἐκτὸς τῆς διακοπῆς. εὔχρηστον δὲ βοήθημα, καὶ πρὸς καιρὸν ἐπὶ παντὶ τῷ συμβαίνοντι ἐμφυσᾶν, οἴνῳ διαστέλλοντα τὸν ὀφθαλμόν. φλεγμονῆς δὲ γενομένης, χρῆσθαι τούτῳ τῷ βοηθήματι, ἄλφιτα μάσσοντα ἐν οἴνῳ, καταπλάσσειν καὶ ἐπιδεσμεῖν. ὅταν δὲ ῥευματίζηται καὶ μὴ ἵστηται τὸ ῥεῦμα, περικαυστέον τὸν ὀφθαλμὸν τὸ ὁρατικὸν σπόγγῳ κατέχοντα, ὑποδέχεται γὰρ τὸ καυτήριον. ἄριστον δὲ τοῦτο πρὸς τοὺς ῥευματιζομένους, λιθάργυρον πλύναντα καὶ τρίψαντα, καὶ ὑοσκυάμου χυλὸν ἴσον ἑκατέρου, καὶ ὀποῦ μήκωνος τρίτον, ἢ τὸ ἴσον τῷ ὀπῷ τρίψαντα καθ᾽ ἕν, καὶ πάλιν ἐν ταυτῷ οἴνῳ γλυκεῖ διανέντα παχεῖ, ἐγχεῖν τὸν ὀφθαλμόν.

βέλτιον δὲ εἰ τὴν ἄκανθαν καύσας, ἀποτεφρώσεις, καὶ μέλι ἀττικὸν ἐπιβαλὼν καὶ ἔλαιον, χρῶ πρὸς πᾶν ὀφθαλμοῦ πάθος. ἢ πεπέρεως λευκοῦ, τὸν ἴσον σταθμὸν μετὰ σποδιᾶς λευκῆς ἀκάνθης, καὶ μέλιτος μίξας, πτερῷ τὸν ὀφθαλμὸν ἐπίχειε.

Ἰὸν καὶ ἅλας ἐν ἴσῳ σταθμῷ λαβὼν, προσμίξον ὄξους τὸ ἀρκοῦν ἐλαίου γο α΄, πεπέρεως μακροῦ γο α΄, βοτάνης σαβίνης ἤτοι βράθυος γο α΄, λιβάνου ἄλευρου γο α΄, σμύρνης γο α΄, ἕκαστα ταῦτα λειώσας, καὶ λεπτῷ κοσκίνῳ σήσας, χρῶ μετὰ μέλιτος ὑγιαίνων ἕξ.

Ἔρειον μετὰ ἐλαίου ῥοδίνου καὶ ᾠοῦ, ἐν τῷ τοῦ ὀφθαλμοῦ ἔμβαλε, τῇ δὲ ἄλλῃ, τίλεως ἀφεψημένης χυλῷ χλιαρῷ ἀπάντλει, καὶ πληρώσας σπόγγον ἐπίθες καὶ δῆσον, καὶ πάλιν ἔρειον ἀπὸ τῶν προγεγραμμένων. καὶ ὅταν βέλτιον ἔχῃ, κολλύριον ἐπίχειε.

Ὄροβον ἀληλεσμένον, ἔλαιον ῥόδινον, καὶ ᾠὸν μετὰ μέλιτος ἀττικοῦ μίξας, τὸ τραῦμα ἔγχειε.

Δορὰν παλαιᾶς βύρσης καύσας, καὶ ξηρίον ποιήσας, ἔμβαλε κατὰ τοὺς ὀφθαλμούς.

Ἐὰν δὲ ἐξαίφνης ὀφθαλμὸς φλεγμαίνῃ, σπόγγον ὄξει βρέξας, πρίβων περὶ ὀφθαλμῷ, καὶ ἐπιδέσμει.

ΑΨΥΡΤΟΥ

ΣΎΝΘΕΣΙΣ ΚΟΛΛΟΥΡΊΩΝ ἘΠΙΛΕΥΚΩΜΆΤΩΝ.

ΚΕΦΆΛ. ΔΥΟΚΑΙΔΈΚΑΤΟΝ.

Λιβάνου ἄῤῥενος γο β΄, σμύρνης στακτῆς γο β΄, κρόκου κυρηναϊκοῦ γο α΄, μαράθου χυλοῦ γο β΄, μέλιτος ἀκαπνίστου γο α΄, ῥόδων φύλλον γο β΄, πεπέρεως λευκοῦ, πεπέρεως μακροῦ, κροκομάγματος ἀνὰ γο α΄, χυλοῦ κισσοῦ γο β΄, οἴνου ἰταλικοῦ κοτύλην μίαν, ὀποβαλσάμου τὸ ἀρκοῦν.

Ἄψυρτος ἱπποκράτει ἱππιατρῷ χαίρειν. ἐπειδὴ ῥαδίως πέφυκε τὸ ἱππικὸν γένος ἀδικεῖσθαι ἐν τῷ ὁρατικῷ, ἱπποτροφοῦντας σε

εὖ πάχος ποιήσας, ἔγχεε, πρότερον δὲ αἷμα ἀφαιρεῖ ἀπὸ τῶν κροτάφων. ἐὰν δὲ ἐπιμένον τὸ ῥεῦμα πτερύγιον ποιήσῃ, ἢ σταφύλωμα, διαλιπὼν τὸ ἐναλείφειν, ἐπὶ δύο ἡμέρας οἴνῳ ἐμφύσα, καὶ κλύζε τὸν ὀφθαλμὸν διὰ τοῦ στενοῦ πόρου τοῦ προσκειμένου τοῖς μυκτῆρσιν. οὗτος γὰρ ὁ πόρος διήκει μέχρι τοῦ ὀφθαλμοῦ, καὶ μετὰ ταῦτα πάλιν ἐνάλειφε τῷ εἰρημένῳ φαρμάκῳ. τοῦτο γὰρ καὶ ἀναπλασσόμενον, θέρους μὲν μετὰ ὕδατος ψυχροῦ, χειμῶνος δὲ χλιαροῦ οἰνομέλιτος, ὠφελεῖ.

Σμύρνης τρωγλίτιδος γο α', κρόκου ὀβολὸν ἕνα λειώσας καὶ ἑψήσας ἐν μελικράτῳ, πρόσθες ἔτι μέλιτος γο γ', καὶ χρῶ.

Νοσσιὰν χελιδόνος καθελὼν, ὥστε μηδὲν νοσσίον ἐκεῖθεν ἀπολέσθαι, βάλλε ἐν ἀγγείῳ, καὶ ἐπιβαλὼν ὕδωρ, τάραξον, καὶ τοῦτο δίηθησον, καὶ τὸ ἀπήθημα δίδου διψῶντι τῷ ζώῳ πιεῖν, ἢ καὶ διὰ κέρατος ἐγχυμάτιζε.

Βαλσάμου, σμύρνης, κρόκου, καδμείας, πηγάνου ἀνὰ γο α', ναρδοστάχυος γο β', πεπέρεως λευκοῦ γο δύο, μέλιτος ἀττικοῦ γο ς', ἀσπαράγου ῥίζης γο ς', οἴνου παλαιοῦ γράμματα β', ἀλκυονίου γο ε', ὕδατος ὀμβρείου ἢ ποταμίου γο β'.

Προπαίντων ἐν θερμοτέρῳ τόπῳ ἱστάσθω, ἀπεχέσθω τῶν κριθῶν, μόνοις δὲ πιτύροις καὶ ἀχύροις τρεφέσθω. λαβὼν δὲ ἀλεύρου σιτίνου ξέστην τὸ ἥμισυ, καὶ ὑδρομέλιτος ξε. α', λιβάνου ἀλεύρου ξε. α', ῥητίνης γο α', ὠὰ β', καὶ οἶνον τὸ ἀρκοῦντα ἕψε, καὶ πᾶσαν τὴν ὄψιν ἐγχρίων ἐπίδησον, καὶ μενέτω νύκτα μίαν μετὰ τοῦ βοηθήματος. τὸ δὲ πρωῒ ἀφελόμενος αὐτὸ τὰς προειρημένας ῥοφὰς παράβαλλε. τετάρτῃ δὲ ἡμέρᾳ ἔγχριε τοὺς ὀφθαλμοὺς μέλιτι ἀττικῷ.

Βαλσάμου γο β', πεπέρεως γο β', μυελοῦ προβατίου ἐκ τῶν ποδῶν γο α', σκορόδων γαλλικῶν τὸ ἀρκοῦν, μαράθου δσυμὶν ὠοῦ λέκυθον α'.

Σμύρναν, κρόκον, σχοίνου ἄνθος συλλειώσας, καὶ μέλι ἐπιβαλὼν, ἐπίχριε.

Ὀποπάνακος γράμματα τέσσαρα, ἴων ξηρῶν γο β', ναρδοστάχυος γο ς', κασίας, σμύρνης, ἐλαίου ἀνὰ γο ς', πεπέρεως γράμματα ς', οἴνου γράμματα ε'.

Ἀκάνθης λευκῆς χυλὸν, οἴνῳ παλαιῷ μίξον ἐν ἴσῳ σταθμῷ.

προσμίξας, ἔγχει καὶ μετὰ ταῦτα ψυχρῷ ὕδατι ἐπάντλει.

ΠΡῸΣ ΤᾺ ἘΝ ὈΦΘΑΛΜΩ͂Ν τραύματα.

Τὰ γὰρ ὀφθαλμοῖς τραύματα θεραπεύσεις οὕτω, λαβὼν κρόκου, πεπέρεως λευκοῦ, ἅλατος ἀμμωνιακοῦ, ὀπίου, σκορόδου ἀνὰ γο͞ μίαν, καὶ λειώσας ἕκαστα, μέλιτι ἀναλάμβανε, καὶ ἀπ' αὐτοῦ ἔγχει. ποιεῖ δὲ καὶ κόπρος ἀνθρωπίνη ξηρανθεῖσα καὶ λειανθεῖσα, ἢ κινάρας ἀγρίας ῥίζα μετὰ ἁλὸς μιχθεῖσα ἐπὶ † προσπασθεῖσα τῶν ὀφθαλμῶν. προσπλασθεῖσα.

ΠΡῸΣ ἈΡΧΟΜΈΝΑΣ †ἐγχύσεις ἔγχεισμα.

ἐκχύσεις.

Μέλιτος ἀττικοῦ, ὑαίνης ἢ ἀλώπεκος χολῆς τὸ ἴσον τῷ μέλιτι, ὀποβαλσάμου τὸ ἴσον, πεπέρεως τὸ ἥμισυ. ταῦτα λειώσας καὶ ἀνελόμενος εἰς βυκίον ὑάλινον, ἢ κασσιτέρινον, ἔγχει.

ΠΡῸΣ ΠΤΕΡΎΓΙΑ.

Πτερύγιά εἰσι, παχέων χυμῶν αἵματος καὶ φλέγματος τῆς κεφαλῆς συστάντων, ἀνωτέρω καί τινων ἐπιχύσεις ἐπιφερόμεναι τοῖς ὀφθαλμοῖς, σώματά τινα ὑμενώδη, ὧν αἱ μαχθέντων αἱ ῥίζαι φαίνονται, καὶ καταλαβοῦσαι τὴν κόρην ἀλλοτριοῦσι τοῦ φωτὸς, νέφους δίκην αὐτὴν ὥσπερ ἀστέρα καλύπτουσαι, ὧν ἴαμα σύντομον καὶ εὐπόριστον ἐκθήσομαι. ἑκατέρωθεν χρὴ τὸν ὀφθαλμὸν περιασύραντα ὥσπερ καὶ τὸ πρόσωπον ῥυσῶσαι, τὸ δ' ἐπιπολῆς πτερύγιον ὑμενῶδες, ἀνακρεμάσαι ἰατρικῷ ἀγκίστρῳ ἀντὶ γλωσσίδος, ἐπιτεμεῖν σμίλῃ κύκλῳ. οὐ φοβηθήσῃ δὲ τοῦτο ποιῶν, κερατοειδοῦς τοῦ ὑμένος ὑπάρχοντος, τμηθέντος δὲ αὐτοῦ, σπόγγιον μετὰ ὀξυκράτου. ἂν δὲ σφόδρα πιέζηται ὁ ἵππος, δεσμῷ σύνεχε, τῇ δὲ τρίτῃ τῶν ἡμερῶν, ἀποθεράπευε φαρμάκῳ τῷδε, κιμωλίας γο͞ α͞, πομφόλυγος γο͞ ς', ἴρεως δραχμὰς δύο, μέλιτος τὸ ἀρκοῦν, ἀναλαβὼν ἔγχει, ἕως θεραπεύσεις.

ΠΡῸΣ ὙΦΑΊΜΟΥΣ ὈΦΘΑΛΜΟΎΣ, καὶ σταφυλώματα.

Ὠοῦ τὸ λευκὸν, ἔλαιον ῥόδινον, ψιμύθιον. ταῦτα γλοι-

οῦ πάχος

προτάφων. ἐνστάζειν δὲ εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ μέλι καὶ γάλα ἐπὶ ἡμέραις τρισί. ἐὰν δὲ ῥευματίζωνται, λαβὼν μέλι καὶ ἀλόην ἡπατικήν, ἔγχει αὐτὸν καὶ ἀναστέλλει τὸ ῥεῦμα τὸ ἐπικείμενον καὶ ὑγιαίνει.

ἌΛΛΟ ὈΦΘΑΛΜΙΚΌΝ.

Μυελὸν ἐλάφειον καλῶς καθάρας, ὅπως μή τι τῶν ἔσωθεν ὀστάριον ὑπομείνῃ, τρίψον ἐν θυείᾳ μαρμαρίνῃ, καὶ πρόσβαλε αὐτῷ κρόκου τετριμμένου δραχμὴν μίαν, καὶ ἀποθεὶς ἐν σκεύει ξυλίνῳ ἢ κερατίνῳ, χρῶ πρὸς τὰ ἕλκη τῶν ὀφθαλμῶν. Ἄλλο.

Χλωρῶν καλάμων κεφαλὰς καύσας ἐπιμελῶς, ἐπιβαλὼν τε σμύρνης ἡδυτάτης ὀβολοὺς τρεῖς, καὶ νάρδου συριακῆς τὸ ἴσον τρίψον πάντα εἰς ἕν, καὶ ἀπόθου ἐν πυξίδι χαλκῇ, καὶ χρῶ πρὸς λευκώματα. Ἄλλο.

Γράβων τρίψας εἰς λεπτὰ καὶ ἀποθλίψας, βάλλε τὸν χυλὸν εἰς σκεῦος χαλκοῦν, καὶ χρῶ ἐναλείφων. Ἄλλο.

Ἐὰν ὀφθαλμὸς φλεγμαίνῃ, λιβανωτοῦ, ἀμύλου, ὀρνίθου μυελοῦ ἀνὰ δραχμὴν μίαν, ἐλαίου ῥοδίνου γο, ὠῶν τὸ λευκὸν μίξας ἐν ταυτῷ, ἐνάλειφε. Ἄλλο.

Ἅλας θούειον τρίψας, ἐμφύσα μετὰ τῶν ῥοθώνων. ἐὰν δὲ μὴ ἀνοίγῃ τὸν ὀφθαλμόν, ἐκστρέψας αὐτοῦ τὰ βλέφαρα, σμιλαρίῳ κατάχαξον. εἶτα οἴνῳ ἐμφύσα, εἶτε αἷμα ἀπὸ τῶν κροτάφων αὐτοῦ λάμβανε, καὶ ἔσται ὑγιής.

ΠΡΌΣ ΛΕΥΚΏΜΑΤΑ ἌΛΛΟ.

Μαράθρου χυλοῦ τὸ ἀρκοῦν, κισσοῦ πετραίου φύλλων τρυφερῶν χυλοῦ τὸ ἴσον, γάλα κυνός, ἢ ὄνου, αἷμα περιστερᾶς ἡμέρου, δρόσον κράμβης, μέλιτι ἀττικῷ συμμίξας, χρῶ.

ΕΥ̓ΜΉΛΟΥ ΠΡῸΣ ΤᾺΣ ἘΝ ὀφθαλμοῖς οὐλάς.

Ἅλας ἔτι νήστεις ὢν διαμασησάμενος, τὸν ὀφθαλμὸν πρόσπτυσον, καὶ ἀπολεπτυνεῖς, ἢ σηπίας ὄστρακον ξύσας χρῶ, ἀγριοσταφυλίνου σπέρμα κεκομμένου, καὶ ἀρνογλώσσου χυλὸν μέλιτι ἀττικῷ μίξας, χρῶ. Τὸν ὀφθαλμὸν ὕδατι ψυχρῷ καταντλεῖ, τὰς δὲ ἐπιφορὰς ἰάσῃ, ἅλας εἰς οἶνον καλὸν ἑψήσας, καὶ προσβαλὼν σμύρναν λελειωμένην, καὶ μέλι ἀττικὸν προσμί-

Ἄλλο.

Ἀλῶν ἀττικῶν γο̄ αϛ̄, σηπίας ὀστράκου ἐξεσμένου τὸ ἴσον, καὶ κροκοδείλου κόπρον. ταῦτα ὁμοῦ λειώσας, ἐπεμβαλὼν κρόκον καὶ φυλλάριον. ἔτι δὲ ἐλύδριον, κἀκεῖνα λειώσας, καὶ στήσας κοσκίνῳ ὀφθαλμικῷ ἀναλάμβανε, καὶ ἀποτίθει εἰς βυκίον ὑάλινον, καὶ ἐν καιρῷ χρείας ὑπάλειφε. ἐὰν δέ ποτε ἀναλυθῇ, ἢ ὑγρὸν γένηται, κομίδιον μικρὸν λελειωμένον πρόσμιγε, ὥστε καὶ ἀναπλασσόμενον ποιεῖ καλῶς καὶ ἀνιέμενον ὕδατι, καὶ οὕτως ἐπαλειφόμενον.

ΚΟΛΛΟΎΡΙΟΝ ΠΡῸΣ ΛΕΥΚΏΜΑΤΑ.

Μέλιτος γο̄ α̅, λιβάνου ἀρσενικοῦ γο̄ α, σμύρνης σταγλάτιδος γο̄ α̅, πεπέρεως λευκοῦ γο̄ α̅, κρόκου γο̄ α, ἀλόης ἡπατίτιδος γο̄ α, ἀμμωνιακοῦ θυμιάματος γο̄ β, ἄλατος ἀμμωνιακοῦ γο̄ α, στύρακος καθαροῦ γο̄ α, στυπτηρίας σχιστῆς γο̄ α, νίτρου ἐλλινικοῦ γο̄ α̅. ταῦτα λειοτριβήσας ἐπιμελῶς, χρῶ κατὰ παντὸς λευκώματος.

Ἄλλο

Ἀμμωνιακοῦ καὶ μαράθου τὸ ἴσον βαλὼν εἰς θυίαν, τρίβε ἡμέρας τρεῖς, τῇ δὲ τετάρτῃ ἐπιχέας ὕδωρ ποταμιαῖον, ἢ ὕδωρ κρηναῖον, δὶς τῆς ἡμέρας τρίβε ἄχρι ἡμέρας η̅, ἐπιχέας μέλιτος γο̄ ἐξ.

ἌΛΛΟ ΠΡῸΣ ΠΌΝΟΝ

ὀφθαλμῶν.

Κηροῦ ἢ ῥητίνης ἀμμωνιακοῦ, ἀφρονίτρου. ταῦτα πάντα ἴσον κόψας ἕκαστον, χρῶ.

ὈΦΘΑΛΜΙΚΟΥ͂ ΣΚΕΥΑΣΊΑ.

Νάρδου στάχυος ὁλκὰς β, κρόκου ὁλκὴν μίαν, ἀμύλου ὁλκὰς β΄, μέλιτος ἀττικοῦ τὸ ἀρκοῦν.

ΕἸΣ ὈΦΘΑΛΜῸΝ

ἡλκωμένον.

Σμύρναν, κρόκον, καὶ σχοίνου ἄνθος τρίψας ὡς λεπτότατα, μέλι παρεγχέων, ἐπάλειφε.

ΠΡῸΣ ὈΦΘΑΛΜΊΑΝ.

Ὀφθαλμίαι εἰώθασι γίνεσθαι, ἐκ βράσεως αἵματος καὶ πολυτροφίας. τὸν τοιοῦτον οὖν δεῖ θεραπεύειν αἵματος ἀφαιρέσει ἐκ τῶν

κροτάφων

Ἄλλο.

Χελιδόνων κεφαλὰς κατακαύσας, καὶ λειοτριβήσας μετὰ μέλιτος χρῶ.

ΠΡΟΣ ΤΟΥΣ ἬΔΗ ΠΕΠΟΙΗΚΟΤΑΣ ΛΕΥΚΩΜΑΤΑ.

Ζύμην κριθίνην ξηρὰν καύσας, καὶ λειοτριβήσας, ἀναλάμβανε χυλῷ μαράθου, καὶ νίτρῳ καὶ μέλιτι, καὶ οὕτως ἔγχριε.

ἌΛΛΟ ΘΕΜΙΣΩΝΟΣ ΕἸΣ τὸ αὐτὸ ἔγχρισμα.

Πεπέρεως λευκοῦ γο β, ἢ μέλανος γο δ, ἀμμωνιακοῦ γο δ, σμύρνης δραχμὰς β, κρόκου δραχμὰς γ, ὀποβαλσάμου τὸ ἀρκοῦν, μίξας καὶ ποιήσας ὑγρὸν ἔγχρισμα, ἐπίθες, καὶ οὐκ ἐάσεις συστῆναι τὸ λεύκωμα. Ἄλλο.

Βοτάνην σιδηρῖτιν ἣν ἔνιοι ἀχάλιον, ἔνιοι δὲ ἀλθαίαν καλοῦσι λαβὼν, καὶ ταύτης τὸν καρπὸν ῥίψας, ἐμφύσα, πρότερον καταλαβὼν τὸν ὀφθαλμὸν, εἶτα πρόσκλυζε ψυχρῷ ὕδατι ὀμβρίῳ.

Ἄλλο.

Ὀθόνιον καθαρὸν καύσας, καὶ ἅλας φρύξας, ὁμοῦ βαλὼν σὺν μέλιτι ἐκλέιου καὶ ὑπόχριε.

ΠΡΟΣ ΛΕΥΚΩΜΑΤΑ.

Κυκλαμίνου χυλὸν, μέλιτι ἀττικῷ συμμίσγων, καλῶς ἐπίχριε.

Ἄλλο.

Στέαρ χήνειον μετὰ ῥοδίνου τρίψας, καὶ σηπίας ὄστρακον μετὰ μέλιτος ἀκαπνίου, ἐπίχριε.

ΚΟΛΛΟΥΡΙΟΝ ΕἸΣ λευκώματα.

Σηπίας ὄστρακον, καὶ μαράθου χυλὸν, καὶ κρόκου σμύρνης καὶ νάρδου συριακοῦ τὸ ἴσον μέλιτι μίξας, καὶ λειοτριβήσας, χρῶ.

ΠΡΟΣ ὙΠΟΧΥΜΑ ΚΟΛλούριον ξηρόν.

Νίτρου γο β κόψας, καὶ προσμίξας πεπέρεως λευκοῦ κόκκους ε, ἢ μέλανος κόκκους ι, καὶ ψυλλάριον ὀλίγον ὁμοῦ συλλεώσας, χρῶ. Ἄλλο.

Μέλιτος καὶ ἐλαίου παλαιοῦ ἴσον ἑκατέρου μίξας, χρῶ.

ἌΛΛΟ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Βαλσάμου, σμύρνης, κρόκου, καδμείας, πηγάνου ἀνὰ γο α΄, ναρδοστάχυος γο β ς΄, πεπέρεως λευκοῦ γο β, μέλιτος ἀττικοῦ γο ἥμισυ, καππάρου ῥίζης γο ἥμισυ, οἴνου παλαιοῦ γράμματα β, ἀλκυονίου γο ε, ἐν ὕδατι ὀμβρίῳ ἢ ποταμίῳ μίξας, καλῶς τε προλειάνας, χρῶ.

ἌΛΛΟ ΕἸΣ ΛΕΥΚΩΜΑ ὀφθαλμοῦ.

Ἀφρόνιτρον μετὰ σμύρνης, καὶ μέλιτος χρηστοτάτου, μάραθόν τε συλλέξας καὶ ξηράνας, κόψας τε σήσας, καὶ μίξας, χρῶ.

Ἄλλο.

Σμύρνης ὁλκὴν, κρόκου γο γ, μέλιτος ὀξύβαφον, τρίψας λεῖα, χρῶ πρὸς τὰ λευκώματα.

Ἄλλο.

Συκίου γο β, χαλβάνης γο β, πεπέρεως λευκοῦ γο ἕξ, λιβάνου ἄρρενος τὸ ἴσον, χαλκοῦ κεκαυμένου γράμμα ἕν, καὶ μέλιτος τὸ ἱκανὸν μίξας, χρῶ.

ΠΡῸΣ ΛΕΥΚΏΜΑΤΑ ἡμιόνων.

Κισσὸν διαμασησάμενος, τῷ δὲ χυλῷ προσφύσησον τὸν ὀφθαλμὸν, καὶ ὑγιανεῖ.

ΕὐΜΉΛΟΥ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Λευκώματα θεραπεύσεις, ἀπὸ τῶν κροτάφων αἷμα λαμβάνων, κρομμύων χυλὸν μετὰ νίτρου μιγνύων καὶ προσάγων.

Ἄλλο.

Κυάμους μέλανας κατακαύσας, καὶ ἐν ἴσῳ μέλιτι μίξας, ὑπόχριε.

ἌΛΛΟ ΛΕΥΚΩΜΑ ΝΕΑΡΌΝ.

Ἔλαιον ῥόδινον μετὰ μέλιτος, καὶ ὠοῦ καὶ ἐρίου ἁπαλοῦ ἐπίθες. πρῶτον δὲ ἐκ τῆς ὑπὸ τῶν ὀφθαλμῶν φλεβὸς αἷμα λάμβανε.

ΒΟΉΘΗΜΑ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Οἴνου ἀμιναίου ξέστας τρεῖς, γάρου αὖθις ξέστην ἕνα, μέλιτος κο τρεῖς, πάντα συνεψήσας, χρῶ.

Ἄλλο

ΚΕΦΑΛ. ἘΝΔΈΚΑΤΟΝ.

Ἐὰν εἰς ὀφθαλμὸν ἐμπέσῃ ῥεῦμα, ἢ γένηται γλαύκωμα, ἢ ἄργιμος, ἢ ἀχλύς, ἢ παράτριψις, ἢ πληγή, ὥστε λευκανθῆναι τὸν ὀφθαλμόν, τούτων διακόπτειν τὴν ἐν τῷ προσώπῳ φλέβα, ὑπὸ τὸ μῆλον λεγομένην, ἥτις κατάγει ἀπὸ τοῦ ὀφθαλμοῦ. ὅσοι δὲ διακόπτουσι τούτων συμβεβηκότων τὴν ἐν τῷ κροτάφῳ φλέβα, κακοῖς περιβάλλουσι τὸν ὀφθαλμόν. γλαυκώματος δὲ γεγονότος, περίεργον καὶ τὸ φλεβοτομεῖν. ἔστι γὰρ ἀθεράπευτον. συμβαίνει δὲ ἐκ τούτου ὃ καλεῖται ὑάλωμα, ὅμοιον ψηφίδι λευκῇ.

Ἄριστον δὲ παρά τισι κρίνεται πρὸς τὴν τῶν ὀφθαλμῶν λεύκωσιν, καὶ τὸ τρυπήσαντας πρῶτον τὸ οὖς, ἐλλέβορον ἐντιθέναι, ἢ τὸ ὑπὸ τὸ μῆλον δέρμα τρυπήσαντες τὸ αὐτὸ ἐντιθέναι. εἴη δ᾽ ἂν ἐλλέβορον, τὸ ἰδιωτικῶς καρπίον καλούμενον.

Ἄριστον δὲ καὶ τοῦτο, καὶ διὰ πείρας φανὲν δόκιμον εἰς λευκώματα ὀφθαλμῶν ἐν ἵπποις καὶ ἡμιόνοις γεγονότα, ἐὰν ἀλεκτορὸς πόδας μὴ ἑψηθέντας, ἀλλ᾽ ἔτι ὠμοὺς ὄντας συνθλάσας τις, ἐξέληται τὸν ἐντὸς μυελόν, καὶ αὐτὸν ῥοδοστάγματι καλῶς λειώσας, ἐπιχρίσῃ πτερῷ δὶς ἢ τρὶς τὸν τοῦ ζώου ὀφθαλμόν. ἰαθήσεται γάρ, οὕτω χρισθὲν τὸ ζῶον.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑὐΤΌ.

Ἐὰν λευκωθῇ ὀφθαλμὸς ἀπὸ πληγῆς ἢ παρατρίψεως, σηπίας χρὴ ὄστρακον ξέσαντα, καὶ τρίψαντα μετὰ σμύρνης, καὶ μέλιτος ὑποχρίειν, ἢ ἅλας ὀρυκτόν, ἢ ἰνδικὸν λεάναντα μετὰ κρόκου καὶ μέλιτος ἑψημένου ὑποχρίειν, ἢ σταφυλίνου ἀγρίου τὸ ἄνθος, καὶ ἀνεμώνης τρίψας, ἐνσταλάζειν δὶς τῆς ἡμέρας. εἰ δὲ ἡλκωμένος εἴη, σμύρναν καὶ σχοίνου ἄνθος τρίψας ὡς λειότατα, καὶ μέλι παραχέας ὑπόχριε. εἰ δὲ λευκώματα γένοιτο, αἷμα ἀφαιρεῖν χρὴ ἀπὸ τῶν κροτάφων, καὶ ἀπὸ τῆς ἐν τῷ προσώπῳ φλεβῶν ὑπὸ τὸ μῆλον μᾶλλον ὡς ἄψευστος δοκιμάζει, καὶ ψυχρῷ ὕδατι ὑπαντλήσαντα ὑπαλείφειν κρομμύου τὴν ἐντεριώνην τρίψαντα μετὰ νίτρου ἀφροῦ, καὶ διανέντα ἐλαίῳ, μάλιστα δὲ ἀγριελαίῳ. εἰ δὲ μή, παλαιοτάτῳ.

ραπεύεται δὲ οὕτως, καταντλῶν ὕδατι θερμῷ συνεχῶς τῆς ἡμέρας τρὶς ἢ τετράκις, κατάχει κιμωλίαν μετὰ ὄξους, καὶ περιπατείτω κατ' ὀλίγον, καὶ ἔσται ὑγιής. πειρῶ δὲ μὴ διαμπερὲς κρούειν τὰς φλέβας, μὴ δὲ ἐξελκοῦν, καὶ οὐ συμβήσεται τοῦτο. ὅσοι δὲ εἰσὶν ἔχοντες κεκρυμμένα τὰ ἀγγεῖα, καὶ οὐκ εὔσημα ἀλλὰ λεπτὰ καὶ ζητούμενα, ἐν τούτοις γίνεται. διὸ δεῖ τοὺς τοιούτους περικάμπτειν.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΡῸΣ ΦΛΈΒΑ ὑπὲρ τὸ μέτρον ἀεὶ φλεβοτόμου αἷμα προχέουσαν.

Ἀφόδευμα αὐτοῦ τοῦ ἵππου ταῖς ῥεούσαις φλεψὶν ἐπίθες. εἰ δὲ ἐπιμένοι τὸ αἷμα φερόμενον, εὐφυῶς ἐρέας μαλλὸν βρέξας εἰς ἔλαιον τῇ φλεβὶ προσένεγκαι, ἢ νῶμον ξύλινον ποιήσας ὧδε τῇ αἱμοῤῥοούσῃ φλεβὶ ἐπιτίθει, καὶ χρῶ ὡς καλλίστῳ καὶ προχείρῳ βοηθήματι.

ΚΑΤΆΠΛΑΣΤΟΣ ΠΡῸΣ ΤᾺΣ ἐκ φλεβοτομίας φλεγμονὰς ἤδη ἀσβέστου.

Ἐὰν δὲ γένηται ἐπιῤῥευματισμὸς καὶ φλεγμονὴ ἐκ φλεβοτομίας τῆς ἐκ βραχίονος, ἁρμόζει ἀσβέστου χαλκίτιδος, μέλιτος, ἀριστολοχείας, καὶ τὸ ἴσον ἐκπλάσσοντας εἰς ὀθόνιον περιδεσμεῖν, ἢ κάνναβιν ἀγρίαν ξηράναντας καὶ κόψαντας, χρῆσθαι σὺν μέλιτι.

ΠΕΛΑΓΩΝΊΟΥ ΠΡῸΣ ΠΑΝΤΟΊΑΝ φλεγμονήν.

Κιμωλίαν κρητικὴν, ἐλαίῳ σπανῷ καὶ ὄξει, καὶ λιβάνου ἐκλεύρου γο̄ δ̄, καὶ βολβοὺς καὶ κοχλίας λελειωμένους προσμίξας, τοῖς φλεγμαίνουσι τόποις πρόσαγε. καὶ ἐὰν χειμὼν ᾖ, χρῶ θερμῷ τῷ βοηθήματι, εἰ δὲ θέρος, ψυχρῷ.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ὈΦΘΑΜΩ͂Ν ΛΕΥΚΏΜΑΤΟΣ.

ἱπποτροφίαν σε προθύμως ἐρχόμενον γινώσκειν βούλομαι, ὅσοι εἰσὶ τῶν ἵππων οἱ ὀρχοτετμημένοι, μὴ δεῖν τούτων αἷμα ἀφαιρεῖν. συμβαίνει γὰρ ἐλάσσονας γίνεσθαι τῇ δυνάμει ἐν τῇ χρήσει, καὶ φλεβοτομουμένοις δὲ ἐν τῇ κεντήσει φλεγμοναὶ ἐπιγίνεται.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΩ͂Σ ΔΕΙ͂ φλεβοτομεῖν, καὶ περὶ χρασισμοῦ.

Ἄριστον εἰδέναι πότε δεῖ τὸν ἵππον αἷμα ἀφαιρεῖν, καὶ ἐν αἷς ὥραις καὶ ὅπως, καὶ ἀπὸ ὅσων φλεβῶν, καὶ διαγινώσκειν τὰς φύσεις καὶ τὰς ἕξεις. οἱ μὲν γάρ εἰσιν εὖ διακείμενοι οἱ δὲ ἰσχνοί, οἱ δὲ νοσεροί, καὶ τὸ αἷμα οὐκ ἔστι τὸ αὐτό, οὐδὲ ὅμοιον τοῖς πάθεσι πᾶσιν, ἀλλὰ διαφέρει τοῖς χρώμασι πρὸς ἕκαστον πάθος. τὸ μὲν γὰρ ἀπὸ τῶν εὖ ἐχόντων ἵππων αἷμα ἐστὶν εὔκρατον, καὶ πολύ, καὶ ξανθόν. ἀφαίρει τοίνυν ἵνα μὴ πάθος ἐπιστῇ. τὸ δὲ τῶν μαλακιζομένων αἷμα, ἐστὶ ποικίλον καὶ ἀφρῶδες. τὸ δὲ τῶν κριθιώντων αἷμα, ἐστὶ μέλαν καὶ ἰχῶδες. δεῖ οὖν πρῶτον ποιῆσαι τὸν ἵππον ἐπὶ ἡμέρας ἓξ χλωροφαγῆσαι, ὥσπερ πεδίον σύρριζον ἐφ᾽ ὅσον ἡ χράσις προσηνὴς τυγχάνει· καὶ λοιπὸν συλλέξει αἷμα νεαρὸν εἰς τὰς φλέβας, καὶ ἔσται εὐρωστότερος. ἀφαίρει δὲ περὶ ἡμέρας ὥρᾳ δευτέρᾳ. ἐπεὶ δὲ διελελύθαμεν τὸν περὶ τούτου λόγον, λοιπὸν ἀρξώμεθα πῶς δεῖ τοῦ ἵππου αἷμα ἀφαιρεῖν. αὐχενίζειν χρὴ τὸν δὲ τόπον περιβάλλειν αὐχενιστῆρι, ἤτοι τὸν τράχηλον, καὶ προσανατείνειν ἕως ἂν προσαναστῶσιν αἱ φλέβες, μὴ μέντοι καθιέναι τὸ φλεβότομον κατὰ βάθος, ἐπεὶ οὐ δυνήσῃ στῆσαι τὸ αἷμα εὐχερῶς, ἐὰν διαμπερὲς τὴν ἀρτηρίαν διέλῃς. κροτάφους δὲ ἐὰν βούλῃ λῦσαι, περίβαλλε αὐχενιστῆρα περὶ τὴν κεφαλὴν πρὸς τὰ ὦτα, μέχρις ἂν διαναστῶσιν αἱ φλέβες, καὶ ὑπότεμνε, ὡς εἴρηται, μὴ κατὰ βάθος.

ἈΨΎΡΤΟΥ ΠΕΡῚ ΦΛΕΓΜΟνῆς ἐκ φλεβοτομίας.

Ἄψυρτος κασσίωνι ἀλεξάνδρῳ χαίρειν. συμβαίνει ἐν τοῖς πλαγίοις μέρεσι λεγομένοις, παρὰ τὰ γόνατα καὶ ἐν τοῖς ὤμοις ἐκ φλεβοτομίας φλεγμονὴν γίνεσθαι, καὶ χωλαίνειν. θε-

ζῷον. παραξηραίνεται γὰρ ἡ σύστασις αὐτοῦ, τῆς θέρμης ἀνακεκρουσμένης, καὶ ἐπισυνδεσμεῖται. δεῖ οὖν τῇ ἐπαύριον, ἢ τῇ ἐχομένῃ τὴν ἀφαίρεσιν ποιεῖσθαι. τότε γὰρ προσεπιτρέχουσιν εἰς τὰς φλέβας οἱ ἰχῶρες ζητοῦντες τὴν ἔξοδον. ἐπιγνώσεται δὲ τοῦτο ὁ ποιούμενος τὴν ἀφαίρεσιν.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂, ὍΤΙ ΟΥ̓ ΔΕΙ͂ ἐπὶ πολὺν χρόνον ἀποκρατεῖν τὸ ποτὸν τῷ φλεβοτομηθέντι.

Μὴ δὲ φλεβοτομήσαντες τι τῶν μώνυχας ὁπλὰς ἐχόντων, τοῦ ποτοῦ ἀποκρατεῖ πλείονα χρόνον. διψήσαντα γὰρ ἐὰν ποτίσῃς, ῥαδίως ῥῆξιν λήψεται. ὅταν δὲ συμβῇ ἐν τοῖς γόνασι καὶ ταῖς κνήμαις χαλάσματα γενέσθαι, καὶ τὰ μετακύνια χθαμαλά, γινώσκειν δεῖ ὅτι ἡ πτέρνη ἀφίσταται ἐν αὐτοῖς καὶ ἔστι χωλός. ὅσοι δὲ τὰ ὑπὸ κάτω τῶν γονάτων, ἃ λέγεται κνῆμαι, παχέα ἔχουσι καὶ σαρκώδη, ῥαδίως οὗτοι ἐν τῇ στάσει τοὺς πόδας ῥήσσουσι, καὶ εἰσὶν οἱ λεγόμενοι ψυλισταί, οὓς δεῖ φλεβοτομεῖν ἐκ τῶν μετακυνίων κατὰ μῆνα.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἾΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐὰν ἵππος ἐξ ὁδοιπορίας ἢ κόπου ᾖ, μὴ φλεβοτομείσθω παραυτίκα. εἰ γὰρ καὶ θυμήρης δοκεῖ φλεβοτομία, ἀλλὰ ἄψυκτος ἀποδοκιμάζει, προσφυσάσθω δὲ ἐλαίῳ καὶ οἴνῳ τὰ σκέλη, καὶ ταῖς χερσὶν ἁπλῶς ἀποτριβέσθω, μὴ ἐσὼς ἐπὶ τόπου σκληροῦ, ἀλλ' ἐν κοπρίοις, ἤ τισιν ὑποβλήμασιν ἁπαλοῖς. ἐὰν ὑπέρτονος ἐκ κόπου γένηται, μὴ χιλοῦν, κριθὰς παραβάλλειν, ὥσπερ ἀψύκτῳ τε θυμήρης δοκεῖ. τρίτη δὲ ἡμέρα δύναται, καὶ φλεβοτομία προσληφθεῖσα, παρασχεῖν ὄνησίν τινα. χρήσιμον δὲ κἀκεῖνο τὸ ἐξ ὁδοῦ καὶ δρόμου κεκοπωμένῳ, ἄλφιτα μίξαντα οἴνῳ εὐώδει, καὶ ποιήσαντα μάζας, ἐντιθέναι διὰ στόματος. ἐὰν δὲ ἕλκηται διὰ τῶν λαγόνων, ἐγχυμάτιζε κρόκου ὁλκὴν τριωβόλου μετὰ ὕδατος κοτύλης.

ὍΤΙ ΤΩ͂Ν ΕΥ̓ΝΟΎΧΩΝ ΟΥ̓ δεῖ αἷμα ἀφαιρεῖν.

Ἄψυρτος Δημητρίῳ πάππῳ ἱππιάτρῳ χαίρειν. ἐπὶ τὴν

ἱπποτρο-

ἔξοδον τοῦ αἵματος, καὶ νοσοποιοῦμεν. ἐὰν δὲ ὦσιν εἰθισμένοι, οὕτως ἀφαιρετέον ὡς εἰρήκαμεν ἐν τῇ πρὸς πούπλιον οὐάρωνα ἐπιστολῇ.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂, ὍΤΙ ΟΥ̓ ΣΥΜφέρει τὰς ἐντὸς τῶν μηρῶν φλέβας τέμνειν.

Ἀσύμφοροι ἐν τῇ φλεβοτομίᾳ αἱ ἐντὸς τῶν μηρῶν φλέβες. ἐξαιματιζόμεναι γάρ, συμπάθειαν παρέχουσι τοῖς βουβῶσι καὶ πόνον. ἐπιγνώσεται δὲ ὁ ποιούμενος τὴν φλεβοτομίαν τῇ ἐπαύριον, καὶ ταῖς ἐχομέναις, σκάζοντα αὐτὸν καὶ ἐπιβαίνοντα μόλις. ἐὰν δέ τις ἀνωτέρω παρὰ τοὺς διδύμους διακόψῃ τὴν λεγομένην ὀφιώδη φλέβα, θάνατον ἐπιφέρει. ὅταν δέ τι συμβῇ ἀῤῥώστημα ἐν τοῖς ὀπισθίοις, καὶ χρήζῃ ἀφαίρεσιν αἵματος. ἀφαιρεῖν δεῖ ὑποκάτω τῶν ἀγκυλῶν παρὰ τοὺς ἀστραγάλους λεγομένους ἐκ τοῦ ἐντὸς μέρους, ἢ τοῦ ἐκτὸς, ἢ τῶν μεσοκυνίων. ἄθετοι δὲ καὶ αἱ ἐν τῇ στεφάνῃ τοῦ ποδὸς κεντήσεις, οὐ μόνον γὰρ ἐπιφέρουσι πῶρον τὸν λεγόμενον μάρμαρον, ἀλλὰ καὶ ἡ ὁπλὴ αἰτιᾶται. γίνεται γὰρ ἐν αὐτῇ φοῖνιξ ἐκ τοῦ νύγματος, καὶ διὰ τοῦτο ἔσθ' ὅτε χωλαίνει.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ ΠΕΡῚ ΤΟΥ͂ ΜῊ δεῖν τοὺς ἀπὸ κόπου φλεβοτομεῖν.

Ἄψυρτος σέξτῳ νουμηνίῳ χαίρειν. γινώσκειν σε θέλω, ὅτι ἐὰν ᾖ ἐξ ὁδοιπορίας ὁ ἵππος, καὶ ὑπόκοπος, μὴ δεῖν αἷμα ἀφαιρεῖν ἐξ αὐτοῦ. οὐ γὰρ τὰς φλέβας κοπιᾷ, ἀλλὰ τὰ νεῦρα. ἐὰν οὖν αὐτὰς νύξῃς, τὰ νεῦρα ἀποξηραίνεται. αἱ γὰρ φλέβες ἔμπυροι οὖσαι, ἁπαλὰ τὰ νεῦρα παρέχουσι. δεῖ οὖν ἀναφυσᾶν οἴνῳ καὶ ἐλαίῳ τοὺς ὤμους καὶ τὰ σκέλη, καὶ χειροτριβεῖν μαλακαῖς ταῖς χερσί, καὶ εἰς τόπον μὴ σκληρὸν ἱστάναι, ἀλλ' ὅπου κόπρια ὑπόκειται, ἢ ἄλλα ὑποβλήματα ἁπαλά. ἐὰν δὲ ὑπέρτονος γένηται ἀπὸ κόπου, μὴ δὲ δεῖπνον κριθάς. τὸ αὐτὸ δὲ καὶ Θεομνήστῳ δεδήλωται. παρῆλθε δὲ αὐτὸν τοῦτο, ὅτι ὁδοιποροῦντος τοῦ ἵππου, χωρίς εἰσιν οἱ ἰχῶρες, καὶ οὐ μεμιγμένοι τῷ αἵματι. παρ' αὐτὰ οὖν ἐὰν φλεβοτομῇς, ὄψει τὴν ῥύσιν μόνου τοῦ αἵματος, καὶ πρὸς τὸ μηδὲν ὠφελῆσαι, ἀδικήσεις τὸ

ζῷον

βαίνειν φλεγμαινομένοις. τούτου δεῖ σχηματίζειν τὰς ἐν τοῖς μεσοχκωιοις ἐναλλὰξ τῶν ἐμπροσθίων καὶ τῶν ὀπισθίων φλέβας.

ΙΕΡΟΚΛΕΟΥΣ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πάντας τοὺς ἀπὸ πλησμονῆς καὶ ὠμότητος πάσχοντας, ἄριστον φλεβοτομεῖν ἐκ τῶν ἀγκώνων καὶ βραχιόνων. θερμὴ γὰρ οὖσα τοῦ ζώου ἡ φύσις, ταχέως ἀπὸ τῆς ὠμότητος τῶν σιτίων πυροῦται, καὶ συμπτῶς διὰ ταῦτα πυρετὸς αὐτῷ ἐπιγίνεται. χρὴ μὲν οὖν γινώσκειν, ὡς τὸ φλεβοτομεῖν τοὺς ὑγιαίνοντας ἵππους, οὔτε ἄψυρτος δοκιμάζει, οὔτε εὔμηλος. εἰ δὲ μὴ τοιούτῳ εἰθισμένος εἴη, βέλτιον ἐκ τῆς ὑπερῴας ἀφαιρεῖν, δι' ἧς ἀκινδυνώτερον τὰ κτήνη διατηρηθήσεται. προσέχειν δὲ χρὴ ταῖς φλεβοτομίαις, μὴ λεπτὰ πάνυ καὶ δυσθεώρητα εἴη τὰ ἀγγεῖα τοῦ ζώου. συμβαίνει γὰρ ἔσθ' ὅτε ἐν τοῖς πλαγίοις μέρεσι λεγομένοις παρὰ τὰ γόνατα, καὶ ἐν τοῖς ὤμοις ἐγγίνεσθαι φλεγμονὴν ἐκ τῆς φλεβοτομίας, καὶ χωλεύειν ποιεῖν. θεραπευθήσεται δὲ οὕτως, καταντλούμενος ὕδατι θερμῷ τρὶς ἢ τετράκις τῆς ἡμέρας, καὶ καταχριόμενος κιμωλίᾳ μετὰ ὄξους, περιπατῶν τε κατ' ὀλίγον, διὸ πειρᾶσθαι προσήκει μὴ διαμπερὲς κρούειν τὰς φλέβας, μὴ δὲ ἐξελκοῦν, καὶ οὐκ ἂν τοῦτο συμβαίη. μάλιστα δὲ προσέχειν χρὴ, ἐπὰν ἀπὸ τραχήλου, ἢ στόματος αἷμα ἀφαιρῆται. αὗται γὰρ αἱ φλέβες εἰσὶν ἐπικινδυνότεραι.

ΑΨΥΡΤΟΥ

ΕΙ ΑΡΙΣΤΗ, Η ΦΛΕΒΟΤΟΜΙΑ ΤΟΙΣ ΙΠΠΟΙΣ.

ΚΕΦΑΛ. ΔΕΚΑΤΟΝ.

Ἄψυρτος ἀχαϊκῷ νικαεῖ χαίρειν. ἐσπουδακότος σου περὶ τὴν ἰατρικὴν, καὶ ζητοῦντος εἰ ἀρίστη ἐστὶ τοῖς ἵπποις ἡ φλεβοτομία, λέγω μὴ εἶναι ἀρίστην. εἴρηται δὲ καὶ τῷ εὐμήλῳ ἱππιατρῷ, μάλιστα δεῖν μὴ ἐθίζειν τοὺς ἵππους αἷμα ἀφαιρεῖν, οὐκέτι δὲ προσέθηκε τὴν αἰτίαν. ἐπαγόμεθα γὰρ τὴν ζέσιν, ποιοῦντος τὴν

ἔξοδον

οἴνου ἰταλικοῦ, τὸ ἥμισυ ἐγχυμάτιζε, καὶ εὐθέως αὐτὸν διακίνησον, καὶ παραχρῆμα ἰαθήσεται. εἰ δὲ ἐν χειμῶνι, ὅτε μὴ εὑρεθῇ φύλλα χλωρά, λαβὼν τοῦ σπέρματος αὐτοῦ, ὅσον αἴρουσιν οἱ τρεῖς δάκτυλοι, τρίψας, ὁμοίως χρῶ μετὰ οἴνου ἰταλικοῦ.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΦΛΕΒΟΤΟΜΙΑΣ.

ΚΕΦΑΛ. ΕΝΝΑΤΟΝ.

Ἀψυρτος Τυρανίῳ Βάρωνι χαίρειν. πυνθανομένῳ τινὲς εἰσὶν ἐν τοῖς ἵπποις φλέβες ἃς δεῖ χαράζειν, δι' ὧν τὰ πάθη ῥαδίως ἐκκομισθήσεται, ἀναγκαῖον ἡγησάμην ἐπιδεῖξαι σοι, δεῖ πρῶτον ἐκ τῆς ὑπερῴας ποιεῖσθαι τὴν ἀφαίρεσιν, δι' ἣν μόνην καὶ πρώτην δυνατὸν ἐν ὑγείᾳ διατηρεῖσθαι τὰ κτήνη. ἐὰν οὖν πλεονεκτούμενος τῷ σώματι, καὶ λίαν ἐπίσωμος ἢ κνήθων ἑαυτόν, ὥστε καὶ παρατρίβειν πρὸς τὰς φάτνας, καὶ τοὺς τοίχους, καὶ τοὺς ὀδόντας ἐπιβάλλων ἑαυτῷ, ἢ σείων τὴν κεφαλήν, ἢ τὰ ὦτα καταβάλλων, ἢ χασμώμενος πυκνά, προβάλλων τε τὰ σκέλη τὰ ἐμπρόσθια ἐναλλάξ, ἢ ὀφθαλμοὺς λιπαρωτέρους ἔχειν δοκῶν, καὶ λήμας φέρων, καθεύδων ἐπὶ τῆς φάτνης πλέον, ἢ αἷμα ἀφοδεύων ἢ καὶ οὐρῶν, τούτου διακόπτειν δεῖ τὴν ἐν τῇ ὑπερῴᾳ ῥίτην, ἥτε γὰρ τὴν φλεβώδη ἀρχήν. αἱ δὲ παρὰ τὸν κυνόδοντα κεντήσεις, δυσαλτοί εἰσιν ἐν τῇ στάσει τοῦ αἵματος. ὁμοίως καὶ τοῦ πυρέσσοντος ἐπιγνώσῃ, τὴν κεφαλὴν κάτω ῥέπουσαν ἐπὶ τὴν γῆν, καὶ τούτου αἷμα ἀφαιρεῖν ἐκ τῶν κροτάφων καὶ τοῦ προσώπου. τῶν δὲ ὀπισθοτονικῶν ὑπό τινων λεγομένων τετανικῶν, οὐ δεῖ αἷμα ἀφαιρεῖν. παροξύνεται γὰρ τὸ νευρῶδες ἐν τῇ ἀφαιρέσει τοῦ αἵματος, οὐ μόνον δὲ τούτου ἅπτεται, ἀλλὰ καὶ τοῦ πάθους ἀσιτίαν παρεχομένου ἀδικεῖται φλεβοτομούμενος. συμβαίνει δὲ τούτῳ ἀπὸ συντονίας δρόμου καὶ πλείονος ἐλασμοῦ, ἀδυνατεῖν μετὰ ἑστάναι, κατακλιθῆναι δὲ μὴ δύνασθαι βουλομένῳ. ἄκροις δὲ τοῖς ποσὶν ἐπι-

ἐν τοῖς βραχίοσι. τὰς δὲ ἐν τῷ αὐχένι, οὐ δεῖ σχάζειν, διὰ τὸ εἶναι
σφαγίτιδας καὶ καρωτίδας, καὶ τὸν νωτιαῖον μυελὸν ἀπὸ τούτων
τρέφεσθαι. ἔνιοι δὲ συνέταξαν μὴ ποτίζειν αὐτὸν, ἀλλὰ κελύ-
ζειν οὕτως, πίτυρα πύρινα, καὶ νίτρου τὸ ὄγδοον μέρος, καὶ ἐλαί-
ου ἡμικοτύλιον μίξαντα, καὶ ὕδωρ ὡς γένηται δύο χοὰς, ἐγ-
χεῖν διὰ τῆς ἕδρας, καὶ ποιεῖν περιπατεῖν. πειρᾶσθαι δὲ καὶ τῇ χει-
ρὶ ἀλειλημμένῃ ἐλαίῳ, τὰ κόπρια ἐκκενοῦν, εἶτα ὑπερμένως
τρέχειν πρὸς ἀνάβασιν ποιεῖν. καὶ γὰρ τοῦτο πρὸς τὴν ἴασιν συν-
τελεῖ αὐτοῖς.

ΕἸΣ ΤῸ ΑΥ̓ΤῸ ΠΆΘΟΣ ΘΕ-
ραπεία καὶ πρόγνωσις.

Κριθιάσεως τάδε σημεῖα, τὰ ὄμματα οὐ καλῶς ἔχει, τὸ
στόμα ἄφθης μεστὸν, ἡ ζέα ἤτοι γραμμὴ μετέωρος, πνεῖ
θερμὸν, αἱ φλέβες αἵματος πλήρεις, ἐπιγίνεται δὲ αὐτῷ καὶ ἀχ-
λύς. σκέπτεσθαι δεῖ οὖν πάντα ταῦτα τὸν τὸν ἵππον πιαίνον-
τα. καὶ ἐὰν βούληται παραστήσαντα, καθ' ἓν ἕκαστον ὁρᾶν τῶν
σημείων, καὶ πρῶτον μὲν ἀφαιρεῖν αὐτοῦ αἷμα ἀπὸ τοῦ οὐρανίσκου,
διαριθμησάμενον τὴν ζέαν τὴν τρίτην, ἢ τὴν τετάρτην ἐκ τοῦ
κατὰ τὰ ἀριστερὰ μέρη ὡσεὶ κοτύλας τρεῖς. ἀφαιρεῖν δὲ καὶ ἀπὸ τῶν
ἐμπροσθίων σκελῶν ἀπὸ τοῦ ἔσω μέρους ἐπάνω τοῦ γόνατος, καὶ
ἐᾶσαι ῥυῆναι ὅσον κοτύλας τρεῖς, καὶ μὴ χορτάζειν ταύτης τῆς
ἡμέρας κριθὰς, μὴ δὲ ἄχυρα, ἀλλὰ πόαν ἁπαλὴν κατατέμ-
νειν, καὶ ἐν ὕδατι τέγγειν. πινέτω δὲ τούτου τοῦ ὕδατος μὴ πλέ-
ον χοῆς, πρὸς τὸ μὴ ῥιγοῦν, καὶ τῇ ὑστεραίᾳ κριθῶν μετεχέτω,
μὴ πλέον δύο χοινίκων. τῆς δὲ πόας πλέον διδόσθω, καὶ τοῦ πο-
τοῦ χοῦν ἐφ' ἑκάτερον. τῇ δὲ τρίτῃ, ἡμιόλια πάντα. ταῖς δὲ λοι-
παῖς ἡμέραις ὅσον εἰώθει. ἐὰν δὲ εἰς τὰ ὀπίσθια τὸ ἀρρώστημα
κλίνῃ, σχάσας ἀπὸ ἀμφοτέρων τῶν σκελῶν ὑπὸ κάτω τοῦ βου-
βῶνος, ἄφελε ὅσον κοτύλας ἕξ. ἡ δὲ θεραπεία αὕτη, καὶ ὑπὸ τῶν
προτέρων γέγραπται.

ἌΛΛΟ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ὑοσκυάμου, εἰ μὲν ἐν θέρει ὅταν ἔχει φύλλα χλωρὰ, λαβὼν
ὡς δέκα ἢ ιε΄ φύλλα, καὶ τρίψας καλῶς, ἴγδην μετὰ
οἴνου

τρέχει πᾶν τὸ σῶμα. συμπάσχει οὖν καὶ οὐ προβαίνει, οὐδὲ τὰ ἄρθρα δύναται κάμπτειν, τά τε οὖρα μετὰ βίας προΐεται, ἱδροῖ τε περὶ τοὺς μηροὺς καὶ τὰς πλευράς, καὶ ἡ τροφὴ ὑπὸ τὸ ἆσθμα διδομένη, ἕλκεται περὶ πνεύματι, ἐπιπεσὼν, οὐ θέλει ἐγείρεσθαι, ἀλλ' ἐσθίει κατακείμενος. θεραπευθήσεται δὲ οὕτως, φλέβα διελὼν ἐπὶ τοῖς ἐμπροσθίοις τῶν μεσοκνημίων ἐκ τοῦ ἐντὸς μέρους, ἢ τοῦ ἐκτὸς, καὶ ἐάσας ἱκανὸν ῥυῆναι, ἀπόσφιγξον δεσμῷ τὰ ἀγγεῖα, καὶ καταντλεῖ αὐτὸν ὀξυκράτῳ, ὕδατος χοὰς δέκα, καὶ ὄξους χοὰς δύο μίξας, σπόγγῳ πρόσφερε πρὸς τὴν ἔκφυσιν τοῦ ὤμου, ἵνα ἡ ῥύσις ἐπὶ τὸν βραχίονα φέρηται. ποίει δὲ περὶ ἐπ' ἀμφοτέρων τῶν ποδῶν. τῇ δὲ ἑξῆς ἡμέρᾳ, ἀπὸ τῶν ὀπισθίων ποδῶν τῶν αὐτῶν τόπων ὁμοίως ἀφελὼν αἷμα, καταντλεῖ ὡς προείρηται, κριθὰς δὲ μὴ πρόσφερε, ἕως ἡμερῶν τεσσάρων. ἐὰν δὲ χόρτος ᾖ χλωρὸς, μάλιστα ἐκείνῳ χρῶ. ἀναγκαζέσθω δὲ περιπατεῖν καθ' ἡμέραν, καὶ τριβέσθω εἰς τὰ κάτω κατὰ τρίχα. δοκεῖ γὰρ διὰ τῶν ποδῶν ἐκχωρεῖν τὸ ἀῤῥώστημα, διὸ καὶ τὰς ὁπλὰς ἀλλάσσειν, ἐν αἷς οἱ βάτραχοι ἁπαλοὶ γίνεσθαι εἰώθασιν, οὓς χρὴ ἀποχαράσσειν κάτωθεν, καὶ περικολάπτειν. ὅταν γε μὴν ὑπὸ τοῦ περιπάτου βελτίων γίγνηται, κυλιέσθω καὶ ῥοιζέσθω. ἐν ἀρχῇ δὲ οὐ συμφέρει ῥοιζέσθαι, ὡς μὴ στεγανωθέντας ἐμφραχθῆναι τοὺς πόρους. ἔνιοι δέ φασι δεῖν, ἐὰν εὐθὺς αἰσθητοῦ τις κεκριθιακότα τὸν ἵππον, ἁλῶν δράκα εἰς ὄξους δριμέως ξέστην βαλόντα, διὰ στόματος ἐγχυματίζειν. ἐὰν μέντοι μετὰ τὴν ὁδοιπορίαν ὁμοιόν τι αὐτῷ συμβῇ, λάβρως τοῦ ποτοῦ ἐφελκυσαμένῳ, δοκεῖ συνδεδέσθαι. τῇ αὐτῇ οὖν δεῖ χρῆσθαι θεραπείᾳ. ὅτε γὰρ ἀλλάσσονται αὐτοῦ αἱ ὁπλαὶ, καὶ θᾶττον ἀποκαθίσταται. γνώσῃ γε μὴν τὸ πάθος περὶ φρίττοντος τοῦ ἵππου, καὶ ἐν τῇ ὑστερῴᾳ τοῦ δέρματος ἠρέμα διιδροῦντος. ἀρέσκει δέ τισιν τὸν κεκριθιάσαντα, καὶ περὶ νίτρῳ ποτίζειν. εἰ δὲ βούλει αὐτὸν θᾶττον τὰς ὁπλὰς ἀλλάσσειν, πόαν τὴν καλουμένην ἡλιοτρόπιον ῥίψας ἐν οἴνῳ, διὰ μυκτήρων ἀμφοτέρων ἐγχυμάτιζε. ἴσθι γε μὴν ὡς περιγενόμενος ἐκ τούτου τοῦ πάθου, οὐκ ἔχει τὴν αὐτὴν δύναμιν εἰς τὴν χρῆσιν τὸν ἐπίλοιπον χρόνον. ἐὰν δὲ πυροὺς πολλοὺς φαγὼν, ἀτόπως διατεθῇ, χρὴ φλέβας χάζειν τὰς ἐν τῷ στήθει παρὰ τοὺς ὤμους, καὶ τὰς

ἐκτὸς, καὶ ἔασον ἀποῤῥυῆναι τὸ ἱκανόν, εἶτα καταλαβόμενος δεσμῷ τὰ ἀγγεῖα, καταύτλει αὐτὰ θερμῷ ὀξυκράτῳ πλήθει τοσούτῳ, ὕδατος ʒ ρ καὶ ὄξους οὐγγίας κ ἀναμίξας, σπόγγῳ πρόσφερε πρὸς τὴν ἔκφυσιν τοῦ ὤμου, ἵνα ἡ ῥύσις γένηται τοῦ βραχίονος ἤ. εἰς ἀμφοτέρους δὲ τοὺς τόπους τοῦτο ποιήσεις, καὶ τῇ ἐχομένῃ ἡμέρᾳ, ἀφαίρει ὡσαύτως ἀπὸ τῶν αὐτῶν τόπων τῶν ὀπισθίων ποδῶν, καὶ καταύτλει ὡς προείρηται, κριθὰς δὲ τούτῳ μὴ προσενέγκῃς, μέχρι ἡμερῶν δεκατεσσάρων, ἐὰν δὲ ᾖ χόρτος χλωρὸς, μάλιστα ἐκείνῳ χρῶ. ἀνάγκαζε δὲ καθ' ἡμέραν περιπατεῖν προάγων ἐπὶ τὸν ἥλιον, συγχρίων ὄξει καὶ ἐλαίῳ, ἵνα ἡ βύρσα εὐένδοτος γένηται. οἶνον δὲ μὴ μίξῃς (ἀναψύχων γὰρ ἐπισυνδεσμεῖ) καὶ ῥῖψιν ποιοῦ κατὰ τρίχα εἰς τὰ κάτω μέρη. δοκεῖ γὰρ διὰ τῶν ποδῶν ἐκπίπτειν τὸ ἀῤῥώστημα, διὸ καὶ τὰς ὁπλὰς ἀλλάσσει, ἐν αἷς οἱ βάτραχοι ἁπαλοὶ γίνονται καὶ αἱμοῤῥοοῦσιν, οὓς δεῖ χαράσσειν κάτωθεν καὶ περικόπτειν. ὅταν δὲ δοκῇ βέλτιον ἔχειν ἐν τῷ περιπάτῳ, ἄγε αὐτὸν ἐπὶ τὸ κλύσμα, καὶ ῥοίζει. ἐν ἀρχῇ δὲ μὴ ῥοίσῃς, ἵνα μὴ πυκνώσῃς τοὺς πόρους. συμβαίνει δὲ καὶ τοῦτο πολλάκις ἐν τῇ ὁδοιπορίᾳ. ἢ καὶ ἐλθόντι ἐπὶ ποτοῦ λάβρως ἐφελκύσασθαι τοῦ πόματος, καὶ ὡσαύτως συνδεσμεῖται. καὶ ἐν τούτῳ δὲ χρήσῃ τῇ αὐτῇ θεραπείᾳ. συντόμως δὲ ὁ τοιοῦτος ἀποκαθίσταται, καὶ τούτου οὐκ ἀλλάσσονται αἱ ὁπλαί. τὸν δὲ κριθιῶντα, καὶ διὰ νίτρου ποτίζειν λέγεται, καὶ σκορπίουρον βοτάνην, τὴν καὶ ἡλιοτρόπιον καλουμένην ῥίψαντας ἐν οἴνῳ, διὰ ἑκατέρων τῶν μυκτήρων ἐγχεῖν. οὕτω γὰρ τὰς ὁπλὰς τάχιον ἀλλάσσεσθαι. περιγενόμενος δὲ ἐκ τοῦ πάθους τούτου, εἰς τὴν χρῆσιν οὐκ ἔχει τὴν αὐτὴν δύναμιν τὸν λοιπὸν χρόνον. εἰ δὲ φλεβοτομουμένου τοῦ ἵππου, τὸ αἷμα βουληθεὶς στῆσαι, στυπτηρίαν καύσας, καὶ ῥίψας κατάδησον, καὶ στήσεται.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ αὐτὸ, καὶ περὶ λαβροποσίας.

Περὶ κριθιάσεως ἐντελέστερον διελθεῖν χρήσιμον, ὅταν ἐξ ὁδοιπορείας ὢν ἢ δρόμου, ἔτι ἀσθμαίνων φάγῃ κριθὰς, ἀπεπτεῖ, καὶ ἡ ὠμότης ὑπὸ τὴν βύρσαν ὑπελθοῦσα, περι-

τρέχει

στέαρ, ἢ ἐγχυματίζειν σὺν τοῖς χυλοῖς ἐπὶ ἑπτὰ ἡμέραις. πινέτω δὲ ὕδωρ γαλακτῶδες χειμῶνος, ἀπὸ ἀλεύρου πυρίνου, θέρους δὲ πτισάνην. οὕτω γὰρ συναφθήσεται ἡ ῥῆξις. εἰ δὲ φθάσει ἐμπυϊκὸς γενέσθαι, σημεῖα αὐτοῦ ταῦτα, ὕδωρ προσίεται πολύ, βόσκεται πλέον παρὰ τὴν συνήθειαν, καὶ βήσσων ἠρέμα, πολλάκις πύον ἀνάγει, ἔσθ' ὅτε δὲ καὶ αὐτὰς τὰς ἐφελκίδας. ἐγχυματίσεις οὖν τὸν τοιοῦτον ἐγχυματισμῷ τοιῷδε, ἀνδράχνη λάχανόν ἐστιν ἄγριον κηπευτικόν, ταύτης τὸν χυλὸν μετὰ ῥοδίνου ἐπὶ ἡμέραις τρισὶν ἢ ἑπτὰ ἐγχυμάτισον, ἐπεμβάλλων τραγάκανθαν ἀποβραχεῖσαν διὰ γλυκέος κρητικοῦ, καὶ γάλακτος αἰγείου. εἰ δὲ μὴ ἦ γάλα, πτισάνης χυλοῦ ἢ βρώμου μάλιστα, ὅταν ὁ ἐμπυϊκὸς ᾖ, ὄζῃ διὰ τῶν μυκτήρων δυσωδέστατα. θεραπεύσεις δὲ αὐτὸν ἐπὶ ἡμέραις ζ, ἐγχυματίζων τούτοις, κώστου γο β, καὶ κασίας γο δ, κόψας καὶ σήσας λεπτῷ κοσκίνῳ, καὶ βαλὼν σταφίδας σὺν οἴνῳ ἐγχυμάτιζε. γυμνασίων δὲ ἀπεχέσθω, ὀλίγοις δὲ μόνον περιπάτοις διὰ ἀγωγέως χρήσθω.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ΚΡΙΘΙΑΣΕΩΣ.

ΚΕΦΑΛ. ΟΓΔΟΟΝ.

Ἄψυρτος Ἀμμωνίῳ Ἀλεξανδρεῖ χαίρειν. ἔγραψάς μοι πυνθανόμενος πόθεν συμβαίνει κριθίασις τοῖς ἵπποις, καὶ τίς ἡ πρὸς αὐτὴν θεραπεία, ὅπερ ἐστὶν εὔγνωστον. ἐκ τοῦ συμβαίνοντος γὰρ ἡ προσωνυμία διείληπται, ὅταν ἐξ ὁδοιπορείας ὢν ἢ δρόμου, ὑπὸ τὸ ἆσθμα λάβῃ τὰς κριθάς, ἄπεπτος γίνεται, καὶ ὑποτρέχει ἡ ὠμότης ὑπὸ τὴν βύρσαν, καὶ ὑποτέταται παρὰ πᾶν τὸ σῶμα, καὶ συσπᾶται καὶ οὐ προβαίνει, οὐδὲ τὰ ἄρθρα κάμπτειν δύναται, καὶ τὰ οὖρα μετὰ βίας προΐεται, ῥίπτει τε ἑαυτόν, καὶ διεγείρεσθαι οὐ θέλει, ἀλλ' ἐσθίει κατακείμενος. θεραπεύεται δὲ οὕτως, αἷμα ἀφαιρεῖ, διακόπτων τὰς ἐν τοῖς μεσοκωνίοις τοῖς ἐμπροσθίοις φλέβας, ἐκ τοῦ ἐντὸς μέρους ἢ τοῦ

ι ἐκτὸς

χει σφόδρα. νεῦρον δὲ ἢ σαρκίνον, ἢ μῦς οὐδὲν αὐτῷ τυγχάνει,
ἀλλ' ἔστι μαλακώτατος. ἡ γὰρ φύσις αὐτὸν τῇ ἀειπαλεῖ καρ-
δίᾳ ὑπεστήριξε τοιοῦτον, ὡς ἂν μήποτε πρὸς ἀντίτυπες πε-
λάσασα καὶ πληγεῖσα, θανάτου παραιτία γένηται τῷ ζώῳ.
ὁ τοιοῦτος οὖν ἐν ὀλίγῃ τάσει ῥῆξιν ὑπομένει. καὶ ὅταν μὲν ἐν ἀρ-
χαῖς ᾖ, τὸ ῥῆγμα ἐν πνεύμονι ἀκολουθήσῃ, τὸ πάθος γίνεται ὃ
χρὴ καὶ θεραπεύειν. ὅταν δὲ λάθῃ, ὑπόπυος γίνεται, καὶ λέγεται
ἐμπυϊκός. χρὴ οὖν ἄλλως μὲν τὸ ῥῆγμα, ἄλλως δὲ τὸ ἐμπυϊκὸν
θεραπεύειν. ἐκθησόμεθα οὖν ἀμφοτέρων καὶ γνωρίσματα καὶ θε-
ραπείας, αἷς ἐχρησάμεθα θεραπεύσαντες. στρατιώτης δέ τις ὢν
ἐστὶ φιλόκαλος, ἴδιον ἵππον ἅπαξ τῆς ἡμέρας ἁλῶν ὑπέρκο-
ρον ἐποίει τοῦτον τὸν τρόπον, κέρας ἔχων κοῖλον, ἁλῶν ἐπλή-
ρου τοῦτο, καὶ ἀνατείνων τὸν ἵππον, καὶ διανοίγων αὐτοῦ τὸ στό-
μα, ἐνέχει τοὺς ἅλας εἰς τὴν φάρυγγα ἀθρόον, καὶ πάλιν ἀνεκρέ-
μα, ἵνα ἐμπίπτωσιν ἅλις. τοῦτο γὰρ ἐρωτηθεὶς, ἀπεκρίνατό μοι,
ὅπερ δρῶν, φθισικὸν ἀπειργάσατο τὸν ἵππον, σφόδρα εὐγενῆ
τε καὶ δόκιμον ὄντα. τὸ γὰρ ἅλας ὂν λεπτυντικὸν, ἀθρόως ἐμ-
βληθὲν διὰ τοῦ κέρατος, ἐπισχήματος γενομένου τοῦ ἵππου παρὰ
τὴν κρέμασιν, κατεῤῥύη τῷ πνεύμονι, καὶ καταστάζοντος
ἰχῶρος δριμύτατος, διέφαγον εἰς βάθος τὸν ὑμένα τοῦ πνεύ-
μονος, καὶ ἕλκος ἐργασάμενοι, φθίσει περιέβαλον τὸ ζῶον, καὶ ἐφ'
ἑκάστης ἡμέρας ἰσχνοῦτο. σημειωσάμενος οὖν καὶ γνοὺς ὅτι πέ-
πονθεν, καὶ ὡς οὐκ ἀλλαχόθεν ἢ ἐκ τοῦ ἁλὸς, κλαίοντι τῷ ὀλοφυ-
ρομένῳ ἔδωκα, ἵππον εὐγενῆ μὲν οὐδαμῶς, ὑγιῆ δέ. καὶ ἔλα-
βον τὸν ἵππον, καὶ θεραπεύσας, ἔσχον πάλιν ἀγωνιστὴν ὡς ἀρέ-
σαι τὲ βασιλεῖ, καὶ ὑπ' αὐτοῦ κατασχεθῆναι. ἐκθήσομαι οὖν καὶ
τὴν ἐπίγνωσιν καὶ τὴν θεραπείαν. ἐπίγνωσις δὲ πνευμόρ-
ῥωγος αὕτη, ἀναπνεῖ μικρὸν, καὶ τὸ μέρος τὸ παρὰ τὴν πλευρὰν,
δείκνυσι τῷ σώματι, στενεῖ κολοβὸν, ἐν τῷ ἀναπνεῖν ἀλγῶν,
βήσσειν φοβεῖται, καὶ οὕτως βήσσει ὡς ὀστοῦν καταπιών. χρὴ οὖν
αὐτὸν ἐᾶν ἐφ' ἡσυχίας, φλεβοτομεῖν δὲ ἐν τῇ παρὰ τὴν κοτύλην
προβολῇ. ἰσχνοῦται γὰρ ἀθρόως ἐν τῇ ῥήξει τοῦ πνεύμονος. δεῖ
οὖν ἐγχυματίζειν ἐπὶ ἡμέραις ἑπτὰ, αἰγείῳ γάλακτι σὺν χυλῷ
πτισάνης, κάλλιον δὲ εἰ βρώμου. εἰ δὲ καιρὸς οὐκ ἔστι γάλακτος,
ἄκρονα χοίρειον πιόταταν καθεψῆσαι, καὶ τράγειον σὺν αὐτῷ

στέαρ

ΠΕΛΑΓΩΝΙΟΥ ΠΡΟΣ ΒΟΥΛΑΣΟΥΣ, ἤτοι περὶ πνευμονίας.

Χοιρίδιον γαλαθηνὸν σφάξον, παρεστῶτος ἐκεῖσε ἑτοίμου τοῦ κακουμένου ζώου, καὶ εὐθέως ζέον τὸ αἷμα, ἔγχει τῇ φάρυγγι αὐτοῦ.

ΑΛΛΟ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀπὸ ζύμης σιτίνης ὅθεν μέλλοι λοιπὸν ἄρτος γίνεσθαι, σφαιρία ποιήσας μετὰ ἑψήματος, τῷ ζώῳ δίδου ἐφ' ἱκαναῖς ἡμέραις, ἕως ἂν ὑγιαίνῃ. ποτίζων δὲ αὐτό, μέμνησο τῷ ὕδατι μιγνύειν ἄλευρον.

ΑΛΛΟ.

Σκόροδα γαλλικὰ καθαρίσας, καὶ ἐν ὅλμῳ κόψας, ἀξουγγίῳ παλαιῷ μῖξον, καὶ ποίησον πασίλους, εἶτα μέλι, καὶ ἕψημα καὶ ὠὰ μίξας, ἐν ταύτῃ τῇ μίξει τοὺς πασίλους βάψας ἐπὶ τρισὶν ἡμέραις δίδου.

ΑΛΛΟ ΗΜΕΡΙΟΥ.

Φάβας ἀληλεσμένου γο ξ̄, βρέξας εἰς ἑψήματος χ̄ γ̄, καὶ πεπέρεως κόκκους λᾱ, ἐν θυΐᾳ καλῶς λειάνας, καὶ προσμίξας στέατος τραγείου λίτραν α΄, καὶ αὖθις συλλειάνας, ἐπὶ τρισὶν ἡμέραις διὰ κέρατος ἐγχυμάτιζε.

ΘΕΟΜΝΙΣΤΟΥ ΕΙΣ ΤΟ αὐτὸ πάθος.

Ἀκολούθως μετὰ τὴν βῆχα, καὶ περὶ πνευμονίας ἔγραψα. μάλιστα γὰρ ἀπὸ τῆς πάσεως ταύτης, ὁ πνεύμων ῥήγνυται. γίνεται δὲ πολλάκις καὶ ἀπὸ δρόμου ῥῆγμα, ἢ πηδήματος, ὅταν ἑρκίον ἢ τάφρον ὑπερβῇ. πολλάκις δὲ τοῦτο συμβαίνει περὶ τοὺς ἐν θήρᾳ διωγμούς. ἔσθ' ὅτε δὲ καὶ πολὺ διψήσας ἵππος, ἢ ἄλλο ὑποζύγιον ἀθρόως σὺν πολλῷ πνεύματι σπασάμενος τοῦ ποτοῦ, ῥήγνυσι τὸν πνεύμονα, δι' αἰτίαν τοιαύτην, ὁ πνεύμων, πάντων τῶν ἐντοσθιδίων λεπτότατον ἔχει τὸν ὑμένα, καὶ πνεύματος οἰκείου πεπλήρωται. πᾶν δὲ τὸ ἐν αὐτῷ ὑγρόν, διὰ τὴν συνεχῆ κίνησιν ἀφρῶδες ὄν, λεπτότατον ὑπάρ

χει σφό-

σειν. τὰ τοιαῦτα οὖν ζῷα τινὲς ὀστέα καταπεπωκέναι νομίζουσι, διότι καὶ τροφὴν καὶ ποτὸν ἀπληστότερον προσίενται, καὶ πνεύματα φέρουσιν. προπότιζε τοίνυν οὕτως, κρόκου, κασίας, νάρδου, σμύρνης, κινναμώμου, σταθμὸν ἴσον λειώσας καὶ μίξας, μετ᾽ οἴνου μέλανος κοτύλης μιᾶς δίδου. εἰ δὲ ταῦτα μὴ εὑρίσκοιτο, ὄροβον ἀληλεσμένον, μίξας οἴνῳ καὶ ὕδατι θερμῷ, τὸ ἀρκοῦν δίδου.

ΠΡΟΠΟΤΙΣΜΑ ΠΡΟΣ ΤΟΥΣ ῥῆξιν τοῦ πνεύμονος ὑπομένοντας, ἢ καὶ ἀπὸ δρόμου εἰς πνεύμονα περιπίπτοντας.

Νάρδοστάχυος, κρόκου, σμύρνης, κόστου, σχοίνου, κασίας, ἠρυγγίου, πεπέρεως λευκοῦ ἀνὰ οὐγγίαν μίαν λαβὼν, καὶ ἀλεύρου ὀροβίνου τὸ ἀρκοῦν, πάντα λειώσας καὶ σήσας, μέλιτι ἀναλάμβανε, καὶ ἐπὶ τῆς χρείας λύσας, διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔγχει. πρὸ δὲ τοῦ τοῦτο ποιῆσαι, ἀψινθίῳ καὶ νίτρῳ καὶ μέλιτι καὶ ὀξυκράτῳ, τὸ σῶμα τοῦ ἵππου ἀπόπλυνε.

ΠΕΡΙ ΠΝΕΥΜΟΝΙΑΣ ΗΤΟΙ ΒΟΥΛΑΣΩΝ

ΚΕΦΑΛ. ΕΒΔΟΜΟΝ.

Ὅτι ἡ ἀρχὴ μὲν ἐστὶν ἡ τοῦ πνεύμονος ῥῆξις, πνευμόρρωξ καλεῖται τὸ πάθος, καὶ ἔστιν εὐίατον. ὅτι δὲ χρονίζον τὸ πάθος, ὑπόπλευρον τὸν πνεύμονα ἐργάζεται, τότε πνευμονία λοιπὸν καλεῖται καὶ βουλασία, καὶ ἔστι λοιπὸν δυσθεράπευτον.

ΠΕΡΙ ΠΝΕΥΜΟΝΙΑΣ ΙΑΣΙΣ.

Λαβὼν θείου οὐγγίας ἕξ, σμύρνης οὐγγίας ἕξ, τρίψας καὶ ἐπιχέας οἴνου ὅσον ἡμικοτύλιον, ἐλαίου ἴσον κύαθον, ἔγχει εἰς τοὺς μυκτῆρας, καὶ τὴν λοιπὴν ἐπιμέλειαν πρόσφερε. ἐὰν δὲ μὴ ὑπὸ τούτων ὑγιάζηται, καύσον αὐτὸν ὑπὸ τὰς μασχάλας ἐπὶ κοιλίαν ὑποβαστάζων τὸν σίδηρον, μὴ καθικέσθαι τοῦ βάθους. ἐὰν δὲ πυὸν ῥέῃ, καὶ τὸ καῦμα θεράπευε πίσσῃ, καὶ κηρῷ, καὶ ἐλαίῳ.

Πελαγω-

ἄγρωστιν ἢ μηδικὴν, καὶ τὸ ποτὸν διαῤῥαίνειν ἀλεύρῳ, ἵνα τὴν δύναμιν τοῦ ζώου διὰ τροφῆς τηρήσῃ.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ' ΠΝΕΥΜΟ'ΡΡΩΓΟΣ.

ΚΕΦΑ'Λ. Ε'ΚΤΟΝ.

Ἄψυρτος Διονυσίῳ κωμεῖ χαίρειν. ἱπποτροφοῦντά σε βούλομαι εἰδέναι ὅτι πνευμόῤῥωξ, ἐὰν γένηται, βραχήλος ἀπισχναίνεται, καὶ στῆθος ὡσαύτως, καὶ πνεῖ βαρὺ, καὶ βήσσει, καὶ ῥέγχει, καὶ ἀποβράσσεται πυώδες παχὺ, καὶ τὰ ἐμπρόσθια σκέλη χωλεύει. θεραπεύεται δὲ βραδὺ, καὶ θεραπευθεὶς, οὐχ ὑπομένει πόνους ἰσχυρούς. θεραπεύειν δὲ δεῖ οὕτως, ὀρόβων ἔρεγμον ποιήσαντα, βρέχειν ἐν ὕδατι νύκτα καὶ ἡμέραν, καὶ πλύνοντα αὐτὸν ψύξαι, καὶ ἄλευρα ποιῆσαι λεπτὰ, καὶ σήσαντα μετὰ οἴνου μέλανος εὐώδους, καὶ ὕδατος θερμοῦ ἴσον ἑκατέρου διδόναι πιεῖν. ἐὰν δὲ μὴ θέλῃ πιεῖν, καταλαμβανόμενον τὴν γλῶσσαν ἐγχυματίζειν, καὶ μὴ περιπατείτω πολλὰ, ἀλλ' ἔσω ἐν στάσει θερμῇ ἐσκεπασμένος. τὸ δὲ τοῦ ἐρέγμου ἀπήθημα, χλιαίνοντα ποτίζειν, καὶ εἰς τὸ λοιπὸν δὲ ποτὸν θερμὸν ὂν, μιγνύειν νίτρον. ἁρμόζει δὲ τούτῳ καὶ ὠμὴ λύσις, κριθίνων λεπτῶν ἀλεύρων καταῤῥαινομένη διὰ νίτρου καὶ διδομένη φαγεῖν. τῇ αὐτῇ δὲ θεραπείᾳ, καὶ ὁ τὴν ἀρτηρίαν ἐσπασμένος θεραπεύεται, καὶ ἔστι πολυχρονιώτερος. τούτους ἀναφυσᾷν δεῖ τῷ ἐλαίῳ καὶ οἴνῳ ἀμφοτέρους, καὶ τὴν ῥῖψιν ποιεῖσθαι πᾶσαν τὴν τρίχα. ὠφέλιμον δὲ τοῖς πνευμοῤῥώγοις ἐγχυματίζειν, καὶ ὄξος δριμὺ χλιαίνοντα, ἢ οὖρον ἀνθρώπινον μετὰ στέατος ὑείου τετηκότος, ὁλκῶν εἴκοσιν ἐκτὸς γυναικείου, ὅταν ἐν τοῖς τὴν φύσιν ᾖ.

ΕΥ'ΜΗ'ΛΟΥ ΕΙ'Σ ΤΟ' ΑΥ'ΤΟ'.

Ἐνίων συμβαίνει τοὺς πνευμόνας ῥήγνυσθαι, ἢ ἀπὸ τοῦ πάνυ πολὺ δραμεῖν ἀναγκασθέντων, ἢ ὑπὸ τοῦ συνεχῶς βήσ-

τρώγοντος λάμβανε, καὶ μίξας αὐτὸ, θέρους μετὰ ὄξους καὶ ἐλαίου, χειμῶνος δὲ οἴνῳ, τούτῳ τὸ σῶμα ὅλον ἀπόχριε. περὶ αὐτῷ δὲ καὶ προπότισμα δίδου, ναρδοστάχυος, κρόκου, σμύρνης, σχοίνου, κασσίας, ἠρύγγου, πεπέρεως λευκοῦ ἀνὰ γο̄ α΄ μίξας, εἶθ' οὕτως ὀρόβων τὸ ἴσον προσβαλὼν ἀληλεσμένων, καὶ πάντα ἐν ταυτῷ λειώσας καὶ σήσας μέλιτι, ἀναλάμβανε καὶ φύλαττε, καὶ ἐκ τούτου ἐν τῇ χρείᾳ ὀβολοῦ μέγεθος ὕδατι λειώσας, ἔγχει διὰ τοῦ ἀριστεροῦ μυκτῆρος. πρὸ δὲ τοῦ λοῦσαι τὸν ἐγχυματισμὸν ἀψινθίῳ καὶ νίτρῳ, καὶ μέλιτι καὶ ὀξυκράτῳ τὸ σῶμα ἀπότριβε. ἐὰν δὲ μὴ ὠφεληθῇ, καὶ καυτῆρα τούτῳ πρόσαγε, μέχρις οὗ πυοφορήσῃ.

ΚΑΣΊΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐὰν ἵππος πνεύμονα ἀλγῇ, ἀφίησι πνεύμονα διὰ τοῦ στόματος καὶ τῶν μυκτήρων, καὶ τὰς πλευρὰς περὶ πνεύματι διΐστησι, δεινότερόν τε βλέπει, καὶ τὰ σιτία καταλείπει διαμασώμενος ἐν φάτνῃ, καὶ δυσῶδες ὄζει. ἐγχυματίζεται δὲ συνθέματι τοιῷδε, δαφνίδων ξηρῶν καὶ τερεβινθίνης ὅσον δύο κυάμους, καὶ μέλιτος τὸ ἀρκοῦν ἐν ὄξει λειώσας, ἔγχει διὰ μυκτῆρος. ἀνήσει γὰρ ὕφαιμον μετὰ ταῦτα καὶ πυῶδες, καὶ μετὰ ταῦτα βαλὼν στυπτηρίας γο̄ α΄, καὶ νίτρου τὸ ἴσον, καὶ ὑδρομέλιτος ἐγχυμάτιζε, εἶθ' οὕτως μόνῳ ὑδρομέλιτι, καὶ παράβαλλε χόρτον καλόν.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἵππος περὶ πνεύμονι συνεχόμενος, ὑγρὰ ῥεῖ διὰ τῶν ῥινῶν καὶ διὰ τοῦ στόματος βαρὺ πνεῖ, καὶ τὰς λαγόνας ἀνεσταλμένας ἔχει. ἐγχυματίζεται δὲ οὕτως, ἀκροδρύων τὰ στυπτικώτατα καθεψήσας ἐν οἴνου κοτύλῃ μιᾷ, καὶ ἐλαίου ὡσαύτως, δίδου διὰ τοῦ στόματος, καὶ τροφὴν δὲ χλωρὰν λείαν, καὶ τῇ κριθῇ παράμισγε ὀρόβους, ἢ ἐγκέφαλον χοίρειον καθεψήσας ἐν οἴνου κοτύλῃ μιᾷ, καὶ ἐλαίου κοτύλης τὸ ἥμισυ συμμίξας, ἐγχυμάτιζε τὸ ἀρκοῦν, καὶ τῇ ἀρωματικῇ δὲ ὡσαύτως, ἢ ἀλεκτρυόνα ἑψήσας, μέχρις ἂν διαλυθῇ, καὶ συμμίξας γλυκέος οἴνου ξέστην ἕνα, ἐγχυμάτιζε. ποιεῖ δὲ καὶ αἵματος ἀφαίρεσιν κατὰ δύναμιν τοῦ ζώου. δίδου δὲ καὶ

ἄγρωστιν

πότισον τούτῳ τῷ βοηθήματι, ἄρκτου στέατος γο δ´, κενταυρίου βουνιάδος τῆς οὕτω καλουμένης βοτάνης γο α´, ἑρπύλλου γο ἕξ, ὑσσώπου γο γ´, χαμαίδρυος, ἀμαράνθου, ἀρτεμισίας γο α´, τριφυλλίου ὀξέος γο α´, πηγάνου ἀγρίου ῥίζης γο ἕξ, τοῦ ὀρθῆς περιστερᾶς γο γ´, βετονικῆς γο γ´. πάντα ταῦτα οἰνομέλιτι ἑψήσας, διὰ στόματος δίδου, προσθεὶς τούτοις καὶ ἑρπύλλου γο ς´, ὑσσώπου γο γ´, χαμαίδρυος γο α´.

ΙΕΡΟΚΛΕΟΥΣ ΠΕΡῚ ΠΝΕΎΜΟΝΟΣ

ΚΕΦΆΛ. ΠΈΜΠΤΟΝ.

Ἄν ποτε πνεύμονα ἵππος ἀλγήσῃ, τὸ μὲν πάθος πολυχρόνιον, καὶ ἐν τῷ ἔαρι μάλιστα ἀθρυνεῖ. σημεῖα δέ, συμπίπτει τὸ σῶμα, καὶ βήττει ὡς δοκεῖν ὀστάριον καταπεπωκέναι, μύξας τε ἀνάγει καὶ ῥέγχει, καὶ πολὺ πίνει, καὶ τὴν τροφὴν πλείονα ἐπιζητεῖ. θεραπεία οὖν τούτου, κρόκου, σμύρνης, κασίας, κινναμώμου. ταῦτα πάντα τρίψας καὶ λειώσας ἅμα μέλιτι, καὶ οἶνον ἐπιβαλὼν ἐγχυμάτιζε. ἀναγκαῖον δὲ προλαμβάνειν αὐτὸν τῇ θεραπείᾳ. ἐὰν γὰρ φθάσῃ πληρωθῆναι ὁ πνεύμων πύου, τελευτᾷ.

ΤΙΒΕΡΊΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Λαβὼν μέλι καὶ πέπερι, καὶ στρόβιλον ἔχοντα τὴν ῥητίνην, καὶ οἶνον κατάζεσον, καὶ οὕτως ἐγχυμάτισον διὰ τοῦ στόματος ἡμέρας τρεῖς. τροφαῖς δὲ χρῶ μάλιστα χόρτῳ πλείονι, καὶ κοιλίστραις, τὰ σημεῖα καταμανθάνων. συμβαίνει γὰρ καὶ μεταβολὰς ποιεῖν εἰς ἕτερον νόσημα.

ΕΥ̓ΜΉΛΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤῸ

Τῶν πνευμονικῶν σημεῖα τάδε, τὰ σκέλη καὶ αἱ φλέβες οἰδαίνουσιν, οἵ τε ὄρχεις πυκνότερον ἅλλονται. ἐπιγίνεται δὲ καὶ πυρετὸς τῷ σώματι, ὃς τῆς χειρὸς πλησίον τῆς μασχάλης προσαχθείσης εὑρίσκεται. τούτου τοίνυν αἷμα ἀπὸ τοῦ

ἌΛΛΟ.

Σταφυλίνου γο ε', ἀγαρικοῦ γο ι', καστάμου γο γ', νάρδου γο γ', βοτάνης χαμαιπίτυος γο γ', βεττονικῆς γο ἕξ, ἴρεως ἰλλυρικῆς γο α', θρίου φύλλων γο γ', πεπέρεως λευκοῦ γο α', ἀβροτόνου γο ι', πρασίου γο ς', σανδανίκου γο γ'. ταῦτα πάντα λεάνας καλῶς, καὶ διυλίσας ἐν οἴνῳ, ἐν προποτισμῷ δίδου.

ἝΤΕΡΟΝ ΕἸΣ ΤῸ ΑΥ̓ΤῸ

αἰμιλίου ἱσπανοῦ.

Ἐκ τῶν ποδῶν ἀφαίμαξον τὸ ζῶον, εἶτα σμύρνης τρωγλήτιδος γο δ', κρόκου γο ἕξ, κενταυρείου γράμματα δ', νάρδου στάχυος ἰνδικῆς γο α', πεπέρεως λευκοῦ γο γ', σελινοσπέρμου κοχλιάρια ε', μήκωνος γο α', προπόλεως γο α', μέλιτος ξέστην ἕνα, καὶ νίτρου τὸ ἀρκοῦν συμμίξας, καὶ ποιήσας ὡς μέγεθος λεπτοκαρύου, καὶ λύσας ἐν ὕδατι χλιαρῷ ἑνὸς ξέστου, δίδου τῷ κάμνοντι ζώῳ.

ἌΛΛΟ ΛΙΤΟΡΊΟΥ ΒΕΝΕΒΕΝΤΆΝΟΥ.

Χρὴ τοῦ λοιμῷ κάμνοντος ἵππου, πρότερον ἐκ τοῦ στήθους αἷμα ἀφαιρεῖν, ἔπειτα ἐκ τῶν σκελῶν. εἰ δὲ ἀνάγκη ἐπείγοι, καὶ ἐκ τῶν κροτάφων. καλὸν δὲ καὶ ποικίλην τροφὴν αὐτῷ διδόναι, τουτέστιν ἄλευρον κριθῆς καὶ πυροῦ, οὐ μὴν ἀλλὰ καὶ πίτυρα. χόρτου δὲ ὀλίγον, καὶ ποιεῖν πρὸς ἐπὶ τούτοις ποτὲ καὶ διὰ τῶν ῥινῶν ἐγχεῖν, κενταύρειον καὶ ἀψίνθιον ἐξ ἴσου σταθμοῦ σὺν οἴνου τὸ ἀρκοῦν τι ἑψήσαντα.

ἌΛΛΟ.

Ἐὰν τοὺς ἐμπροσθίους ἄρξηται χωλαίνειν, αἷμα ἀφαίρει ἀπὸ τῶν ἐμπροσθίων βραχιόνων. ἐὰν δὲ τοὺς ὀπισθίους, ἀπὸ τῶν μηρῶν. ἐὰν δὲ ἕλκῃ τὰς λαγόνας, καὶ τοὺς μυκτῆρας ἀνεῳγότας ἔχῃ, ἀπ' ἀμφοτέρων τῶν κροτάφων, εἶτα κωνάειον ἑπταήμερον ἑψήσας καλῶς, καὶ μίξας οὖρον παιδὸς ἀφθόρου, καὶ οἴνου πλῆθος κοτύλην μίαν ἐγχυμάτιζε.

ἌΛΛΟ.

Ζῶον ὅταν ἄρξηται χωλαίνειν τοῖς ἔμπροσθεν ποσίν, πρῶτον τὸ σῶμα αὐτοῦ οἰνελαίῳ χρίσον καθόλου, ἔπειτα πρό-

πότισον

σαύτῃ ἐπὶ τρισὶν ἡμέραις. ἵνα δὲ πρὸ μιᾶς ἐμβραχῇ τὸ ἄλευρον, καὶ τῇ ἄλλῃ λειανθῇ ἅμα τῷ οἴνῳ. μίγνυε δὲ αὐτῷ καὶ ὀλίγου μέλιτος καὶ βουτύρου ἴσου, ἅτινα μετὰ χλιαροῦ οἴνου μεμιγμένα διδόναι.

Ἀγριοσυκίου ῥίζας κατακόψας ὡς χ γ̄, καὶ ἐμβρέξας εἰς ὕδατος ὡς χ δ̄ πρὸ μιᾶς, καὶ ταράξας διηθήσον, ἔπειτα μίξας νίτρου ἀλεξανδρίνου γο̄ δεκαὲξ καλῶς λειανθέντος, δίδου ἐπὶ ἡμέραις ἑπτά. εἰ δὲ ἐλλείπει τὸ βοήθημα, ὕδωρ ἐπίβαλλε, καὶ διὰ κέρατος ἔγχει τῷ στόματι.

ἌΛΛΟ ΠΡΌΣ ΛΟΙΜῸΝ

ἀρθριτικόν.

Ἐκ πάντων τῶν ἄρθρων ἀφαιμάξας τὸ ζῶον, ὑγροπίσσῃ αὐτὰ περιάλειφε, καὶ συνεχέστερον ἀναπατεῖν παρασκεύαζε, τῆς τροφῆς δηλαδὴ ἀναφερομένης, κριθῶν μέντοι ἀληλεσμένων καὶ σηθεισῶν, δίδου χ δ̄ μετὰ ἀγριοσυκίου. καὶ τοῦτο γὰρ ἱκανῶς συμβάλλεται.

ἌΛΛΟ.

Ἀφαιμάξας τὸ ζῶον, καὶ κριθὰς ἐν ὕδατι, ἢ οὔρῳ βρέξας, ὄξος τε μετὰ κόπρου βοός, καὶ κυμίνου καὶ σινοπίδος μίξας, ἐπιτίθει τοῖς ἄρθροις.

ἌΛΛΟ.

Σπέρμα κολοκύντης ἀλεξανδρίνης φρύξας, καὶ κόψας ὅσον ὀξύβαφον, σῆσον καὶ μῖξον ἐν οἴνῳ εὐώδει λευκῷ, καὶ διηθήσας κέρατι ἐμβαλὼν, ἔγχει διὰ τῶν ῥινῶν ἐπὶ ἡμέρας πέντε.

ἌΛΛΟ.

Τοὺς λοιμοὺς χρὴ βοηθήμασι προφθάνειν, ὅθεν πανακείας καὶ ἀφθάσου ῥίζας, οὐ μὴν ἀλλὰ καὶ μαράθρου σπέρμα, συμμίξας ἀλεύρῳ σιτίνῳ ζεστῷ, ὕδατι ζύμωσον πρὸς τούτοις, κασσίας, σμύρνης, λιβάνου τὴν αὐτὴν ποσότητα αἵματι χελώνης θαλασσίας συμμίξας, καὶ οἴνου παλαιοῦ χ γ̄ διὰ ῥινῶν δίδου. τούτου δὲ τοῦ βοηθήματος τὰς δύο γο̄ εἰς τρία ποιήσας, προσένεγκαι ἐπὶ ἡμέραις τρισίν.

ἔστι δὲ καὶ τὸ βοήθημα τοῦτο, πάνυ χρήσιμον, ἀγριοσυκίου τὰς ῥίζας λεάνας καὶ σήσας, καὶ νίτρου οὐγγίας ἕξ, καὶ αὐτοῦ καλῶς τετριμμένου, μίξας ἐν οἴνου χ̄ ε̄, ἐγχυμάτιζε τὸ ζῶον διὰ αὐτοῦ ἐπὶ ἡμέραις πέντε. καὶ περιεκτὸς δὲ τούτου, ἐκ τοῦ τετριμμένου ἀγριοσυκίου, ἐπίρραινε τὸ ὕδωρ ὅθεν μέλλει πίνειν τὸ λοιμῶττον ζῶον.

ἌΛΛΟ.

Σαβίνης βοτάνης, ἤτοι βράθυος λίτραν μίαν, χαμαιδρύος γο̄ ϛ̄, κενταυρείου γο̄ β̄, ἀριστολοχείας γο̄ γ̄, ὁμοῦ κατακόψας καὶ σήσας, ὅταν χρεία γένηται ἐν κοχλιάριον μεστὸν εἰς οἴνου χ̄ μίξας, ἐγχυμάτιζε τὸ ζῶον.

ἌΛΛΟ ΠΙΣΤΗΡΊΟΥ ΣΙΚΕΛΟΥ͂.

Ῥίζας χαμαιάκτης, καὶ ῥίζας κνίδης διὰ ἴσου κόψας καὶ σήσας, εἰς γάρου ποσότητα τριῶν ὠῶν ἔγχει, καὶ τοῦτο διηθήσας ἐν ὀθόνῃ, ἐγχυμάτιζε διὰ τῶν ῥινῶν τοῦ ζώου, ὡσεὶ μέτρον ἑνὸς ὠοῦ ἐπὶ τρισὶν ἡμέραις.

ἌΛΛΟ ΞΗΡΊΟΝ ΠΕΛΑΓΩνίου πρὸς λοιμόν.

Πελαργοῦ νεοσσὸν μὴ δὲ πω πτῆναι δυνάμενον, ἔχοντα δὲ πτίλα, ζῶντα ἔμβαλε εἰς χύτραν ὀστρακίνην, καὶ ταύτην γύψῳ περιχρίσας, βάλλε εἰς φοῦρνον, καὶ μετὰ τὸ ὀπτηθῆναι καλῶς, ἐν ὅλμῳ κόψας, ξηρίον ποίει, καὶ ἀπόθου εἰς βικίον ὑέλινον, καὶ ὅτε χρεία γένηται, κοχλιάριον πεπληρωμένον μετὰ οἴνου τῇ φάρυγγι ἐπίχεε, ἕως ἂν ὑγιάνῃ. ὑγιεινὸν γὰρ τοῦτο ξηρίον ἐστίν.

ἌΛΛΟ.

Γάρου πρωτείου ποτήριον μεστὸν ἔγχει εἰς τὰς ῥῖνας τοῦ ἵππου, ἵνα εἰς ὕπνον ἔλθῃ, καὶ ἐν ψυχροτέρῳ τόπῳ τοῦτον στῆναι παρασκεύαζε, ἔπειτα κοριάνου καὶ ἀγριοσυκίου φύλλα καὶ ῥίζας κόψας, μετὰ ἀρκοῦντος μέλιτος καὶ οἴνου δίδου, καὶ μετὰ τοῦτο χυλὸν πράσων ὅσον ὀξύβαφον ἔγχει εἰς τὴν αὐτοῦ φάρυγγα, ἢ ἐρέγμον ὀρόβου ἐν οἴνῳ μεμιγμένον, ἐπὶ τρισὶν ἡμέραις δίδου, ἢ κυάμων καλῶς ἀληλεσμένων, ἄλευρον μετὰ οἴνου ὡσαύτως

καὶ ἐλαίου γο̄ ἐξ δίδου, ἢ διὰ κέρατος, ἢ ὡς βούλει. τούτῳ δὲ τῷ βοηθήματι κέχρησο καθ᾽ ἡμέραν ἄχρι τελείας ὑγιείας. στρώμασι δὲ σκέπε διαπαντὸς, ὥστε εἰ δυνατὸν ἱδροῦν τὸ ζῶον, ἐπειδὴ τῇ θέρμῃ πέφυκε τὸ τοιοῦτο διαλύεσθαι πάθος.

ΜΑΛΑΓΜΑ ΠΡΟΣ τὸ αὐτὸ πάθος.

Συκίου ξηροῦ λίτρας δ΄, κικίδος καὶ πρισίνης λίτρας τέσσαρας, ῥητίνης φρυκτῆς, λίτραν α΄, ἀψινθίου κεκομμένου λίτραν α΄, τὰ ξηρὰ κόψας καὶ σήσας καὶ τοῖς τηκτοῖς μίξας, χρῶ. προπότισμα δὲ τὰ περὶ αὐτῷ πάθει πρόσφορα, καθ᾽ ἑκάστην δίδου, ἢ τὸ διὰ πέντε ξηρίον, ἢ ἄλλα πόματα ἅπερ εἰσὶ τῇ προειρημένῃ νόσῳ ἀναγκαῖα.

ΠΕΛΑΓΩΝΙΟΥ ΠΡΟΣ ΛΟΙΜΟΝ. ΚΕΦΑΛ. ΤΕΤΑΡΤΟΝ.

Τὰς θεραπείας καὶ τοὺς τόπους, δι᾽ ὧν οἱ λοιμοὶ ἀποσβέννυνται χρὴ μαθεῖν. ἐμπίπτουσι γὰρ πολλάκις καὶ ἵπποι εἰς λοιμὸν, ἢ διὰ ἀβονίας, ἢ ἐκ καύσωνος, οὐ μόνον ἀλλὰ καὶ ἐκ ψύχους καὶ λιμοῦ. ἔσθ᾽ ὅτε δὲ καὶ ἂν εἰς δρόμον ἐπαχθῶσι μετὰ πολλὴν ἄνεσιν, ἢ ὅταν ἐν ἐπιτηδείῳ καιρῷ μὴ οὐρήσωσιν, ἢ ἀπὸ ἱδρῶτος καὶ πολλῆς κινήσεως πίωσιν, οἷς θεραπείας τετυπωμένας παρὰ τῶν προηγουμένων ἡμῶν καὶ συμβαλλομένας, ἐπιγινώσκομεν. καὶ ἡμεῖς δὲ αὐτοὶ τῇ πείρᾳ μεμαθήκαμεν, ἡ λεγομένη διὰ πέντε ἀντίδοτος. συνίσταται ἀπὸ γεντιανῆς, ἀριστολοχείας, κόκκων δάφνης, σμύρνης, πρίσματος ἐλεφαντίνου. ταῦτα ἐξ ἴσου σταθμοῦ κατακοπέντα καὶ σηθέντα, ἑνοῦται, διὰ ὧν γινόμενον ξηρίον, ἀποτίθεται. ὅταν οὖν τὸ ζῶον ἐμπέσῃ περὶ ῥηθέντι νοσήματι, ἐκ τούτου κοχλιάριον ἓν λαβὼν μεστὸν, καὶ ταράξας εἰς οἶνον, εἰς τὴν φάρυγγα τοῦ ἵππου καθ᾽ ἑκάστην ἐπίχεε, ἕως ἂν ὑγιὴς γένηται.

ἔστι δὲ

τερα, καὶ καμφθῆναι μὴ δυνάμενα, τράχηλον τεταμένον, καὶ
βλέμμα ἀσταχοῦν, τότε γίνωσκε τῷ προλεχθέντι πάθει αὐτὸν
κατέχεσθαι. ἡ τοίνυν θεραπεία αὐτοῦ αὕτη, ἐν οἴκῳ θερμῷ ἱστά-
σθω, καὶ αἱ τοῦ τραχήλου αὐτοῦ φλέβες λυέσθωσαν, καὶ μετὰ τρί-
την ἡμέραν ἀπὸ τῶν ὤμων αὐτοῦ αἷμα ἀφαιρείσθω. εἰ δὲ χρεία
καλεσοι, καὶ ἀπὸ τῶν μηρῶν μεθ' ἡμέρας πέντε, ὥστε ἀπὸ παντὸς
τοῦ σώματος τῶν φλεβῶν λυομένων, πάντα τὸν τοῦ πάθους ἰὸν
σὺν τῷ αἵματι διαφορηθῆναι. τοῦ γὰρ τοῦ αἵματος ῥύσεως γενο-
μένης, οὐ ταχέως διαφονεῖ, τότε λοιπὸν τὴν συνήθη τροφὴν πρό-
σαγε, καὶ εἰ κριθὰς φαγεῖν μὴ βούλοιτο, ἄλφιτα δίδου μετὰ κυά-
μων ἀληλεσμένων. ποτὸν δὲ ὕδωρ χλιαρόν, καὶ μετὰ ταῦτα βα-
λὼν οἶνον, ἔλαιον, νίτρον, ἄσφαλτον, πηγάνου σπέρμα, καὶ δαφ-
νίδας, καὶ ἑψήσας, ὅλον ἀναξίχα τὸ σῶμα ἀπότριβε τῷ ἑψήμα-
τι, μέχρις ἂν ἀποκάμῃς, εἶτα δέρμασιν ἐρέαν ἔχουσι, καὶ βεβρεγ-
μένοις ἐν τῷ αὐτῷ ἑψήματι, τὰ περὶ τοὺς νεφροὺς ἐπιδέσμει.

ΠΕΛΑΓΩΝΙΟΥ ΧΡΙΣΜΑ

εἰς τὸ αὐτὸ πάθος.

Οἴνου χ γ', ἐλαίου ἡμίναν, σίτου, κριθῶν, ὀρόβων, ἐρεβίν-
θων, φασιόλων, λατυρείδων, ἀνὰ ξε ἑνός, πάντα εἰς
ἓν καθέψησον, καὶ αὐτὰ λόμενος τὰ προειρημένα, καὶ μόνον τὸ ἕψη-
μα τρίψας, ὅλον ἀπόσμηχε τὸν ἵππον, καὶ προποτίσματι κέχρη-
σο τῷ ὑποκειμένῳ.

ΠΡΟΠΟΤΙΣΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οἴνου παλαιοῦ ἡμίναν, λιβάνου γο β, κόστου γο β στέατος αἰ-
γείου γο α. ταῦτα εἰς ἓν λεάνας, ἐπίβαλλε ὑδρομέλιτος
ἡμίναν, καὶ προπότιζε ἐπὶ ἡμέραις τρισί. τῇ δὲ τετάρτῃ, οἴνῳ καὶ
ἐλαίῳ προστιθείς, καὶ λασάρου γο α, ὁμοίως ἐφ' ἑτέραις τρισὶν
ἡμέραις πότιζε.

ΑΛΛΟ.

Νίτρου γο α, κασορείου γο β, δαφνίδων γο β, ῥέου πον-
τικοῦ γο β, πηγάνου γο δύο ἥμισυ. ταῦτα κατ' ἰδίαν
κόψας καὶ σήσας, καὶ μετὰ ταῦτα μίξας, ἐπιβαλὼν τε οἴνου χ α,
καὶ ἐλαίου

ἹΠΠΟΚΡΑΤΟΥΣ ΣΥΝΘΕΣΙΣ ΤΡΟΧΙΣΚΟΥ πρὸς πᾶσαν μάλιν, καὶ πᾶν ἀῤῥώστημα.

Δαφνίδων γο β´, ἀφρονίτρου γο ε´, θείου ἀπύρου γο ε´, σμύρνης γο γ´, κροκομάγματος γο ιξ´, ἴρεως ἰλλυρικῆς γο ϛ´, σελίνου σπέρματος καὶ ἀριστολοχείας τὸ ἴσον. ταῦτα ἐμβαλὼν εἰς θυίαν, καὶ τρίψας ἕως ἂν λεῖα γένηται, μίσγε καὶ οἴνου καὶ ποιήσας τροχίσκους ἔχε, καὶ ἐν τῇ χρείᾳ μετὰ οἴνου λευκοῦ ἐγχυμάτιζε.

ΑΨΥΡΤΟΥ

ΠΕΡΙ ἘΛΕΦΑΝΤΙΩΝΤΟΣ.

ΚΕΦΑΛ. ΤΡΙΤΟΝ.

Ὅταν δὲ γένηται ἐπάρματα ἔχων ἐν τῷ τραχήλῳ, καὶ φλέβας διατεταμένας καὶ κυρτὰς ἐν τῇ κεφαλῇ καὶ τῷ προσώπῳ, καὶ ἐπηρμένας ὁμοίως ῥῖνας διεσταλμένας, καὶ τὸ φερόμενον ἐξ αὐτοῦ τε καὶ τοῦ στόματος, ἐστὶν ἀφρῶδες καὶ αἱματῶδες. ἕλκεται δὲ καὶ ἐκ τῶν λαγόνων καὶ ἀναφυσᾷ διὰ τῶν μυκτήρων, καὶ προθυμούμενος τρώγειν οὐ δύναται, οὐ δὲ πίνειν, ἀλλὰ κἂν μικρὸν λαμβάνῃ, ῥῆξιν τε τοῦ σώματος πανταχοῦ ποιεῖται, ὥστε ἑλκοῦσθαι μάλιστα τὰ ἄκρα, ῥῖνας, χείλη, ὦτα, καὶ ἀποπίπτειν κάτω αὐτομάτως, ἥ τε γλῶσσα συνδέεται, ἣν καὶ προβάλλει ἔκλυτον καὶ παρὰ φύσιν ἄμορφον, καὶ χρεμετίζειν ἀδυνάτως ἔχει, ὁ τοιοῦτος ἐλεφαντιᾷ, καὶ οὐδὲν εἰς αὐτὸν ὑπάρχει βοήθημα. οὐ δεῖ δὲ τοῦτον μετὰ ἑτέρου ἑστάναι, ἀλλ᾽ ἐκβάλλεσθαι μακράν.

ἌΛΛΟ ἹΕΡΩΝΟΣ.

Τοὺς ἐλεφαντιῶντας καταμανθάνειν, οὐχ οὕτως δεῖ δυσχερὲς ὅσον εὐμαρές. ἡ γὰρ τούτων ἐπικίνδυνος ἀνωμαλία πᾶσιν ὑπάρχει γνώριμος. ὁπηνίκα οὖν ἴδῃς ἵππον τοῖς σκέλεσιν ᾠδηκότα, τὰ ὦτα ἑστῶτα, τὰ περὶ τοὺς νεφροὺς σκληρό-

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ἌΛΛΟ.

Κροκόδειλον χερσαῖον καὶ βάτραχον εἰς ἔλαιον ἐμβαλὼν ζῶντας, ἕψει ἐν χύτρᾳ, ἕως αὐτῶν αἱ σάρκες εἰς τὸ ἔλαιον ἀναλυθῶσιν, εἶτα διηθήσας, διὰ ῥινὸς ἐγχυμάτιζε τοῦ κτήνους.

ἌΛΛΟ ἘΝ ἈΡΧΗ͂ ΤΗ͂Σ ΝΌΣΟΥ.

Γάρον κάλλιστον, ἔλαιον ὀμφάκινον, ᾠῶν τὸ λευκὸν ἀφρονίτρῳ συμμίξας καὶ ἀναταράξας, διὰ ῥινῶν ἐγχυμάτιζε.

ΤΙΒΕΡΊΟΥ ΕἸΣ ΤῸ αὐτὸ πάθος.

Πιθήκου κόπρον μετὰ ἀξουγγίου παλαιοῦ δίδου τῇ πρώτῃ ἡμέρᾳ μάζας τρεῖς, τῇ δὲ δευτέρᾳ μάζας ἑπτὰ, καὶ τῇ τρίτῃ ὁμοίως, καὶ μετὰ τὸ λοῦσαι σε διακονείτω πράως.

ἌΛΛΟ.

Σμύρνης δραχμὴν μίαν, κρόκου δραχμὴν μίαν, στάχυος δραχμὴν μίαν, ὀποπάνακος δραχμὰς ς̄, σελίνου δραχμὰς ς́. ταῦτα πάντα τρίψας λεῖα, ἐπιχέας οἴνου γλυκέος κοτύλας δύο, καὶ ἐλαίου λευκοῦ κύαθον ἕνα, ἔγχει εἰς τὸν ἀριστερὸν μυκτῆρα.

ΜΆΛΕΩΣ ὙΓΡΑ͂Σ πρόγνωσις καὶ ἴασις.

Ἡ μάλις γίνεται καὶ ἐκ τῆς ἄχνης τῶν ἀχύρων, ὅταν ἐπικαθίσῃ ἐπὶ τὸν πνεύμονα, ἢ ἐκ τοῦ χόρτου, ὅταν σεσηπότα παραβάλῃς. σημεῖα δὲ καὶ τοῦ νοσήματος, ἀναφέρει ἐκ τῶν μυκτήρων δυσώδη, βήσσων καὶ ἀνασπακῶς τὰς λαγόνας, ἀσιτεῖ. θεραπείᾳ οὖν χρῶ ταύτῃ, κυκλάμινον ξηράνας καὶ κόψας, λεῖον ποίησον ὁλκὴν, καὶ ὀποπάνακος ἡμιοβολον, καὶ δαφνίδων κόκκους, ἀμφότερα κόψας, ἐν οἴνῳ ἐγχυμάτιζε.

ΒΟΉΘΗΜΑ ΕἸΣ ΤῸ αὐτὸ πάθος.

Ἐλέφαντος πρίσμα μετὰ ἁλῶν λεπτῶν ἐν οἴνῳ λευκῷ ὕδει μίξας, ἐγχυμάτιζε.

ἱπποκρά-

πάντων δὲ ἔχων γράφειν τῶν συντεθεικότων τὰ καυστικὰ φάρμακα, παρῃτησάμην ἐκτείνειν τὸ βιβλίον. αὐτὸς δὲ εὑρὼν δύο πρὸς τὰς δύο διαφορὰς τοῦ νοσήματος, τῆς τε ὑγρᾶς καὶ τῆς ξηρᾶς ταῦτα ἐκθήσομαι, οἷς ἀρκεσθήσῃ, δοκίμοις οὖσιν.

ἘΓΧΥΜΑΤΙΣΜΌΣ

μάλεως ξηρᾶς.

Κοκκορίζου, κόκκου κνιδείου, κόστου, κυπέρου, ὀποπάνακος, ζιγγιβέρεως, πετροσελίνου, ὑσσώπου, ἀβροτόνου, τραγακάνθης, κρόκου, σμύρνης, ἀλόης, σχοίνου ἄνθους, μελιλώτων, μύου, μάκερ, καρδαμώμου, ἀριστολοχείας, κενταυρείου λεπτοῦ, τὸ ἴσον ἐκ πάντων κόψας καὶ σήσας, ἀναλάμβανε μέλιτι ἀττικῷ, καὶ ποίει τροχίσκους, ψύχων ἐν σκιᾷ, ἑκάστου τροχίσκου ἄγοντος δραχμὰς γʹ, καὶ ἐγχυμάτιζε. χειμῶνος μετὰ οἴνου παλαιοῦ ἢ κονδίτου, θέρους δὲ διὰ καροίνου ψυχροῦ, μιγνὺς ῥοδίνου γο αʹ.

ἘΓΧΥΜΑΤΙΣΜΌΣ

μάλεως ξηρᾶς.

Θειδακίνης σπέρματος γο ηʹ, γλυσρίδος χυλοῦ γο ηʹ, ῥοδίνου ἐλαίου λίτραν μίαν, κρόκου γο γʹ, μήκωνος χυλοῦ γο αʹ, σικύου ἡμέρου σπέρματος γο βʹ, ἀψινθίου χυλοῦ γο δʹ, τὰ ὑγρὰ μετὰ τῶν ξηρῶν κεκομμένων καὶ σεσησμένων μίξας ἐν ἀγγείῳ μολυβδίνῳ, ἀποτίθεσο καὶ ἐπὶ τῆς χρείας, βαλὼν τοῦ φαρμάκου δραχμὰς τρεῖς, ἐλαίου τε ῥοδίνου γο γʹ, καὶ ὑδρομέλιτος ξέστην ἰταλικόν, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί, καὶ θεραπεύσας, εἰς χλόην ἔξαγε παραποτάμιον, ἢ τὴν ἐν ἕλει, καὶ μὴ τὴν παραθαλάσσαν.

ἘΓΧΥΜΑΤΙΣΜΌΣ

πρὸς πᾶσαν μᾶλιν.

Ἀριστολοχείας λίτραν μίαν, ἰσχάδων μεδίμνου τὸ τέταρτον, σαμψύχου γο γʹ. ταῦτα ἰδίᾳ κόψας ἐπιμελῶς, ἕψε ἐν ὕδατι πυρὶ μαλακῷ δι᾽ ὅλης νυκτός, καὶ ἀπηθήσας ξέστην ἰταλικόν, προσμίξας μέλιτος τὸ τέταρτον, ἐγχυμάτιζε διὰ τοῦ στόματος.

ὅπερ παιόμενον κατὰ τὰς πλευρὰς ὡς τύμπανον ἠχεῖ, ψοφὴν δὲ προσίεται, βήσσειν προθυμούμενον ἀδυνατεῖ, καὶ διαίρει τὸ στόμα, καὶ ἐρεθίζεται πρὸς τὴν βῆχα, οὐ βήσσει δέ, ἀλλ' ὡς ὀστάρια καταπεπωκὸς, ἕστηκε νυσσόμενον. ἐὰν οὖν πάντα ταῦτα ποιῇ κεκράτηται, καὶ ἐγγὺς ἐστὶ τοῦ διαφωνῆσαι, τῷ τοιούτῳ περιττὸν ἐστὶ θεραπείαν προσαγαγεῖν. τῷ δὲ μήπω κεκρατημένῳ, δυσχερῶς βοηθήσομεν, ὅμως φάρμακον ἐκθησόμεθα θαυμαστὸν, δι' οὗ πολλάκις ἐθεραπεύσαμεν. τοῦτο ὑγιάσει τὸ ζῶον, ἐὰν ἔτι ὕδωρ μόνον ἐκ τοῦ μυκτῆρος στάξῃ. ἔστι δὲ αὕτη ἡ σύνθεσις αὕτη, σταφυλῆς λευκῆς πιεσθείσης, ξέστην ἰταλικὸν γλεύκους ποιήσας, ἐπεμβαλὼν δὲ πευκεδάνου λεπτοτάτου καὶ σεσησμένου κοχλιάρια δύο, ἀριστολοχείας τε τὸ ἴσον, ἐγχυμάτιζε διὰ μυκτῆρος ἀριστεροῦ ἐπὶ ἡμέρας ἑπτὰ, καὶ διαίτῃ χρῶ λεπτοτέρᾳ. οὕτω γὰρ θεραπευθήσεται τὸ ξηρὸν τοῦ νοσήματος.

ΝΗΦΟΝΤΟΣ ΘΕΡΑΠΕΙΑ

μάλεως ἀρθρίτιδος.

Ἐὰν ἵππος ἀρθρίτιδι νόσῳ πειράζηται, ἢ ἡμίονος, θεραπεύσεις αὐτὸν οὕτω, αἷμα ἀφαίρει ἐκ τῶν μεσοκνημίων, καὶ καῖε τὰ ἄρθρα καυτηρίοις ὀρθοῖς, ἄχρις οὗ ὕδωρ ἐξέλθῃ, εἶτα θύννου ταρίχου λαβὼν λίτραν μίαν, ἔμβαλε χύτρᾳ καινῇ, καὶ ἐπιχέας οἴνου παλαιοῦ κοτύλας τέσσαρας, ἕψη ἕως ἡμισευθῇ, προσμιγνὺς ἐλαίου τὸ ἄρκος, ὀποπάνακος δραχμὰς τρεῖς, ῥόκας δὲ ζωμοῦ τέσσαρας, καὶ ἐγχυμάτιζε ἐφ' ἑκάστῃ ἡμέρᾳ ἡμικοτύλιον. καὶ χειμῶνος μὲν ὕπαιθρον στήσεις τὸ ζῶον, θέρους δὲ καὶ κολύμβοις χρήσῃ. ἀποσπασθεισῶν δὲ τῶν ἐσχαρῶν ἐκ τῶν ἄρθρων, χρῶ φαρμάκῳ τραυματικῷ τοιῷδε, ἰὸν μίσυ, χαλκῖτιν, ἐξ ἴσου βαλὼν καὶ ἑψήσας, ποιήσας τε κηρωτὴν, περίχριε.

ΑΓΑΘΟΤΥΧΟΥ ΕΙΣ

τὸ αὐτό.

Μελανθίου τοῦ συμφυομένου τῷ σίτῳ γο α', λειώσας, τρίψας, ἔμβαλε εἰς ἡμικοτύλιον οἴνου καὶ ἐλαίου, καὶ προσμίξας ὕδατος τὸ ἴσον, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισίν. ἐὰν δὲ ἡ νόσος πρὸς τὰ ἄρθρα κατασπασθῇ, χρὴ καίειν, μὴ ἀναμένοντα.

πάντων

ΠΕΛΑΓΩΝΊΟΥ ΠΡῸΣ ΒΟΥΛΑσοῦς, ἤτοι περὶ πνευμονίας.

Χοιρίδιον γαλαθηνὸν σφάξον, περιεστῶτος ἐκεῖσε ἑτοίμου τοῦ κακουμένου ζώου, καὶ εὐθέως ζέον τὸ αἷμα, ἔγχει τῇ φάρυγγι αὐτοῦ.

ἌΛΛΟ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἀπὸ ζύμης σιτίνης ὅθεν μέλλοι λοιπὸν ἄρτος γίνεσθαι, σφαιρία ποιήσας μετὰ ἑψήματος, τῷ ζώῳ δίδου ἐφ' ἱκανὰς ἡμέρας, ἕως ἂν ὑγιάνῃ. ποτίζων δὲ αὐτό, μέμνησο τῷ ὕδατι μιγνύειν ἄλευρον.

ἌΛΛΟ.

Σκόροδα γαλλικὰ καθαρίσας, καὶ ἐν ὅλμῳ κόψας, ἀξουγγίῳ παλαιῷ μίξον, καὶ ποίησον πασίλους, εἶτα μέλι καὶ ἕψημα καὶ ὠὰ μίξας, ἐν ταύτῃ τῇ μίξει τοὺς πασίλους βάψας ἐπὶ τρισὶν ἡμέραις δίδου.

ἌΛΛΟ ἩΜΕΡΊΟΥ.

Φάβατος ἀληλεσμένου γο̄ ιξ, βρέξας εἰς ἑψήματος χ̄ γ̄, καὶ πεπέρεως κόκκους λᾱ, ἐν θυΐᾳ καλῶς λεάνας, καὶ προσμίξας στέατος τραγείου λίτραν α΄, καὶ αὖθις συλλεάνας, ἐπὶ τρισὶν ἡμέραις διὰ κέρατος ἐγχυμάτιζε.

ΘΕΟΜΝΊΣΤΟΥ ΕἸΣ ΤῸ αὐτὸ πάθος.

Ἀκολούθως μετὰ τὴν βῆχα, καὶ περὶ πνευμονίας ἔγραψα. μάλιστα γὰρ ἀπὸ τῆς τάσεως ταύτης, ὁ πνεύμων ῥήγνυται. γίνεται δὲ πολλάκις καὶ ἀπὸ δρόμου ῥῆγμα, ἢ πηδήματος, ὅταν ἕρκιον ἢ τάφρον ὑπερβῇ. πολλάκις δὲ τοῦτο συμβαίνει κατὰ τοὺς ἐν θήρᾳ διωγμούς. ἔσθ' ὅτε δὲ καὶ πολὺ διψήσας ἵππος, ἢ ἄλλο ὑποζύγιον ἀθρόως σὺν πολλῷ πνεύματι σπασάμενος τοῦ ποτοῦ, ῥήγνυσι τὸν πνεύμονα, δι' αἰτίαν τοιαύτην. ὁ πνεύμων, πάντων τῶν ἐν τῷ βάθει λεπτότατον ἔχει τὸν ὑμένα, καὶ πνεύματος οἰκείου πεπλήρωται. πᾶν δὲ τὸ ἐν αὐτῷ ὑγρόν, διὰ τὴν συνεχῆ κίνησιν ἀφρῶδες ὄν, λεπτότατον ὑπάρχει σφό-

σαν. τὰ τοιαῦτα οὖν ζῶα τινὲς ὀστέα καταπεπωκέναι νομίζουσι, διότι καὶ τροφὴν καὶ ποτὸν ἀπληστότερον προσίενται, καὶ πύα φέρουσιν. προπότιζε τοίνυν οὕτως, κρόκου, κασίας, νάρδου, σμύρνης, κινναμώμου, σταθμὸν ἴσον λειώσας καὶ μίξας, μετ' οἴνου μέλανος κοτύλης μιᾶς δίδου. εἰ δὲ ταῦτα μὴ εὑρίσκοιτο, ὄροβον ἀληλεσμένον, μίξας οἴνῳ καὶ ὕδατι θερμῷ, τὸ ἀρκοῦν δίδου.

ΠΡΟΠΌΤΙΣΜΑ ΠΡῸΣ ΤΟῪΣ ῥῆξιν τοῦ πνεύμονος ὑπομένοντας, ἢ καὶ ἀπὸ δρόμου εἰς πνεύμονα περιπίπτοντας.

Νάρδου στάχυος, κρόκου, σμύρνης, κόστου, σχοίνου, κασίας, ἠρυγγίου, πεπέρεως λευκοῦ ἀνὰ οὐγγίαν μίαν λαβὼν, καὶ ἀλεύρου ὀροβίνου τὸ ἀρκοῦν, πάντα λεάνας καὶ σήσας, μέλιτι ἀναλάμβανε, καὶ ἐπὶ τῆς χρείας λύσας, διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔγχει. πρὸ τοῦ δὲ τοῦτο ποιῆσαι, ἀψινθίῳ καὶ νίτρῳ καὶ μέλιτι καὶ ὀξυκράτῳ, τὸ στόμα τοῦ ἵππου ἀπόπλυνε.

ΠΕΡῚ ΠΝΕΥΜΟΝΊΑΣ ἬΤΟΙ ΒΟΥΛΑΣῶΝ

ΚΕΦΆΛ. ἝΒΔΟΜΟΝ.

Ὅτι μὲν ἀρχὴν ἔχει ἡ τοῦ πνεύμονος ῥῆξις, πνευμόρρωξ καλεῖται τὸ πάθος, καὶ ἔστιν εὐίατον. ὅτι δὲ χρονίζει τὸ πάθος, ἀπόλυσιν τὸν πνεύμονα ἐργάσηται, τότε πνευμονία λοιπὸν καλεῖται καὶ βουλασία, καὶ ἔστι λοιπὸν δυσθεράπευτον.

ΠΕΡῚ ΠΝΕΥΜΟΝΊΑΣ ἼΑΣΙΣ.

Ἀβάφου θείου οὐγγίας ἕξ, σμύρνης οὐγγίας ἕξ, τρίψας καὶ ἐπιχέας οἴνου ὅσον ἡμικοτύλιον, ἐλαίου ὅσον κύαθον, ἔγχει εἰς τοὺς μυκτῆρας, καὶ τὴν λοιπὴν ἐπιμέλειαν πρόσφερε. ἐὰν δὲ μὴ ὑπὸ τούτων ὑγιάζηται, καῦσον αὐτὸν ὑπὸ τὰς μασχάλας περὶ κοιλίαν ὑποβαστάζων τὸν σίδηρον, μὴ καθικέσθαι τοῦ βάθους. ἐὰν δὲ πύον ῥέῃ, καὶ τὸ καῦμα θεράπευε πίσσῃ, καὶ κηρῷ, καὶ ἐλαίῳ.

Πελαγο-

πότισον τούτῳ τῷ βοηθήματι, ἄρκτου στέατος γο̅ δ̅, κενταυρίου βουνιάδος τῆς οὕτω καλουμένης βοτάνης γο̅ α̅, ἑρπύλλου γο̅ ἕξ, ὑσσώπου γο̅ γ̅, χαμαίδρυος, ἀμαράνθου, ἀρτεμισίας γο̅ α̅, τριφυλλίου ὀξέος γο̅ α̅, πηγάνου ἀγρίου ῥίζης γο̅ ἕξ, τῆς ὀρθῆς περιστερᾶς γο̅ γ̅, βετονικῆς γο̅ γ̅. πάντα ταῦτα οἰνομέλιτι ἑψήσας, διὰ στόματος δίδου, προσθεὶς τούτοις καὶ ἑρπύλλου γο̅ ς̅, ὑσσώπου γο̅ γ̅, χαμαίδρυος γο̅ α̅.

ΙΕΡΟΚΛΕΟΥΣ ΠΕΡῚ ΠΝΕΎΜΟΝΟΣ

ΚΕΦΑΛ. ΠΈΜΠΤΟΝ.

Ἐάν ποτε πνεύμονα ἵππος ἀλγήσῃ, τὸ μὲν πάθος πολυχρόνιον, καὶ ἐν τῷ ἔαρι μάλιστα ἀσθενεῖ. σημεῖα δὲ, συμπίπτει τὸ σῶμα, καὶ βήττει ὡς δοκεῖν ὀστάριον καταπεπωκέναι, μύξας τε ἀνάγει καὶ ῥέγχει, καὶ πολὺ πίνει, καὶ τὴν τροφὴν πλείονα ἐπιζητεῖ. θεραπεία δὲ τούτου, κρόκου, σμύρνης, κασίας, κινναμώμου. ταῦτα πάντα τρίψας καὶ λειώσας ἅμα μέλιτι, καὶ οἶνον ἐπιβαλὼν ἐγχυμάτιζε. ἀναγκαῖον δὲ προλαμβάνειν αὐτὸν τῇ θεραπείᾳ. ἐὰν γὰρ φθάσῃ πληρωθῆναι ὁ πνεύμων πύου, τελευτᾷ.

ΤΙΒΕΡΊΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Λαβὼν μέλι καὶ πέπερι, καὶ στρόβιλον ἔχοντα τὴν ῥητίνην, καὶ οἶνον κατάζεσον, καὶ οὕτως ἐγχυμάτισον διὰ τοῦ στόματος ἡμέρας τρεῖς. τροφαῖς δὲ χρῶ μάλιστα χόρτῳ πλείονι, καὶ κοιλίστραις, τὰ σημεῖα καταμανθάνων. συμβαίνει γὰρ καὶ μεταβολὰς ποιεῖν εἰς ἕτερον νόσημα.

ΕΥ̓ΜΉΛΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ

Τῶν πνευμονικῶν σημεῖα τάδε, τὰ σκέλη καὶ αἱ φλέβες οἰδαίνουσιν, οἵ τε ὄρχεις πυκνότερον ἅλλονται. ἐπιγίνεται δὲ καὶ πυρετὸς τῷ σώματι, ὃς τῆς χειρὸς πλησίον τῆς μασχάλης προσαχθείσης εὑρίσκεται. τούτου τοίνυν αἷμα ἀεὶ τοι

ἌΛΛΟ.

Σταφυλίνου γο ε, ἀγαρικοῦ γο ι, κασσάμου γο γ, νάρδου γο γ, βοτάνης χαμαιπίτυος γο γ, βρυωνικῆς γο ἕξ, ἴρεως ἰλλυρικῆς γο α, θρύου φύλλων γο γ, πεπέρεως λευκοῦ γο α, ἀβροτόνου γο ι, πρασίου γο ϛ, σανδανίκου γο γ. ταῦτα πάντα λειάνας καλῶς, καὶ διυλίσας ἐν οἴνῳ, ἐν προποτισμῷ δίδου.

ἝΤΕΡΟΝ ΕἸΣ ΤῸ ΑὐΤῸ

αἰμιλίου ἱσπανοῦ.

Ἐκ τῶν ποδῶν ἀφαίμαξον τὸ ζῶον, εἶτα σμύρνης τρωγλίτιδος γο δ, κρόκου γο ἕξ, κενταυρείου γράμματα δ, νάρδου στάχυος ἰνδικῆς γο α, πεπέρεως λευκοῦ γο γ, σελινοσπέρμου κοχλιάρια ε, μήκωνος γο α, προπόλεως γο α, μέλιτος ξέστην ἕνα, καὶ νίτρου τὸ ἀρκοῦν συμμίξας, καὶ ποιήσας ὡς μέγεθος λεπτοκαρύου, καὶ λύσας ἐν ὕδατι χλιαρῷ ἑνὸς ξέστου, δίδου τῷ κάμνοντι ζώῳ.

ἌΛΛΟ ΛΙΤΟΡΊΟΥ ΒΕΝΕΒΕΝΤΆΝΟΥ.

Χρὴ τοῦ λοιμῷ κάμνοντος ἵππου, πρότερον ἐκ τοῦ στήθους αἷμα ἀφαιρεῖν, ἔπειτα ἐκ τῶν σκελῶν. εἰ δὲ ἀνάγκη ἐπείγοι, καὶ ἐκ τῶν κροτάφων. καλὸν δὲ καὶ ποικίλην τροφὴν αὐτῷ διδόναι, τουτέστιν ἄλευρον κριθῆς καὶ πυροῦ, οὐ μὴν ἀλλὰ καὶ πίτυρα. χόρτου δὲ ὀλίγον, καὶ ποιεῖν πῶς ἐπὶ τούτοις ποτὲ καὶ διὰ τῶν ῥινῶν ἐγχεῖν, κενταύρειον καὶ ἀψίνθιον ἐξ ἴσου σταθμοῦ σὺν οἴνου τὸ ἀρκοῦν τι ἑψήσαντα.

ἌΛΛΟ.

Ἐὰν τοὺς ἐμπροσθίους ἄρξηται χωλαίνειν, αἷμα ἀφαίρει ἀπὸ τῶν ἐμπροσθίων βραχιόνων. ἐὰν δὲ τοὺς ὀπισθίους, ἀπὸ τῶν μηρῶν. ἐὰν δὲ ἕλκῃ τὰς λαγόνας, καὶ τοὺς μυκτῆρας ἀνεῳγότας ἔχῃ, ἀπ' ἀμφοτέρων τῶν κροτάφων, εἶτα κυάνειον ἑπτάμηρον ἑψήσας καλῶς, καὶ μίξας οὖρον παιδὸς ἀφθόρου, καὶ οἴνου πλῆθος κοτύλην μίαν ἐγχυμάτιζε.

ἌΛΛΟ.

Ζῶον ὅταν ἄρξηται χωλαίνειν τοῖς ἔμπροσθεν ποσίν, πρῶτον τὸ σῶμα αὐτοῦ οἰνελαίῳ χρίσον καθόλου, ἔπειτα προ

σαύτῃ ἐπὶ τρισὶν ἡμέραις. ἵνα δὲ πρὸ μιᾶς ἐμβραχῇ τὸ ἄλευρον, καὶ τῇ ἄλλῃ λεανθῇ ἅμα τῷ οἴνῳ. μίγνυε δὲ αὐτῷ καὶ ὀλίγου μέλιτος καὶ βουτύρου ἴσου, ἅτινα μετὰ χλιαροῦ οἴνου μεμνημένος διδόναι.

Ἀγριοσυκίου ῥίζας κατακόψας ὡς χ γ̄, καὶ ἐμβρέξας εἰς ὕδατος ὡς χ δ̄ πρὸ μιᾶς, καὶ ταράξας διηθήσον, ἔπειτα μίξας νίτρου ἀλεξανδρίνου γο̄ δεκαὲξ καλῶς λεανθέντος, δίδου ἐπὶ ἡμέραις ἑπτά. εἰ δὲ ἐλλείπει τὸ βοήθημα, ὕδωρ ἐπίβαλλε, καὶ διὰ κέρατος ἔγχει τῷ στόματι.

ΑΛΛΟ ΠΡΟΣ ΛΟΙΜΟΝ ἀρθριτικόν.

Ἐκ πάντων τῶν ἄρθρων ἀφαιμάξας τὸ ζῶον, ὑγροπίσσῳ αὐτὰ περιάλειφε, καὶ συνεχέστερον ἀναπατεῖν παρασκεύαζε, τῆς τροφῆς δηλαδὴ ἀναφερομένης, κριθῶν μέντοι ἀληλεσμένων καὶ σηθεισῶν, δίδου χ δ̄ μετὰ ἀγριοσυκίου. καὶ τοῦτο γὰρ ἱκανῶς συμβάλλεται.

ΑΛΛΟ.

Ἀφαιμάξας τὸ ζῶον, καὶ κριθὰς ἐν ὕδατι, ἢ ὄρῳ βρέξας, ὄξος τε μετὰ κόπρου βοός, καὶ κυμίνου καὶ σινωπίδος μίξας, ἐπιτίθει τοῖς ἄρθροις.

ΑΛΛΟ.

Σπέρμα κολοκύντης ἀλεξανδρίνης φρύξας, καὶ κόψας ὅσον ὀξύβαφον, σῆσον καὶ μῖξον ἐν οἴνῳ εὐώδει λευκῷ, καὶ διηθήσας κέρατι ἐμβαλὼν, ἔγχει διὰ τῶν ῥινῶν ἐπὶ ἡμέρας πέντε.

ΑΛΛΟ.

Τοὺς λοιμοὺς χρὴ βοηθήμασι προφθάνειν, ὅθεν πανακείας καὶ ἀφθάσου ῥίζας, οὐ μὴν ἀλλὰ καὶ μαράθρου σπέρμα, συμμίξας ἀλεύρῳ σιτίνῳ ζεστῷ, ὕδατι ζύμωσον πρὸς τούτοις, κασσίας, σμύρνης, λιβάνου τὴν αὐτὴν ποσότητα αἵματι χελώνης θαλασσίας συμμίξας, καὶ οἴνου παλαιοῦ χ γ̄ διὰ ῥινῶν δίδου. τούτου δὲ τοῦ βοηθήματος τὰς δύο γο̄ εἰς τρία ποιήσας, προσένεγκαι ἐπὶ ἡμέραις τρισίν.

ἔστι δὲ καὶ τὸ βοήθημα τοῦτο, πάνυ χρήσιμον, ἀγριοσυκίου τὰς ῥίζας λεάνας καὶ σήσας, καὶ νίτρου οὐγγίας ἕξ, καὶ αὐτὸ καλῶς τετριμμένου, μίξας ἐν οἴνου χε', ἐγχυμάτιζε τὸ ζῶον διὰ αὐτοῦ ἐπὶ ἡμέραις πέντε. καὶ περιεκτὸς δὲ τούτου, ἐκ τοῦ τετριμμένου ἀγριοσυκίου, ἐπίρραινε τὸ ὕδωρ ὅθεν μέλλει πίνειν τὸ λοιμῶττον ζῶον.

ἌΛΛΟ.

Σαβίνης βοτάνης, ἤτοι βράθυος λίτραν μίαν, χαμαίδρυος γο ϛ', κενταυρίου γο β', ἀριστολοχείας γο γ', ὁμοῦ κατακόψας καὶ σήσας, ὅταν χρεία γένηται ἐν κοχλιάριον μεστὸν εἰς οἴνου χ' μίξας, ἐγχυμάτιζε τὸ ζῶον.

ἌΛΛΟ ΠΙΣΤΗΡΊΟΥ ΣΙΚΕΛΟΥ͂.

Ῥίζας χαμαιάκτης, καὶ ῥίζας κνίδης δὲ ἴσου κόψας καὶ σήσας, εἰς γάρου ποσότητα τριῶν ὠῶν ἔγχει, καὶ τοῦτο διηθήσας ἐν ὀθόνῃ, ἐγχυμάτιζε διὰ τῶν ῥινῶν τοῦ ζώου, ὡσεὶ μέτρον ἑνὸς ὠοῦ ἐπὶ τρισὶν ἡμέραις.

ἌΛΛΟ ΞΗΡΊΟΝ ΠΕΛΑΓΩνίου πρὸς λοιμόν.

Πελαργοῦ νεοσσὸν μὴ δέ πω πτῆναι δυνάμενον, ἔχοντα δὲ πτίλα, ζῶντα ἔμβαλε εἰς χύτραν ὀστρακίνην, καὶ ταύτην γύψῳ περιχρίσας, βάλλε εἰς φοῦρνον, καὶ μετὰ τὸ ὀπτηθῆναι καλῶς, ἐν ὅλμῳ κόψας, ξηρίον ποίει, καὶ ἀπόθου εἰς βηκίον ὑέλινον, καὶ ὅτε χρεία γένηται, κοχλιάριον πεπληρωμένον μετὰ οἴνου τῇ φάρυγγι ἐπίχεε, ἕως ἂν ὑγιάνῃ. ὑγιεινὸν γὰρ τοῦτο ξηρίον ἐστίν.

ἌΛΛΟ.

Γάρου πρωτείου ποτήριον μεστὸν ἔγχει εἰς τὰς ῥῖνας τοῦ ἵππου, ἵνα εἰς ὕπνον ἔλθῃ, καὶ ἐν ψυχροτέρῳ τόπῳ τοῦτον στῆναι παρασκεύασον, ἔπειτα κοριάννου καὶ ἀγριοσυκίου φύλλα καὶ ῥίζας κόψας, μετὰ ἀρκουμένου μέλιτος καὶ οἴνου δίδου, καὶ μετὰ τοῦτο χυλὸν πράσων ὅσον ὀξύβαφον ἔγχει εἰς τὴν αὐτοῦ φάρυγγα, ἢ ἐρεγμὸν ὀρόβου ἐν οἴνῳ μεμιγμένον, ἐπὶ τρισὶν ἡμέραις δίδου, ἢ κυάμων καλῶς ἀληλεσμένων, ἄλευρον μετὰ οἴνου ὡ

σαυτ

καὶ ἐλαίου γο̄ ἓξ δίδου, ἢ διὰ κέρατος, ἢ ὡς βούλει. τούτῳ δὲ τῷ βοηθήματι κέχρησο καθ' ἡμέραν ἄχρι τελείας ὑγιείας. στρώμασι δὲ σκέπε διαπαντός, ὥστε εἰ δυνατὸν ἱδροῦν τὸ ζῶον, ἐπειδὴ τῇ θέρμῃ πέφυκε τὸ τοιοῦτο διαλύεσθαι πάθος.

ΜΑΛΑΓΜΑ ΠΡΟΣ τὸ αὐτὸ πάθος.

Συκίου ξηροῦ λίτρας δ', κικίδος καὶ περισίνης λίτρας τέσσαρας, ῥητίνης φρυκτῆς, λίτραν α'. ἀψινθίου κεκομμένου λίτραν α', τὰ ξηρὰ κόψας καὶ σήσας καὶ τοῖς τηκτοῖς μίξας, χρῶ. προπότισμα δὲ τὰ περὶ αὐτῷ πάθει πρόσφορα, καθ' ἑκάστην δίδου, ἢ τὸ διὰ πέντε ξηρίον, ἢ ἄλλα πόματα ἅπερ εἰσὶ τῇ προειρημένῃ νόσῳ ἀναγκαῖα.

ΠΕΛΑΓΩΝΙΟΥ ΠΡΟΣ ΛΟΙΜΟΝ.

ΚΕΦΑΛ. ΤΕΤΑΡΤΟΝ.

Τὰς θεραπείας τὰς πρὸς τούτους, δι' ὧν οἱ λοιμοὶ ἀποσβέννυνται χρὴ μαθεῖν. ἐμπίπτουσι γὰρ πολλάκις οἱ ἵπποι εἰς λοιμόν, ἢ διὰ ἀγωνίας, ἢ ἐκ καύσωνος, οὐ μὴν ἀλλὰ καὶ ἐκ ψύχους καὶ λιμοῦ. ἔσθ' ὅτε δὲ καὶ ἂν εἰς δρόμον ἐπειχθῶσι μετὰ πολλὴν ἄνεσιν, ἢ ὅταν ἐν ἐπιτηδείῳ καιρῷ μὴ οὐρήσωσιν, ἢ ἀπὸ ἱδρῶτος καὶ πολλῆς κινήσεως πίωσιν, οἷς θεραπείας τετυπωμένας παρὰ τῶν προηγουμένων ἡμῶν καὶ συμβαλλομένας, ἐπιγινώσκομεν. καὶ ἡμεῖς δὲ αὐτοὶ τῇ πείρᾳ μεμαθήκαμεν, ἡ λεγομένη διὰ πέντε ἀντίδοτος. συνίσταται ἀπὸ γεντιανῆς, ἀριστολοχείας, κόκκων δάφνης, σμύρνης, πρίσματος ἐλεφαντίνου. ταῦτα ἐξ ἴσου σταθμοῦ κατακοπέντα καὶ σηθέντα, ἑνοῦται, διὰ ὧν γινόμενον ξηρίον, ἀποτίθεται. ὅταν οὖν τὸ ζῶον ἐμπέσῃ τῷ ῥηθέντι νοσήματι, ἐκ τούτου κοχλιάριον ἓν λαβὼν μεστόν, καὶ ταράξας εἰς οἶνον, εἰς τὴν φάρυγγα τοῦ ἵππου καθ' ἑκάστην ἐπίχεε, ἕως ἂν ὑγιὴς γένηται.

τερα, καὶ καμφθῆναι μὴ δυνάμενα, τράχηλον τεταμένον, καὶ βλέμμα ἀστατοῦν, τότε γίνωσκε τῷ προλεχθέντι πάθει αὐτοῦ κατέχεσθαι. ἡ τοίνυν θεραπεία αὐτοῦ αὕτη, ἐν οἴνῳ θερμῷ ἱστάσθω, καὶ αἱ τοῦ τραχήλου αὐτοῦ φλέβες λυέσθωσαν, καὶ μετὰ τρίτην ἡμέραν ἀπὸ τῶν ὤμων αὐτοῦ αἷμα ἀφαιρείσθω. εἰ δὲ χρεία καλέσοι, καὶ ἀπὸ τῶν μηρῶν μεθ' ἡμέρας πέντε, ὥστε ἀπὸ παντὸς τοῦ σώματος τῶν φλεβῶν λυομένων, πάντα τὸν τοῦ πάθους ἰὸν σὺν τῷ αἵματι διαφορηθῆναι. τῆς γὰρ τοῦ αἵματος ῥύσεως γενομένης, ὃ ταχέως διαφορεῖ, τότε λοιπὸν τὴν συνήθη τροφὴν πρόσαγε, καὶ εἰ κριθὰς φαγεῖν μὴ βούλοιτο, ἄλφιτα δίδου μετὰ κυάμων ἀληλεσμένων. ποτὸν δὲ ὕδωρ χλιαρόν, καὶ μετὰ ταῦτα βαλὼν οἶνον, ἔλαιον, νίτρον, ἄσφαλτον, πηγάνου σπέρμα, καὶ δαφνίδας, καὶ ἑψήσας, ὅλον ἀνατρίψας τὸ σῶμα ἀπότριβε τῷ ἑψήματι, μέχρις ἂν ἀποκάμῃς, εἶτα δέρμασιν ἐρέαν ἔχουσι, καὶ βεβρεγμένοις ἐν τῷ αὐτῷ ἑψήματι, τὰ περὶ τοὺς νεφροὺς ἐπιδέσμει.

ΠΕΛΑΓΩΝΊΟΥ ΧΡΊΣΜΑ

εἰς τὸ αὐτὸ πάθος.

Οἴνου χ γʹ, ἐλαίου ἡμίναν, σίτου, κριθῶν, ὀρόβων, ἐρεβίνθων, φασιόλων, λατυρίδων, ἀνὰ ξε ἑνός, πάντα εἰς ἓν καθέψησον, καὶ ἀνελόμενος τὰ προειρημένα, καὶ μόνον τὸ ἕψημα τριτώσας, ὅλον ἀπόστριψε τὸν ἵππον, καὶ προποτίσματι κέχρησο τῷ ὑποκειμένῳ.

ΠΡΟΠΌΤΙΣΜΑ ΕἸΣ ΤῸ ἈΥΤῸ.

Οἴνου παλαιοῦ ἡμίναν, λιβάνου γο βʹ, κόστου γο βʹ σταφίδος ἀγρίας γο αʹ. ταῦτα εἰς ἓν λεάνας, ἐπίβαλλε ὑδρομέλιτος ἡμίναν, καὶ προπότιζε ἐπὶ ἡμέραις τρισί. τῇ δὲ τετάρτῃ, οἴνῳ καὶ ἐλαίῳ προστιθείς, καὶ λασάρου γο αʹ, ὁμοίως ἐφ' ἑτέραις τρισὶν ἡμέραις πότιζε.

ἌΛΛΟ.

Νίτρου γο αʹ, καστορείου γο βʹ, δαφνίδων γο βʹ, ῥέου ποντικοῦ γο βʹ, πηγάνου γο δύο ἥμισυ. ταῦτα κατ' ἰδίαν κόψας καὶ σήσας, καὶ μετὰ ταῦτα μίξας, ἐπιβαλών τε οἴνου χ αʹ,

καὶ ἐλαίου

ἹΠΠΟΚΡΆΤΟΥΣ ΣΎΝΘΕΣΙΣ ΤΡΟΧΊΣΚΟΥ πρὸς πᾶσαν μᾶλιν, καὶ πᾶν ἀῤῥώστημα.

Δαφνίδων γο β΄, ἀφρονίτρου γο ε΄, θείου ἀπύρου γο ε΄, σμύρνης γο γ΄, κροκομάγματος γο ἕξ, ἴρεως ἰλλυρικῆς γο ς΄, σελίνου σπέρματος καὶ ἀριστολοχείας τὸ ἴσον. ταῦτα ἐμβαλὼν εἰς θυίαν, καὶ τρίψας ἕως ἂν λεῖα γένηται, μίσγε καὶ οἴνου καὶ ποιήσας τροχίσκους ἔχε, καὶ ἐν τῇ χρείᾳ μετὰ οἴνου λευκοῦ ἐγχυμάτιζε.

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ἘΛΕΦΑΝΤΙΩ͂ΝΤΟΣ.

ΚΕΦΑ'Λ. ΤΡΊΤΟΝ.

Ὅταν ἡ γένηται ἐπάρματα ἔχων ἐν τῷ τραχήλῳ, καὶ φλέβας διατεταμένας καὶ κυρτὰς ἐν τῇ κεφαλῇ καὶ τῷ προσώπῳ, καὶ ἐπηρμένας ὁμοίως ῥῖνας διεσταλμένας, καὶ τὸ φερόμενον ἐξ αὐτοῦ τε καὶ τοῦ στόματος, ἐστὶν ἀφρῶδες καὶ αἱματῶδες. ἕλκηται δὲ καὶ ἐκ τῶν λαγόνων καὶ ἀναφυσᾷ διὰ τῶν μυκτήρων, καὶ προθυμούμενος τρώγειν οὐ δύναται, οὐ δὲ πίνειν, ἀλλὰ εἴ τι μικρὸν λαμβάνει, ῥῆξιν τε τοῦ σώματος πανταχοῦ ποιεῖται, ὥστε ἑλκοῦσθαι μάλιστα τὰ ἄκρα, ῥῖνας, χείλη, ὦτα, καὶ ἀποπίπτειν κάτω αὐτόματον, ἥ τε γλῶσσα συνδέεται, ἣν καὶ προβάλλει ἔκλευκον καὶ παρὰ φύσιν ἄμορφον, καὶ χρεμετίζειν ἀδυνατεῖ ἔχει, ὁ τοιοῦτος ἐλεφαντιᾷ, καὶ οὐδὲν εἰς αὐτὸν ὑπάρχει βοήθημα. οὐ δεῖ δὲ τοῦτον μετὰ ἑτέρου ἑστάναι, ἀλλ' ἐκβάλλεσθαι μακράν.

ἌΛΛΟ ἹΈΡΩΝΟΣ.

Τοὺς ἐλεφαντιῶντας καταμανθάνειν, οὐχ οὕτως ἐστὶ δυσχερὲς ὅσον θυμαρές. ἡ γὰρ τούτων ἐπικίνδυνος ἀνωμαλία πᾶσιν ὑπάρχει γνώριμος. ὁπηνίκα οὖν ἴδῃς ἵππον τοῖς σκέλεσιν ᾠδηκότα, τὰ ὦτα ἑστῶτα, τὰ περὶ τοὺς νεφροὺς σκληρό-

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ἌΛΛΟ.

Κροκόδειλον χερσαῖον καὶ βάτραχον εἰς ἔλαιον ἐμβαλὼν ζῶντας, ἕψει ἐν χύτρᾳ, ἕως αὐτῶν αἱ σάρκες εἰς τὸ ἔλαιον ἀναλυθῶσιν, εἶτα διηθήσας, διὰ ῥινὸς ἐγχυμάτιζε τὸ κτῆνος.

ἌΛΛΟ ἘΝ ἈΡΧῆ ΤῆΣ ΝΌΣΟΥ.

Γάρον κάλλιστον, ἔλαιον ὀμφάκινον, ὠῶν τὸ λευκὸν ἀφρονίτρῳ συμμίξας καὶ ἀναταράξας, διὰ ῥινῶν ἐγχυμάτιζε.

ΤΙΒΕΡΊΟΥ ΕἸΣ ΤῸ αὐτὸ πάθος.

Πιθήκου κόπρον μετὰ ἀξουγγίου παλαιοῦ δίδου τῇ πρώτῃ ἡμέρᾳ μάζας τρεῖς, τῇ δὲ δευτέρᾳ μάζας ἑπτὰ, καὶ τῇ τρίτῃ ὁμοίως, καὶ μετὰ τὸ λοῦσαι σε διακονείτω πράως.

ἌΛΛΟ.

Σμύρνης δραχμὴν μίαν, κρόκου δραχμὴν μίαν, στάχους δραχμὴν μίαν, ὀποπάνακος δραχμὰς ϛ, σελίνου δραχμὰς ϛ'. ταῦτα πάντα τρίψας λεῖα, ἐπιχέας οἴνου γλυκέος κοτύλας δύο, καὶ ἐλαίου λευκοῦ κύαθον ἕνα, ἔγχει εἰς τὸν ἀριστερὸν μυκτῆρα.

ΜΆΛΕΩΣ ὙΓΡᾶΣ πρόγνωσις καὶ ἴασις.

Ἡ μάλις γίνεται καὶ ἐκ τῆς ἄχνης τῶν ἀχύρων, ὅταν ἐπικαθίσῃ ἐπὶ τὸν πνεύμονα, ἢ ἐκ τοῦ χόρτου, ὅταν σεσηπότα παραβάλῃς. σημεῖα δὲ καὶ τοῦ νοσήματος, ἀναφέρει ἐκ τῶν μυκτήρων δυσώδη, βήσσων καὶ ἀνασπακῶς τὰς λαγόνας, ἀσιτεῖ. θεραπείᾳ οὖν χρῶ ταύτῃ, κυκλάμινον ξηράνας καὶ κόψας, λεῖον ποίησον ὁλκὴν, καὶ ὀποπάνακος ἡμιόβολον, καὶ δαφνίδων κόκκους, ἀμφότερα κόψας, ἐν οἴνῳ ἐγχυμάτιζε.

ΒΟΗΘΗΜΑ ΕἸΣ ΤῸ αὐτὸ πάθος.

Ἐλέφαντος πρίσμα μετὰ ἁλῶν λεπτῶν ἐν οἴνῳ λευκῷ ὑδαρεῖ μίξας, ἐγχυμάτιζε.

ἱπποκρά-

πάντων δὲ ἔχων γράφειν τῶν συντεθεικότων τὰ καυστικὰ φάρμακα, παρῃτησάμην ἐκτείνειν τὸ βιβλίον. αὐτὸς δὲ εὑρὼν δύο πρὸς τὰς δύο διαφορὰς τῶν νοσημάτων, εἴτε ὑγρᾶς καὶ τῆς ξηρᾶς ταῦτα ἐκθήσομαι, οἷς ἀρκεσθήσῃ, δοκίμοις οὖσιν.

ἘΓΧΥΜΑΤΙΣΜῸΣ

μάλεως ξηρᾶς.

Κοκκορίζου, κόκκου κνιδίου, κόστου, κυπέρου, ὀποπάνακος, ζιγγιβέρεως, πετροσελίνου, ὑσσώπου, ἀβροτόνου, τραγακάνθης, κρόκου, σμύρνης, ἀλόης, σχοίνου ἄνθους, μελιλώτων, μύου, μάκερ, καρδαμώμου, ἀριστολοχείας, κενταυρίου λεπτοῦ, τὸ ἴσον ἐκ πάντων κόψας καὶ σήσας, ἀναλάμβανε μέλιτι ἀττικῷ, καὶ ποίει τροχίσκους, ψύχων ἐν σκιᾷ, ἑκάστου τροχίσκου ἄγοντος δραχμὰς γ´, καὶ ἐγχυμάτιζε. χειμῶνος μὲν διὰ οἴνου παλαιοῦ ἢ κονδίτου, θέρους δὲ διὰ καροίνου ψυχροῦ, μιγνὺς ῥοδίνου γο α.

ἘΓΧΥΜΑΤΙΣΜῸΣ

μάλεως ξηρᾶς.

Θειδακίνης σπέρματος γο η, γλυστρίδος χυλοῦ γο η, ῥοδίνου ἐλαίου λίτραν μίαν, κρόκου γο γ, μήκωνος χυλοῦ γο α´, σικύου ἡμέρου σπέρματος γο β, ἀψινθίου χυλοῦ γο δ, τὰ ὑγρὰ μετὰ τῶν ξηρῶν κεκομμένων καὶ σεσησμένων μίξας ἐν ἀγγείῳ μολυβδίνῳ, ἀποτίθει καὶ ἐπὶ τῆς χρείας, βαλὼν τοῦ φαρμάκου δραχμὰς τρεῖς, ἐλαίου τε ῥοδίνου γο γ, καὶ ὑδρομέλιτος ξέστην ἰταλικόν, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί, καὶ θεραπεύσας, εἰς χλόην ἔξαγε παραποτάμιον, ἢ τὴν ἐν ἕλει, καὶ μὴ τὴν παραθαλάσσιαν.

ἘΓΧΥΜΑΤΙΣΜῸΣ

πρὸς πᾶσαν μάλιν.

Ἀριστολοχείας λίτραν μίαν, ἰσχάδων μεδίμνου τὸ τέταρτον, σαμψύχου γο γ. ταῦτα ἰδίᾳ κόψας ἐπιμελῶς, ἕψε ἐν ὕδατι πυρὶ μαλακῷ δι' ὅλης νυκτός, καὶ ἀπηθήσας ξέστην ἰταλικόν, προσμίξας μέλιτος τὸ τέταρτον, ἐγχυμάτιζε διὰ τοῦ στόματος.

ὅπερ παιόμενον περὶ τὰς πλευρὰς ὡς τύμπανον ἠχεῖ, ψόφον δὲ προσίεται, βήσσειν προθυμούμενον ἀδυνατεῖ, καὶ διαίρει τὸ στόμα, καὶ ἐρεθίζεται πρὸς τὴν βῆχα, οὐ βήσσει δέ, ἀλλ᾽ ὡς ὀστέα καταπεπωκός, ἕστηκε νυσσόμενον. ἐὰν οὖν πάντα ταῦτα ποιῇ κεκράτηται, καὶ ἐγγὺς δεῖ τοῦ διαφωνῆσαι, τῷ τοιούτῳ περιττὸν δεῖ θεραπείαν προσάγαγεῖν. τῷ δὲ μήπω κεκρατημένῳ, δυσχερῶς βοηθήσομεν, ὅμως φάρμακον ἐκθησόμεθα θαυμαστόν, δι᾽ οὗ πολλάκις ἐθεραπεύσαμεν. τοῦτο ὑγιάσει τὸ ζῶον, ἐὰν ἔτι ὕδωρ μόνον ἐκ τοῦ μυκτῆρος στάξῃ. ἔστι δὲ αὐτοῦ ἡ σύνθεσις αὕτη, σταφυλῆς λευκῆς πιεσθείσης, ξέστην ἰταλικὸν γλεύκους ποιήσας, ἐπεμβαλὼν δὲ πευκεδάνου λεπτοτάτου καὶ σεσησμένου κοχλιάρια δύο, ἀριστολοχείας τε τὸ ἴσον, ἐγχυμάτιζε διὰ μυκτῆρος ἀριστεροῦ ἐπὶ ἡμέρας ἑπτά, καὶ διαίτῃ χρῶ λεπτοτέρᾳ. οὕτω γὰρ θεραπευθήσεται τὸ ξηρὸν τοῦ νοσήματος.

ΝΗΦΟΝΤΟΣ ΘΕΡΑΠΕΊΑ

μάλεως ἀρθρίτιδος.

Ἐὰν ἵππος ἀρθρίτιδι νόσῳ πιέζηται, ἢ ἡμίονος, θεραπεύσεις αὐτὸ οὕτω, αἷμα ἀφαίρει ἐκ τῶν μεσοκυνίων, καὶ καῖε τὰ ἄρθρα καυτηρίοις ὀρθοῖς, ἄχρις οὗ ὕδωρ ἐξέλθῃ, εἶτα θύννου ταρίχου λαβὼν λίτραν μίαν, ἔμβαλε χύτρᾳ καινῇ, καὶ ἐπιχέας οἴνου παλαιοῦ κοτύλας τέσσαρας, ἕψη ἕως ἡμισευθῇ, προσμιγνὺς ἐλαίου τὸ ἀρκοῦν, ὀποπάνακος δραχμὰς τρεῖς, ῥόκας δὲ ζωμοῦ τέσσαρας, καὶ ἐγχυμάτιζε ἐφ᾽ ἑκάστῃ ἡμέρᾳ ἡμικοτύλιον. καὶ χειμῶνος μὴ ὕπαιθρον στήσῃς τὸ ζῶον, θέρους δὲ καὶ κολύμβοις χρήσῃ. ἀποσπασθεισῶν δὲ τῶν ἐσχαρῶν ἐκ τῶν ἄρθρων, χρῶ φαρμάκῳ τραυματικῷ τοιῷδε, ἰὸν μίσυ, χαλκῖτιν, ἐξ ἴσου βαλὼν καὶ ἑψήσας, ποιήσας τε κηρωτήν, περίχριε.

ἈΓΑΘΟΤΎΧΟΥ ΕἸΣ

τὸ αὐτό.

Μελανθίου τοῦ συμφυομένου περὶ σίτῳ γο α´, λειώσας, τρίψας, ἔμβαλε εἰς ἡμικοτύλιον οἴνου καὶ ἐλαίου, καὶ προσμίξας ὕδατος τὸ ἴσον, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισίν. ἐὰν δὲ ἡ νόσος πρὸς τὰ ἄρθρα κατασπασθῇ, χρὴ καίειν, μὴ ἀναμένοντα.

πάντων

προτείνοντα κάτω τὴν κεφαλὴν, ἀπὸ τῶν ἐμπροσθίων ποδῶν ἄγοντα τὸν δεσμὸν ἐπὶ τὰ μεσοκύνια, ἵνα ἐπινεύσαντος τοῦ ζώου τὴν κεφαλὴν, ἀποῤῥυῇ πᾶν τὸ ὑγρὸν εἰς τὸ ἔδαφος. ὅταν δὲ τοῦτο ποιήσῃς ἐπὶ τρεῖς ἡμέρας, καὶ μηκέτι φέρηται, θεραπεύσεις τρόπῳ τοιῷδε, γεντιανῆς κοπείσης καὶ σηθείσης κοχλιάριον ἕν, ἀριστολοχείας κοχλιάριον ἕν, ὑδρομέλιτος ξέστην ἰταλικὸν μίξας, ἐγχυμάτιζε μέχρις οὗ ὑγιάσῃς. αὕτη μὲν ὑγρᾶς μάλεως ἐπίγνωσις καὶ θεραπεία τῆς ἀνόσμου, ἐχώμεθα δὲ καὶ τῆς δυσώδους.

ΠΕΡῚ ΜΆΛΕΩΣ ὙΓΡÂΣ
καὶ δυσώδους.

Ὅταν οἱ σαπέντες χυμοὶ γεννήσωσι τὴν ὑγρὰν μάλιν, τουτέστιν αἱμάτι καὶ φλέγμα, καὶ φθάσωσιν ἐκκαῦσαι τοὺς τόπους οὗ ἂν ἐνσκήψωσι, τότε τὸ φερόμενον ὑγρὸν ὄζει, καὶ ἔστι δυσθεράπευτον. θεραπεία δὲ αὐτοῦ ἥδε, ὑδρομέλιτος ξέστας τέσσαρας, καὶ ἐλαίου ὀξύβαφον μίξας, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί. καὶ ὅταν δυσκόλως φέρηται τὸ ὑγρὸν, κράμβας καὶ μαλάχας προεψήσας καὶ πιέσας, βάλλε εἰς ὅλμον κράμβην μίαν, μαλάχην μίαν, πράσα τρία, ἀξουγγίου παλαιοῦ χοιρείου λίτραν μίαν, καὶ κόψας ὁμοῦ, καὶ ποιήσας κολλύρια ἐπιμήκη πέντε ἢ ἑπτὰ διαστολέα τε λαβὼν, καὶ καταλαβόμενος τὴν γλῶτταν, δίδου καταπίνειν, καὶ ὅταν ὀλισθήσωσι, κονδῖτον μετὰ τοῦ τρυγὸς ἐγχυμάτισον, τοῦτο ποιῶν ἐπὶ τρισὶν ἡμέραις, θεραπεύσεις. ἐγχυμάτιζε δὲ καὶ διὰ οἴνου παλαιοῦ τῇ τετραφαρμάκῳ, καὶ ὑγιάσεις τὸ ζῶον, ἐὰν μὴ τὸ ἕλκος προεργασάμενον ᾖ. νομῆς δὲ γινομένης, μελικράτῳ καὶ τετραφαρμάκῳ χρῶ μόνοις. εἰπόντες δὲ περὶ μάλεως διαφορᾶς ἀνόσμου καὶ δυσώδους, καὶ τῆς τούτων ἐπιγνώσεως καὶ θεραπείας εἴπωμεν καὶ περὶ ξηρᾶς.

ΠΕΡῚ ΜΆΛΕΩΣ ΞΗΡÂΣ.

Γίνεται δὲ καὶ ἡ ξηρὰ, χυμῶν σαπέντων καὶ ἐνστάντων τοῖς περὶ τὴν καρδίαν καὶ πνεύμονα τόποις, οὐ μὴν ἀπὸ φλέγματος καὶ αἵματος, ἀλλ᾽ ἀπὸ τῶν δύο χολῶν, διὸ καὶ ξηρὰ τυγχάνει. ἐπιγνωσθήσεται οὖν τοῦτον τὸν τρόπον, ἀπισχναίνεται τὸ ζῶον ἀθρόως, τὰς λαγόνας ἀναστέλλει, τὸ δέρμα διατεταμένον ἔχει.

ῥαντον, ἐπὶ νομὴν ἐξάγουσιν. ἐὰν δὲ μὴ ὦσι σταφυλαί, τοῖς προγεγραμμένοις χρῆσθαι δεῖ βοηθήμασι. δοκεῖ δέ τισιν ὠφελεῖν καὶ τὸ ὑποκαπνίζειν ὀρίγανον διὰ τῶν μυκτήρων, τὴν κεφαλὴν χύτρᾳ καινῇ μασχάλην ἐχούσῃ καλύψαντας παρὰ μίαν ἡμέραν ἐπὶ πλείονας ὥρας. τοὺς γοῦν συνεχισθέντας ἵππους ῥᾳδίως φασὶν εἰς τοῦτο μὴ ἐμπίπτειν τὸ πάθος.

ΘΕΟΜΝΉΣΤΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤῸ ΠΆΘΟΣ.

Μάλις ἐστὶ χυμῶν σεσηπότων δυσδιαφορήτων γένεσις καθ᾽ ὃ μέρος γίνεται τοῦ σώματος, ἐκεῖθεν τὴν ἰδικὴν ἐπωνυμίαν ἔχουσα. διαφοραὶ δὲ τοῦ νοσήματος δύο, ἡ μὲν γὰρ αὐτῶν ἐστι ξηρά, ἡ δὲ ὑγρά. καὶ ἡ μὲν ξηρὰ ἀφανής, ἡ δὲ ὑγρὰ φαινομένη. φέρεται γὰρ διὰ μυκτήρων ἰχὼρ φλεγματώδης, εἰς τὸ λευκὸν χρῶμα μεταβεβλημένος, ὅθεν καὶ μάλιν τὸ πάθος καλοῦσιν, ἀπὸ τῆς χρόας τὴν ὀνομασίαν ἐπιθέντες. ὁ δὲ ἐκ τούτου τοῦ πάθους φερόμενος ἰχὼρ, εἴτε διὰ ῥινῶν, εἴτε δι᾽ ὑπερῴας, ἄοσμος μὲν ὤν, εὐκόλως θεραπεύεται. δύσοσμος δὲ, δυσκόλως, δι᾽ αἰτίαν τοιαύτην, ἕως μὲν ἄοσμος φέρεται, οὐκ ἔστιν ἐξ ἕλκους, ἀλλ᾽ ἐκ περιπτώματος, ὃ χρὴ καθαίρειν καὶ ἐκφράττειν φαρμάκοις, καὶ βόποις τοῖς γραφησομένοις.

ΦΆΡΜΑΚΟΝ ΜΆΛΕΩΣ ὙΓΡΑ͂Σ,

ἀνόσμου, καθαρτικὸν καὶ ἐκφρακτικόν, ὃ χρὴ καὶ διὰ στόματος καὶ διὰ μυκτήρων ἐγχυματίζειν.

Δεῖ λαβόντα ᾠὰ τρία, καὶ τούτων τὰ ἔνδον κενώσαντα, τὰ ἔλυτρα πληροῦν πάλιν. τὰ μὲν δύο μέλιτος, τὸ δὲ ἓν γάρου, καὶ αὖθις χεῖν ἔνθα, καὶ τὸ ὑγρὸν αὐτῶν προεχύθη, εἶτα τέταρτον ξέστου παλαιοῦ ἐλαίου προσαναμίξαντα, ἢ κυπρίνου ἐλαίου τὸ ἴσον, ἰρίνου τὸ αὐτὸ ἐπὶ τούτοις, πεπέρεως λεπτοτάτου κοχλιάρια τρία, κοκκοείζου λεπτοτάτου τὸ ἴσον, ἴρεως ἰλλυρικῆς τὸ ἴσον, ταῦτα πάντα ἀνακόψαντα ἐγχυματίζειν, ἢ διὰ τοῦ στόματος ἢ διὰ τῶν μυκτήρων, καὶ ἀνακρεμᾶν εἰς σύμμετρον ὕψος τὴν κεφαλὴν ὡς ἡμιώριον, καὶ οὕτω ῥοχάζειν ποιεῖν τὸ ζῶον. ἐπειδὰν δὲ ῥοχάσῃ, χρὴ τῷ ἱμάντι τῆς φορβειᾶς δεσμεῖν,

προσ

καθαιρεθείσης. διαφθείρεται γὰρ τὸ ζῶον. καὶ τὴν ἀναφύσησιν δὲ τὴν διὰ τῶν ῥινῶν, ὁμοίως ἐν ἀρχῇ καὶ πρὸ τοῦ κατακρατεῖσθαι ἰσχυρῶς τὴν κεφαλὴν παραλάμβανε. ἵππος μὲν δή, χαλεπῶς ἀπὸ τοῦ πάθους τούτου διασώζεται. ἡμίονος δὲ οὐ ῥᾷον, διὸ καὶ ἐξ ἑτεροφυοῦς γίνεσθαι ζώου. καὶ Πύθων οὖν τῆς θεραπείας ἄψυχον εἰσηγεῖται τρόπον, τέμνοντα τοῦ στήθους τὴν βύρσαν, καὶ τοὺς χιτῶνας ἐντιθέναι πόρπακας λίνους, ἢ καναβίνους περὶ ἑκάτερα τῆς τομῆς δύο, καὶ οὕτως ἐμβάλλειν ἑλλεβόρου λευκοῦ στατῆρα αἰγύπτιον, εἶτα ἀποδήσαντα τοὺς πόρπακας ἐᾶσαι, μέχρις οὗ ἂν αὐτόματοι ἐκπέσωσι. χεῖρα δὲ μὴ προσάγειν τῷ τόπῳ, μηδὲ εἰς ὕδωρ ἐμβιβάζειν. διδόναι δὲ καὶ νίτρου ὠμοῦ κεκομμένου ὁλκὴν μίαν καὶ ἡμίσειαν ἐν οἴνου κοτύλῃ κεχλιασμένου, διὰ μυκτῆρος. καὶ αἱ κριθαὶ δὲ καὶ ὁ χόρτος καταρραινέσθωσαν τῷ νίτρῳ. ἀψύρτῳ δὲ δοκεῖ καὶ εἰς τὸν πότον τὸ νίτρον βάλλεσθαι. ἡ δὲ ξηρὰ μάλις ὗσιν ἐπικινδυνωτάτη, μικροῦ δεῖν καὶ ἀθεράπευτος. διὰ μὲν γὰρ τῶν μυκτήρων φέρεται, οὐδὲν· τὴν κεφαλὴν δὲ περιίησι καὶ λεπτύνεται. καὶ ταῦτα τροφὴν λαμβάνων δι' ἀπεψίαν, αἵ τε λαγόνες περιταθεῖσαι, εἰσὶ τυμπανοειδεῖς, μετέωροι, καὶ ἡ βύρσα σκληρύνεται ὅλος τε συντείνεται. Εὔμηλος μὲν οὖν ὁ θηβαῖος, φησὶ μὴ θεραπεύεσθαι τὸν τοιοῦτον, διὸ καὶ τὸν πνεύμονα ῥῆξιν λαμβάνειν. γεγράφθω δὲ καὶ τοῦτο τὸ βοήθημα, ὅταν τις ἐν ἀρχαῖς αἴσθηται αὐτὸν ἁλίσκεσθαι μέλλοντα τῇ μάλει, καὶ ὑποβήσσοντα, μάννης καὶ λιβάνου ἀνὰ τριόβολον τρίψας ἐν οἴνου εὐώδους κοτύλῃ μιᾷ, ἐγχυματιζέτω διὰ τῆς ῥινός. βοηθεῖ δὲ ἐὰν καὶ ῥαφανίδας κατατεμὼν εἰς λεπτὰ, ἐγκαταμίξῃς ταῖς κριθαῖς αἷς παραβάλλεις, δίδου δὲ καὶ νίτρου κεκομμένου ὁλκὴν μίαν καὶ ἡμίσειαν, ἐν οἴνου κοτύλῃ διὰ μυκτήρων. ἔστω δὲ ὁ οἶνος κεχλιασμένος. μὴ ἀγνοείσθω μέντοι καὶ τοῦτο, ὡς τὰς κριθὰς καὶ τὸν χόρτον δεῖν καταρραίνοντας νίτρῳ παραβάλλειν. ἴστεον δὲ ὅτι οἱ ἐπὶ τῆς ὑγρᾶς μάλεως ἐγχυματισμοί, ἁρμόζουσι καὶ ἐπὶ τῆς ξηρᾶς. ἔνιοι δὲ καὶ τοῦτο δοκιμάζουσι τὸ βοήθημα ὧδε· τῶν μαλιώντων σταφυλὰς λευκὰς ἐκθλίψαντες καὶ συναγαγόντες, οἴνου ἀπ' αὐτῶν κοτύλας δύο, ἀριστολοχείας τε τῆς παχείας κόψαντες καὶ σήσαντες, κοχλιάρια δύο ἐγχυματίζουσι διὰ μυκτήρων ἐπὶ ἡμέραις ἑπτά, εἶτα καθά

ραντες

αὐτὸ τύχῃ τοῦ σώματος, καὶ διέρχεται ὀδυνώδη τινά. χρὴ οὖν τοῖς τοιούτοις τροφὰς προσάγειν παντοίας εἰς κόρον, ἐγχυματίζειν τε διὰ στόματος χυλῷ πτισάνης, ἐκ βρώμου διηθημένης, καθεψηθέντος ἐν αὐτῇ, μάλιστα μὲν κῴου λευταβίου καλῶς κεκαθαρισμένου καὶ μεμαδισμένου. εἰ δὲ μή, ὄρνιθος, λύειν τε ὕδατι θερμῷ. εἰ δὲ ἀρθρῖτις ἐνοχλοίη, παχεῖς ἀποσάζουσιν ἰχῶρας, ὑπόκιρροι διὰ μυκτήρων, καὶ καρηβαρεῖ καὶ λεπτύνεται αὐτοῦ τὸ σῶμα, διὰ τὸ μὴ ὀρέγεσθαι τροφῆς, καὶ περὶ ἑκάτερα τῶν ἄρθρων γίνεται χαλάσματα. ἐὰν δὲ κατακλιθῇ ἐπὶ τὸ μέρος ἐφ᾽ ὃ κατάκειται, ἑλκοῦται, διὰ τὴν ὑπὸ τὴν βύρσαν ἀνάχυσιν εἶναι, τά τε ἄρθρα περιέχεσθαι χυμῷ δριμυτάτῳ. ἀγγεῖον γὰρ οὐκ ἔχοντος τὸ χοληδόχον παρὰ τὸ ἧπαρ τοῦ ζώου τούτου, ὁ ἐκδεχόμενος τὸν τῆς χολῆς χυμὸν τόπος ἐκλελυμένος ὤν, καὶ πάθος ἀναδεξάμενος, τὴν ἔκκρισιν ἀτακτοτέραν ποιησάμενος, ἀναμιγνύει τῷ αἵματι. διὰ τῶν ἀρτηριῶν οὖν τῶν πρὸς τὴν ῥάχιν προσηρμοσμένων, προσενεχθεὶς ὁ χυμὸς ἐπὶ τὸν νωτιαῖον μυελόν, αὐτόν τε καὶ τὸν ἐγκέφαλον φθείρει, ὡς τὴν χορηγίαν καὶ οἱονεὶ τροφὴν ἀπὸ τοῦ νωτιαίου μυελοῦ λαμβάνει, διὸ μάλιστα τὴν κεφαλὴν βαρύνεται, καὶ τὴν γλῶτταν πάσχει. θεραπεύειν οὖν χρή, αἵματος ἀφαιρέσει ἀπὸ τῶν ἐν τῷ προσώπῳ φλεβῶν ὑπὸ τὸ μῆλον, καὶ τῶν ἐν τῷ στήθει, ἔτι δὲ καὶ ἀπὸ τῶν ἐν τοῖς μεσοκνημίοις. προσφέρειν δὲ τροφὴν παντοίαν, καὶ ἐγχυματίζειν διὰ μυκτήρων, οἴνῳ ἡψημένου ἐν αὐτῷ κενταυρείου καὶ ἀψινθίου καὶ πευκεδανίου, καὶ ἑτέρους δὲ ποιεῖν ἐγχυματισμούς. τοὺς δὲ κολοκυντίδος αἰγυπτίας σπέρμα, ὅσον ὀξυβάφου μέτρον φρύξας καὶ κόψας, καὶ οἴνου λευκοῦ εὐώδους κοτύλαις δυσὶ μίξας, καὶ ἐν ὀθονίῳ διηθήσας, ἔγχει διὰ τοῦ δεξιοῦ μυκτῆρος. τῇ ἐν τῇ ψυχᾷ δὲ τῆς κολοκυντίδος δύνασαι καὶ μὴ πεφρυγμένης, ἀντὶ τοῦ σπέρματος χρήσασθαι, ἢ συκίου ἀγρίου ῥίζαν κόψας λεπτῶς ὅσον ἥμισυ μνᾶς, ἐπίχεε ὕδατος κοτύλας δύο, καὶ βρέξας νύκτα μίαν, εἶτα ἀναζέψας διήθησον, μίξας τε νίτρου ὁλκὰς τρεῖς κεκομμένου, καὶ καταλαβὼν τὴν γλῶτταν, ἐγχυμάτιζε διὰ στόματος τὸ ἥμισυ τοῦ φαρμάκου ἐπὶ ἡμέρας ἑπτά. τὸ δὲ λοιπὸν ὡς ποτίζειν, ὕδατι μίσγε. φλεβοτομείσθω μέντοι κατ᾽ ἀρχάς, ὡς ὅταν ᾖ χρόνιον τὸ πάθος, ἡ φλεβοτομία περιττὴ τῆς δυνάμεως

καθαι-

θυούσης, χορτάζοντας τροφῇ παντοδαπῇ, καὶ ποτίζοντας τὸ νίτρον, δίψαν ἐγγινῶντας, καὶ ῥαφανίδας παραβάλλειν. ὅσοι δὲ ἐν ταῖς ἀγέλαις μαλιῶσι, τούτους δεῖ ἀποκρίνειν. διαδίδοται γὰρ τὸ πάθος, καὶ δυσχερῶς τοὺς λοιποὺς ἀδικοῦσι.

ἹΕΡΟΚΛΈΟΥΣ ΠΕΡῚ ΜΆΛΕΩΣ ὑγρᾶς, ὑποδερματίτιδος, ἀρθρίτιδος καὶ ξηρᾶς.

Τῆς καλουμένης μάλεως, ὃ μέγιστον ἂν νομίζοιτο τῶν ἀρρωστημάτων καὶ σφαλερώτατον, ἔστι γένη τέσσαρα. ἡ μὲν γάρ ἐστιν ὑγρὰ, ἡ δὲ ὑποδερματῖτις, ἡ δὲ ἀρθρῖτις, ἡ δὲ ξηρά. τούτων αἱ μέν εἰσιν ἀθεράπευτοι, ἡ δὲ δυσθεράπευτος, ἡ δὲ ἀθεράπευτος. καὶ ἡ μὲν ὑγρὰ, ἐξ ἧς διὰ μυκτήρων λεπτὸς καὶ ὑδατώδης ἰχὼρ φέρεται, εὐίατός ἐστιν. ὁμοίως καὶ ἡ ὑποδερματῖτις, ἐξ ἧς συμβαίνει ψωρίασις. ἡ δὲ ἀρθρῖτις δυσθεράπευτος, ἡ δὲ ξηρὰ, ὡς λέγουσιν ἀθεράπευτος. ἐὰν οὖν τῇ ὑγρᾷ μάλει περιπέσῃ ζῶον, βήσσει τε καὶ διὰ μυκτήρων ὑγρὸν ἰχῶρα φέρει, καὶ τροφὴν οὐ προσίεται, ἀλλ' ἀτονεῖ, καὶ τῷ σώματι συμπίπτει, καὶ τὴν κεφαλὴν καὶ τὰ ὦτα οὐκ ἀνίστησι. θεραπεύεται τοίνυν ἴρεως, κρόκου, κασίας, σμύρνης, κινναμώμου, ἀνὰ ὁλκὴν μίαν τρίψας, καὶ μετὰ τούτων δαφνίδας καὶ σελίνου σπέρμα εἰς θυίαν, ἐπιχέας τε μέλιτος ἡμικοτύλιον, καὶ οἴνου εὐώδους κοτύλην ἔγχει διὰ τοῦ μυκτῆρος τοῦ εὐωνύμου, ἐγχυμάτιζε καὶ διὰ τοῦ στόματος χυλὸν κωλῆνος χοιρείου μετὰ τῶν ποδῶν ἑψηθέντος, ὥστε κοτύλας δύο διηθήσας καὶ ἐπιχέας μέλι, καὶ συμμίξας ὠὰ, καὶ ἀνακόψας. τὸ δὲ αὐτὸ καὶ διὰ τοῦ μυκτῆρος τοῦ εὐωνύμου ἐγχυματίζειν λυσιτελές. ὡς δὲ καὶ τὴν ἀρτηρίαν καταλεανθῆναι, πολύσπερμον ἐμβαλὼν εἰς θυίαν, καὶ τρίψας λίαν, καὶ ἐπιχέας ἡμικοτύλιον οἴνου, ἔγχει διὰ τοῦ ἀριστεροῦ οἴνου μυκτῆρος. ἢ εἰ βούλει ἑτέρου, ἀριστολοχείας ῥίζαν τρίψας, καὶ οἴνου εὐώδους ἐπιβαλὼν ἡμικοτύλιον, ἔγχει διὰ μυκτῆρος ἢ κυκλαμίνου ῥίζαν ὅσον ὁλκὰς τρεῖς τρίψας, ἐν οἴνου ἡμικοτυλίῳ ἐγχυμάτιζε ὁμοίως, εἶτα πρόαγε ἐπὶ νομήν. εἰ δὲ ὑποδερματῖτις εἴη, ὡς Ἱερώνυμος ὁ Λίβυς φησίν, ἀναπνεῖ διὰ μυκτήρων ὀσμώδη καὶ πυώδη, καὶ βήττει καὶ ἰσχναίνεται, καὶ ῥήγνυται οὖ

γράπτεται. δύσχρηστον δὲ καὶ τοῦτο προσφέρειν, ὅταν ᾖ ὁ καιρὸς τοῦ φθινοπώρου, σταφυλὴν λευκὴν ἀποθλίψαι, καὶ ποιῆσαι πλῆθος κοτυλῶν δύο, καὶ τοῦτο μίξαντα ἀριστολοχείας κεκομμένης καὶ σεσησμένης, κοχλιάρια δύο ἐπίμεστα ὡσαύτως ἐγχυματίζειν διὰ τῆς ῥινὸς καθ' ἡμέραν, μέχρι ἡμερῶν ἑπτά.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ ΠΕΡῚ ΜΆΛΕΩΣ ΞΗρᾶς, ὑγρᾶς, ἀρθρίτιδος, ὑποδερματίτιδος.

Ἔστι μάλεως γένη τέσσαρα. ἡ μὲν γάρ ἐστιν ὑγρὰ, ἡ δὲ ξηρὰ, ἡ δὲ ἀρθρῖτις, ἡ δὲ ὑποδερματῖτις. τούτων, αἱ μὲν εἰσὶν εὐθεράπευτοι, ἡ δὲ δυσθεράπευτος, ἡ δὲ ἀθεράπευτος. εὐθεράπευτοι μὲν ἥτε ὑγρὰ, ἧς καὶ σημεῖα φέρεται διὰ τῶν ῥινῶν, ὑγρὸν, λεπτὸν, ὅμοιον ὕδατι. καὶ ἡ ὑποδερματῖτις, ἐξ ἧς συμβαίνει ψωρίασις. δυσθεράπευτος δὲ ἡ ἀρθρῖτις, καθὼς γέγραπται. ἀθεράπευτος δὲ ἡ ξηρὰ, ἧς διὰ τῶν μυκτήρων φέρεται οὐδέν. τρώγον δὲ καὶ πῖνον ἀπισχναίνεται τὸ ζῶον, καὶ πέψιν οὐ λαμβάνει, αἵ τε ῥῖνες αὐτοῦ ἀνεῳγμέναι εἰσί, καὶ φυσᾷ βαρέως, ἑλκόμενόν τε οὐκ εὐχερῶς, ἀλλὰ ὅλον συστρέφεται, αἵ τε λαγόνες παρατεταμέναι εἰσί, τυμπανοειδεῖς, μετέωροι, καὶ ἡ βύρσα σκληρύνεται. τῷ τοιούτῳ οὐκ ἔστι θεραπεία, ἀλλὰ διαφωνεῖ ὡς εἴρηται καὶ Εὐμήλῳ τῷ Θηβαίῳ. περὶ δὲ ξηρᾶς μάλεως οὔτε ἐγὼ ἰατρός, οὔτε ἄλλός τις. τὴν δὲ αἰτίαν δηλώσω, ὅτι ὁ πνεύμων ῥήγνυται πρὸς τὴν δεξιὰν πλευρὰν, καὶ ἔστι πλευριτικός. βοηθήματα δὲ καὶ τούτῳ ταῦτα, ὡς αὖτις αἴσθηται ἑαλωκότα τὸν ἵππον τῇ μάλει, καὶ βήσσοντα, μάννης καὶ λιβάνου ἀνὰ τριώβολον ἐν οἴνου τρίψας κοτύλῃ μιᾷ, ἐγχυματιζέτω διὰ τῆς ἀριστερᾶς ῥινός. βοηθείτω δὲ καὶ ῥαφανὴ κατατέμνων εἰς λεπτὰ, καὶ μιγνὺς ταῖς κριθαῖς, καὶ παραβάλλων. εὑρέθη δὲ καὶ τοῦτο τοῖς πρὸ ἡμῶν τὸ ὑποκαπνίζειν τὴν μάλιν, ἔν τε τοῖς ἵπποις καὶ τοῖς ἄλλοις ὑποζυγίοις, ὅσα μώνυχας ὁπλὰς ἔχει, τῇ ὀριγάνῳ καλύψαντα τὴν κεφαλὴν ἐν χύτρᾳ καινῇ μαρίλλαν ἐχούσῃ, καθ' ἡμέραν μὲν μὴ πλέον ἡμερῶν τριῶν. παρ' ἡμέραν δὲ, ἐπὶ πλείονας. μάλιστα δὲ ἔστω ὀρεῖτις ὀρίγανος. μάλεως δὲ γινομένης ἐν τῷ πώλῳ ἔτι νεογνῷ ὄντι καὶ τιτθευομένῳ, ἐπιμελεῖσθαι δεῖ τῆς τιτ-

θευού-

ὅτι οἱ ἐγχυματισμοὶ οἱ πρὸ ἡμῶν. ἡμέτερα δὲ εὑρήματα
ταῦτα, κολοκυντίδος αἰγυπτίας σπέρμα, ὅσον ὀξύβαφον κε-
κομμένον καὶ πεφρυγμένον ἐν οἴνῳ λευκῷ εὐώδει, ὅσον κοτύ-
λαις δυσὶ λειῶσαι, καὶ διηθήσαντας ἐν ὀθονίῳ, ἐγχυματίζειν
διὰ τῆς δεξιᾶς ῥινός, καὶ αὐτῇ δὲ τῇ ἐντεριώνῃ χρῆσθαι πεφρυγ-
μένῃ. ἄριστον δὲ καὶ τοῦ ἀγρίου συκίου τὴν ῥίζαν κόψαι λεπτήν,
ὅσον ἡμίμνον, ἐπιχέαι τε ὕδατος κοτύλας δύο, καὶ βρέχειν νύκ-
τα μίαν, καὶ ἀνατρίψαντας διηθῆσαι, τούτῳ μιγνύειν νίτρου
κεκομμένου ὁλκὰς τρεῖς, εἶθ' οὕτως καταλαβομένους τὴν γλῶτ-
ταν ἐγχυματίζειν διὰ τοῦ στόματος ἡμέρας ἑπτὰ τὸ ἥμισυ τοῦ
φαρμάκου, τὸ δὲ λοιπὸν ποτίζοντας, τῷ ὕδατι μιγνύειν, φλε-
βοτομεῖν δὲ ἐν ἀρχῇ. ἐὰν δὲ ἐγχρονίσῃ τὸ πάθος, μηκέτι. μειωθεί-
σης γὰρ τῆς δυνάμεως, συμβαίνει διαφωνεῖν τὸ ζῶον. ὡσαύτως
δὲ ἐν ἀρχῇ τὸν ἐγχυματισμὸν ποιεῖσθαι περὶ τὸ κατακρατεῖσθαι
τὴν κεφαλήν, καὶ ἀναφυσᾶν διὰ τῶν ῥινῶν, οὐ συμβεβηκότος
δεῖ ἀπογινώσκειν. καὶ τοῦτο δὲ γίνωσκε, ὡς ἐκ ταύτης τῆς νό-
σου δυσκόλως ἀναφέρει ἵππος καὶ καθαίρεται. ἡμίονος δ' οὐχ
οὕτως, διὰ τὸ ἔχειν ἐξ ἑτερογόνου ζώου τὴν σύστασιν, καὶ ἐγκρα-
τεστέραν εἶναι τὴν ἀρθρῖτιν. βοήθεια δὲ καὶ τούτῳ, ἐλλεβόρου λευ-
κοῦ στατῆρα αἰγύπτιον, τέμνοντας τοῦ στήθους τὴν βύρσαν, καὶ
τοὺς χιτῶνας ἐπιτιθέναι κομποβήλυκα λινοὺς, ἢ καννάβι-
νους περὶ ἑκάτερα τῆς τομῆς δύο, καὶ οὕτως ἐντιθέναι τὸν ἐλλέβορον,
καὶ ἀποδῆσαι τοὺς πόρπακας καὶ ἐᾶσαι, μέχρις οὗ αὐτόματοι ἐκ-
πέσωσι. χεῖρα δὲ μὴ προσάγειν τῷ τόπῳ, μὴ δὲ ἐμβιβάζειν
εἰς ὕδωρ. διδόναι δὲ καὶ νίτρου ὠμοῦ τετριμμένου διὰ τῆς ῥινός,
ἐν οἴνου κοτύλῃ ὅλην μίαν. ἔστω δὲ ὁ οἶνος κεχλιασμένος. καὶ
τὰς κριθὰς δὲ καταρραίνειν τῷ νίτρῳ, ὡσαύτως καὶ τὸν χόρτον
καὶ παραβάλλειν, καὶ εἰς τὸ ποτὸν δὲ βάλλειν νίτρον. ὅσοι δέ εἰσιν ὡς
χοτετομημένοι, οὐκ ἐμπίπτουσιν εἰς τὸ πάθος τοῦτο ῥαδίως.
συμβαίνει δὲ ὡς ἐπίπαν ἐν τοῖς πώλοις, ὅταν ἐκληφθῶσιν ἐκ
τῆς ἀγέλης, καὶ εἰς τὴν στάσιν ἔλθωσιν ἐγγίνεσθαι ἀνάχυσιν τῆς
ἀρθρίτιδος, καὶ οὕτω διαφωνοῦσιν ἐν τῷ χειμῶνι. ἐπιγνωσθήσε-
ται δὲ πρὸ τοῦ φέρεσθαι διὰ τῶν ῥινῶν ὅταν ἡ βήσσων, ὥστε ὑπο-
λαμβάνειν ὀστέα καταπεπωκέναι καὶ δύσγνωστον εἶναι ὅτι ἔχεται
ὑπὸ τῆς ἀρθρίτιδος, καὶ ὡς τάχιστα δεῖ βοηθεῖν καθὼς ἄνω γέ-

ἌΛΛΟ.

Γάλακτος αἰγείου, λίτρας τὸ ἥμισυ, ἀμύλου τὸ ἀρκοῦν, ὠὰ τέσσαρα, ἐλαίου κύαθον ἕνα, βοτάνης περδικιάδος, ἣν ῥωμαῖοι οὐρκιόλαρ καλοῦσι, τὸν χυλὸν αὐτῆς τοῖς ἄλλοις εἴδεσι μίξας, καὶ προποτίσας ἐντεῦθεν ἐπὶ ἓξ ἡμέραις, θᾶττον θεραπεύσεις.

ΧΡΊΣΜΑ ΠΡῸΣ ΠΥΡΕΤῸΝ.

Ῥόδων λίτραν μίαν, ἐλαίου παλαιοῦ λίτραν μίαν, ὄξους λίτραν μίαν ἥμισυ, ἐλαίου κυπρίνου, λίτραν μίαν ἥμισυ, ἀνδράχνης καὶ καρύων παλαιῶν λίτρας τὸ ἥμισυ, ἡδυόσμου καὶ πηγάνου τὸ ἀρκοῦν σύντριψον, καὶ οὕτως ἐπίχρισον.

ἌΛΛΟ ΠΡΟΠΌΤΙΣΜΑ.

Πυραίνοντα ἵππον, ἐξ ἀνάγκης χρὴ φλεβοτομῆσαι, καὶ προποτίσαι οὕτως, γεντιανῆς γο͞ ἕξ, ἀριστολοχείας γο͞ δ´, ὑσσώπου γο͞ β´, ἀψινθίου γο͞ β´, σύκων γο͞ δύο, σελινοσπέρμου γο͞ ἕξ, πηγάνου δεσμὴν μίαν εἰς χύτραν βαλὼν μετὰ ὕδατος, ἕψει ἄχρις ἂν ἀποτριτωθῇ, καὶ ὅταν ἴδῃς μελανίζον, γνῶθι δεόντως τὸ βοήθημα ἑψηθὲν, κἀκεῖθεν ἡμίναν λαβὼν, διὰ κέρατος προπότισον.

ἌΛΛΟ ΠΡΟΠΌΤΙΣΜΑ ἉΠΛΟΥ͂Ν.

Τίλεως χυλὸν καθαρείως δινθῶν, καὶ δεσμὴν σελίνου, καὶ πηγάνου, καὶ μελιλώτου καὶ ὑσσώπου, συνεψήσας καὶ συμμίξας, διὰ κέρατος δίδου.

ἌΚΩΠΟΝ ΕἸΣ ΠΥΡΕΤῸΝ.

Ἰρίνου ἐλαίου γο͞ δ´, ὀποπάνακος γο͞ α´, δαφνίνου ἐλαίου γο͞ δ´, γλευκίνου ἐλαίου γο͞ δϛ´, κασορείου γο͞ δ´, ὑσσώπου γο͞ δ´, ἀξουγγίου λίτραν μίαν, γο͞ μίαν, ἀψινθίου ποντικοῦ γο͞ ϛ´.

ἌΚΟΠΟΝ ἌΛΛΟ ΠΡῸΣ ΠΥΡΈΣΣΟΝΤΑΣ.

Ἀβροτόνου γο͞ β´, ἀφρονίτρου γο͞ β´, ἀδάρκης γο͞ β´, δαφνίδων ὑγρῶν γο͞ β´. ταῦτα μίξας σύγχρει.

Ἐγχυματίζειν δεῖ τὸν πυρέττοντα ἵππον ὠοῖς τρισί, ῥοδίνου οὐγγίαις δυσίν, οἴνου λευκοῦ καὶ λεπτοῦ ὑδαροῦς λίτρᾳ μιᾷ, καὶ ἴσως ἐν δυσπνοίᾳ, κριθὰς μὴ διδόντα, ἢ χόρτον μόνον. ψυχρὸν δὲ ὕδωρ συνεχέστερον προσάγειν, κἂν μὴ βούληται πιεῖν, τὸ στόμα διανοίγοντα αὐτοῦ, συνεχέστερον κλύζειν. ὅταν δὲ καταστῇ, μετὰ ἡμέρας τρεῖς, κριθὰς παραβάλλειν ἐκ προσαγωγῆς.

ΠΕΛΑΓΩΝΙΟΥ ΠΡΟΣ ΠΥΡΕΤΟΝ ΕΝΔΟΤΕΡΟΝ.

Τραγακάνθης γο̄ μίαν, ὁρμίνου σπέρματος γο̄ δύο, ῥοὸς συριακοῦ γο̄ δύο, πεπέρεως λευκοῦ γο̄ μίαν, ἑψήματος λίτρας δύο, ὀποπάνακος γο̄ γ̄, σελίνου σπέρματος γο̄ βς´, σμύρνης τρωγλίτιδος γο̄ τέσσαρας, χαμαίδρυος γο̄ β̄, χαμαιμήλου γο̄ γ̄, λιβανωτοῦ ἄρρενος γο̄ τέσσαρας, πεπέρεως μέλανος γο̄ β̄, γεντιανῆς τὸ ἥμισυ. ταῦτα πάντα συγκόψας, κατάχρισον ὅλον τὸ ζῶον.

ΑΛΛΟ ΠΡΟΣ ΠΥΡΕΤΟΝ ΚΑΙ ΛΕΠΤΟΤΗΤΑ.

Εἰ ἵππος πυρετταίνοι, ἢ λεπτός ἐστιν ἢ πόνῳ τινὶ ἐνδοτέρῳ καταπονοῖτο, μάννης γο̄ β̄, λιβάνου οὐγγίας ςς´, ἴρεως ἰλλυρικῆς, τὸ λεγόμενον ἄγριον κρίνον, λίτραν τὸ ἥμισυ, πεπέρεως γο̄ ᾱ, κόκκων δάφνης γο̄ ᾱ, σελίνου σπέρματος γο̄ ᾱ, συγκόψας, καὶ μετὰ ἑψήματος μίξας, προπότισον.

ΑΛΛΟ ΠΡΟΠΟΤΙΣΜΑ.

Γάλακτος ὀνείου λίτραν μίαν, ἐλαίου κυάθους δύο, κρόκου γράμμα ἕν, σμύρνης γράμματα β̄, σελινοσπέρματος κοχλιάριον μεστόν. ταῦτα πάντα λειώσας, καὶ συμμίξας τῷ γάλακτι καὶ τῷ ἐλαίῳ, ἐγχυμάτιζον. δίδου δὲ καὶ ἄλευρον σίτινον μετὰ ὕδατος κοχλιαρίου ἑνὸς χειμῶνος. εἰ δὲ θέρος ἐστὶν ἀλεύρῳ κριθίνῳ μετὰ ψυχροῦ ὕδατος ἐγχυμάτιζον. εἰ δὲ ἔχει τὰς λαγόνας τεταμένας, καὶ μὴ παύηται ὁ πυρετός, ἀνάγκη αὐτὸν καυστηριασθῆναι, καὶ οὕτως ἐπιμελείας τυχεῖν.

Ἄλλο.

ἈΝΑΤΟΛΊΟΥ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Ἐπιγνώσῃ τὸν πυρέσσοντα ἵππον, καὶ ἐκ τοῦ τὴν κοιλίαν ὑποχωρεῖν καὶ ἀφοδεύειν πυκνά. θεραπευτέον οὖν αὐτὸ λουτρῷ θερμῷ θερείας, χειμῶνος δὲ θαλπτέον ὡς μὴ ῥιγῶσαι. καὶ τροφὴν ὀλίγην ὀρόβων, ἢ πυρίνων ἀλεύρων δοτέον, καὶ ποτὸν ὕδωρ χλιαρὸν προσκομιστέον, καὶ διὰ κοιλίας καθαρτέον, αἷμά τε ἐκ τοῦ τραχήλου, ἢ τῶν περὶ τὴν φάρυγγα καὶ τὸ στῆθος φλεβῶν ἀφαιρετέον, τά τε γόνατα χριστέον ὄξει θερμῷ. ὅταν δὲ ἐρρῶσθαι δοκῇ, λοῦσον ὕδατι θερμῷ. ἐὰν δὲ διὰ κόπον πυρέττῃ καὶ ἀπισχνωθῇ, γάλακτος αἰγείου κοτύλην μίαν, καταστάτου ἀμύλου τὸ ἀρκοῦν, ὠὰ τέσσαρα, ἀνδράχνης κοπείσης τὸν ὀπὸν μίξας ἅμα, ἔγχει ἐπὶ ἡμέραις τρισὶν ἢ καὶ πλείοσι διὰ τοῦ στόματος ἕως ἂν ὑγιάνῃ. ἐὰν δὲ δι' ἐπιφορὰν παρισθμίων, ἢ τῶν περὶ τὴν κεφαλὴν πυρέττῃ, θαλπτέον αὐτόν, καὶ τὴν ὑπερῴαν ἁλῶν μετὰ ὀριγάνου καὶ ἐλαίου καὶ πίσσης μιγέντων, ὁμοῦ χριστέον. ὕδατι δὲ θερμῷ θερμαντέον τοὺς πόδας καὶ τὰ γόνατα, τά τε περὶ τὸ στόμα μανζιζανίῳ στρύχνῳ, καὶ τετριμμένῃ τρυγὶ οἰνηρᾷ διατριπτέον, βρύοις δὲ ἢ χλόῃ, ἐὰν ᾖ μετὰ κριθῶν, θρεπτέον. ἐὰν δὲ διὰ ῥινῶν αἷμα φέρῃ, ἐγχεῖν χρὴ κοριάνου ὀπὸν διηθηθέντα.

ΕΥ̓ΜΉΛΟΥ Ἤ ΤΟΙ ΧΕΙΡΩΝΟΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Πυρετοῦ προσγινομένου, αἷμα ἐκ τοῦ τένοντος ἀφαίρει, εἶτα λαβὼν κασίας, σμύρνης, λιβάνου ἀνὰ οὐγγίαν μίαν ἡμίσειαν, μίξας αἷμα χελώνης θαλαττίας, καὶ παλαιὸν οἶνον διὰ μυκτήρων ἔγχει ἐπὶ ἡμέραις τρισίν, ἢ λαβὼν ἀβροτόνου δεσμὴν μίαν, σύκων ἀγρίων τὸ ἀρκοῦν, πήγανον, σέλινον, ἡδύοσμον, σταφυλῖνον, ἑψήσας ἅμα, ἐπὶ τρισὶν ἡμέραις τὸ ἀφέψημα ψυχρὸν δίδου πιεῖν.

ἈΓΑΘΟΤΎΧΟΥ ἘΓΧΥΜΑΤΙΣΜῸΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

ἐγχυ-

δὲ πυρέττοντα, φλεβοτομεῖν ἀναγκαῖον, ἀφ' ὧν εἴρηκα μερῶν, διὰ τὸ τὴν κεφαλὴν βαρύνεσθαι αὐτοῦ μάλιστα, καὶ εὐάλωτον εἶναι. οἱ μέντοι ἀπὸ τοῦ ὠτὸς ἀφῆς, καὶ τὰς φλέβας τὰς πρὸς τὴν ἀκρωμίαν, νομίζοντας δύνασθαι σημειοῦσθαι τὸ πυρέττοντα, δοκοῦσί μοι τὸ ἀληθοῦς μὴ τυγχάνειν καταλήψεως. δυνήσῃ δὲ τῷ πυρέττοντι καὶ δι' ἐγχυματισμῶν βοηθῆσαι, δάφνης κόκκους τρίψας ἐπιμελῶς, ἐπίχει μέλιτος ὀξύβαφον, καὶ οἴνου κύαθον καὶ ὕδατος τὸ ἴσον, εἶτα ἀναδεύσας ἔγχει διὰ στόματος, ἢ σελίνου σπέρμα τρίψας, καὶ ἐπιχέας οἴνου κυάθους δύο, καὶ αὖθις τρίψας, εἶτα ἐπιβαλὼν ὕδατος κυάθους τρεῖς ἔγχει διὰ στόματος. ἐὰν δὲ ἴδῃς αὐτὸν ἀρχόμενον κοιμᾶσθαι, πρόαγε εἰς περίπατον, μὴ πλέον σταδίων δέκα, εἶτα ποίει κυλίεσθαι, τότε καὶ τῇ τροφῇ αὐτοῦ προσθήσεις, πτισάνην δὲ δὶς καὶ ῥαφανίδων αὖ ὦσι, καὶ δάφνης ἀκρέμονας.

ΠΥΡΕΤΟΥ͂ ΠΡΟΓΝΩΣΙΣ ΚΑῚ ἼΑΣΙΣ.

Τὰ ὄμματα δακρυώδη ἔχει, καὶ ἀχλὺς αὐτοῖς ἔπεστι. πνεῖ θερμὸν, καὶ θιγγάνοντι θερμός ἐστιν ὅλος, καὶ τὴν κεφαλὴν κάτω κέκυφε, καὶ ψύχος αὐτῷ προσπίπτει, τρέμει τε, καὶ τοὺς ὀδόντας συγκρούει, καὶ οἱ ὄρχεις οἰδοῦσιν, καὶ τὸ στόμα ἄφθης μεστόν. καὶ ἡ ζέα, ἤτοι γραμμὴ μετέωρος, καὶ μαλακὴ καὶ θερμὴ, οἱ ὀφθαλμοὶ οἰδοῦσιν, καὶ τὰ χείλη ἐστὶ χαυνότερα. ὅταν οὖν προαίσθῃ τὴν ὥραν αὐτὴν, ἐν ᾗ τὸ ψύχος προσπίπτει, καὶ ὁ πυρετὸς ἐπιγίνεται, πυρία αὐτὸν ἢ σύστειλον ἱματίοις, καὶ τῆς ὁρμῆς λύσεως δὸς πιεῖν θερμὸν, καὶ τῶν σιτίων ὑπόστειλον ὡς γένηται λαγαρός. ἐὰν δὲ ἡ κοιλία πήγνυται, λαβὼν συκάμινα τὰ ἁπαλὰ. εἰ δὲ μὴ, τὴν ῥίζαν τρίψας, ὕδατι ἕψησον, εἶτα μίξας μέλιτος, κοτύλην ἐπίχει τρεῖς τοῦ ὕδατος τοῦ ἑψημένου, εἶτα ἔγχεον εἰς τοὺς μυκτῆρας, καὶ εἰς βαλανεῖον ἀγαγὼν, λοῦσον, καὶ οἴνῳ καὶ ἐλαίῳ ἐμφυσῶν, ἀνάτριβε, εἶτα περίστειλον ἱματίοις. καὶ ὅταν μέλλῃ κοιμᾶσθαι, τῶν σιτίων μετὰ μικρὸν πρόσφερε. ἄφελε δὲ αὐτοῦ αἷμα ἀπὸ τῶν κροτάφων, ὅσον κοτύλας τρεῖς. τῇ δὲ ἄλλῃ ἀπὸ τῶν σκελῶν ἀνώτερον τοῦ γόνατος, καὶ ἔασον ἀποῤῥυῆναι κοτύλας ἕξ, καὶ ἐπιμελοῦ ὡς βέλτιστα.

ἀνατο

ΠΕΡΙ ΠΥΡΕΤΟΥ.

Ἵππος εἰ συνέχοιτο πυρετῷ, διὰ τῶνδε τὸ πάθος τῶν σημείων ἐμφανὲς καταστήσεται. νεύει μὲν εἰς τὸ ἔδαφος ἰσχυρῶς, ὡς ἀνανεῦσαι μὴ δύνασθαι, καὶ τοὺς ὀφθαλμοὺς ᾠδηκότας ἔχει καὶ δακρυώδεις, καὶ τὸ βλέφαρον ἐπαίρει μόγις. ἔτι δὲ τὰ χελύνια κεχαλασμένα ἴδοις ἄν, καὶ τοὺς ὄρχεις κεχαλασμένους, τό τε σῶμα ἔκλυτον καὶ θερμὸν ὅλον ἐστί, τῆς ἀναπνοῆς πυρώδους, ἀναφερομένης καὶ βαρείας, τά τε σκέλη προβάλλει. εἰ δέ τις αὐτὸν ἐφέλκοιτο, περιπατεῖν οὐχ οἷός τε. ἀλλ᾽ οὐδὲ ἔτι ἐπιστρέχοι, ἤδη μικρὸν δὲ ἐπιβαίνει περιφέρων τὸ σῶμα, ὥσπερ οἱ διὰ ποτὸν πλείονα ἀκροθώρακες καὶ σφαλλόμενοι. οὐ μὴν, οὐδὲ καλινδεῖσθαι δύναται. τούτῳ δὲ περιπίπτει τῷ τοῦ πυρετοῦ πάθει, ὁπότ᾽ ἂν ὑπέρτονος γένηται ὑπὸ δρόμου καὶ ἐλασμοῦ, ἢ καὶ διὰ ψύχους ὑπερβολήν, ἢ καὶ καύματος. ἔσθ᾽ ὅτε δὲ καὶ δι᾽ ὠμότητα, ἢ ὅταν νεαρὰς προσλάβῃ καὶ ἀρτιθερίσους κριθάς, αἳ δύσπεπτοί εἰσι καὶ δυσδιοίκητοι. θεραπεύσεις τὸν τρόπον τοῦτον, αἷμα ἀφαιρεῖ ἐκ τῶν κροτάφων καὶ τοῦ προσώπου. τὴν δὲ τροφὴν αὐτῷ μὴ πρόσφερε τῇ πρώτῃ ἡμέρᾳ, ἀλλὰ μόνον τὸ ποτὸν κατὰ μικρὸν δίδου, καὶ περιπατεῖν ὀλίγα καὶ πράως ποίει ἐσκεπασμένον, ὄντος καὶ τοῦ τόπου ἐν ᾧ ἕστηκε θερμοῦ. ὅταν δὲ βέλτιον ἔχειν δοκῇ, προσαγέσθω ἐπὶ νομήν, ἐὰν πόας καιρὸς ᾖ. εἰ δὲ μὴ ᾖ, παραβαλλέσθω χόρτος ἐκ προσαγωγῆς καὶ κατ᾽ ὀλίγον. καὶ κριθαὶ καλῶς περιεπτισμέναι, σύμμετροι, μὴ πολλαὶ τὸ κατ᾽ ἀρχάς. ἔστι δὲ ὅτι πολλάκις καὶ μὴ πυρεσσόντων, ὁμοίως καὶ τὰ σκέλη προβάλλει, καὶ ἀναπεσὼν πλατύνεται, ἀλλὰ καὶ τοῦτον ἐπιγνώσῃ, τὰς κριθὰς προσφέρων, ἢ καί τινας ἑτέρας τροφάς. ἐὰν γὰρ ἐσθίῃ προθύμως, οὐ πυρέττει. ὁ γὰρ πυρετῷ συνεχόμενος, οὐκ ἐσθίειν ἐθέλει, κατηφὴς ἄν, καὶ μόνον ἐπιζητῶν τὸ ποτόν. καὶ κατακλιθεὶς εἰς τὴν γῆν, διεγείρεσθαι οὐ δύναται, οὐδὲ καθεύδειν. φασὶ δὲ τὸν πυρεταίνοντα ἀπὸ τῆς ἀρχῆς μέχρι τριῶν ἡμερῶν ὑπομένειν. περαιτέρω δὲ εἰ μὴ τύχοι βοηθείας, οὐ διαρκεῖν. φησὶ δὲ Στρατόνικος, ὅτι κἂν διαφύγῃ τῷ αὐτῷ πάθει, ποτὲ τελευτήσει. τῶν γε μὴν ἀπὸ κόπου σημεῖα φερόντων, μὴ δεῖν αἷμα ἀφαιρεῖν ἀρέσκει, ἵνα μὴ ἡ δύναμις αὐτῶν προσκαθαιρῆται. τ

τατος ἐχώρησεν. οὐδ᾽ αὐτοῖς διακριτέος μέλας ἀπὸ τοῦ φοινικοῦ, ἢ ὁ ἐπιμήκης τὸ εἰς πλευρὸν τεῖνον, ἀπό γε τοῦ στρογγύλου. οὐκ οὖν, οὐδὲ τὸ γένος πολυπραγμονεῖν ἀξιοῦσιν, εἴτις ἀρκὰς ἢ κυρηναῖος, ἢ τῶν ἀπὸ τῆς ἰβηρίας, ἢ καππαδοκῶν, ἢ νὴ δία γε θετταλὸς ἢ μαυρούσιος, ἢ καὶ ὁ βασιλεὺς τῶν περσῶν περισπούδαστος ὁ νυσαῖος. τούτου γε μὴν τῷ προειρημένῳ δοκεῖ μοι τῷ περὶ τῆς θεραπείας, οὐκ ἀπᾷδειν λόγῳ περὶ τῶν ἐτῶν εἰπεῖν, εἰς ὅσα τὴν ἵππου φασὶν ἡλικίαν διαρκεῖν. ἀριστοφάνης οὖν ὁ βυζάντιος τὰ περὶ φύσεως ζώων ἐπιτεμόμενος, ἐκ τῶν ἀριστοτέλους τοῦ φιλοσόφου, φησὶν ἔτη ζῆν δύνασθαι ἵππον πεντήκοντα καὶ πρός. καὶ γὰρ τοῖς κυϊντιλίοις δὲ γεωργικοῖς, εὕρημεν τινὶ τῶν ἱππέων ἵππον ὑπηρετηκότα τὸν αὐτὸν παρ᾽ ὅλον τὸν τῆς στρατείας χρόνον, ἐτῶν ἐφεξῆς πέντε καὶ εἴκοσι. ταραντῖνος δὲ ἱστορεῖ τὸν τοῦ διὸς νεὼν κατασκευάζοντας ἀθηναίους ἐννεακρούνου πλησίον, εἶτ᾽ ἐλαθῆναι ψηφίσασθαι τὰ ἐκ τῆς ἀττικῆς εἰς τὸ ἄστυ ζεύγη σύμπαντα. φόβῳ δὲ τοῦ ψηφίσματος, τινὰ τῶν γεωργῶν ἡμίονον ἀγαγεῖν γηραιὸν, ἄγοντα ἔτος ὀγδοηκοστόν. τὸν δὲ δῆμον, τιμῇ τοῦ γήρως προηγήτορα τῶν ζευγῶν εἰς τὴν κατασκευὴν αὐτὸν τοῦ νεὼ καταστῆσαι, προβαδίζειν τε ἄζευκτον καὶ ἄπληκτον ψηφίσασθαι. μηδένα δὲ τῶν πυροπωλῶν ἢ κριθοπωλῶν ἀπελαύνειν αὐτὸν τῆς ἑστίας, ἢ ἀπείργειν τῆς βρώσεως. συλλαμβάνειν γε μὴν καὶ κύειν ἐπιτηδείως ἔχειν, φησὶν ἀριστοτέλης τὴν θήλειαν ἕως ἐτῶν τριάκοντα, ἀλλ᾽ ἐνταῦθα ἡμῖν ὁ τὰ τοιαῦτα ἱστορῶν ἱστάσθω λόγος, ἵνα μὴ πόρρω τῆς ὑποθέσεως ἀπαχθέντες, λάθωμεν. ὁρῶν δὲ τοὺς δοκιμωτάτους τῶν ἰατρῶν σημεῖα προλέγοντάς τινα, δι᾽ ὧν ἕκαστον πάθος ἐπιγνώσεταί τις συμπτωμάτων. ἀναγκαιότατον εἶναι νομίζω τοῦτον ἐπὶ τῆς τῶν ἵππων ἰατρικῆς, τῆς προμηνύσεως παραλαμβάνειν τὸν τρόπον. εἰ γὰρ τῶν ἀνθρώπων τῇ κατὰ φύσιν ἐξουσίᾳ τοῦ λόγου δυναμένων παραστῆσαι τὸ λυποῦν, οὐδὲν ἧττον τῆς ἀπὸ τῶν σημείων τοῖς ἰατρεύουσιν ἐδέησεν ἐπισκέψεως. πολὺ δή που μᾶλλον δεῖ τῆς τῶν διδασκομένων γνωρισμάτων καταλήψεως, ἐπὶ τῶν οὐ δυναμένων τὸ συμβὰν διελθεῖν. ἵν᾽ οὖν ἀπὸ τῶν μεγίστων ἀρξώμεθα, περὶ πυρετοῦ πρότερον διεξέλθωμεν.

γενέσθαι φάλαγγος. φέρε οὖν ἐπειδή σοι δοκεῖ καὶ ἀσχολίας
ὑπέρτερον, ἔφη που πίνδαρος, ἑπόμενος τῷ προστάγματι λέ-
γειν ἄρξωμαι, τίνα μὲν ἵπποις εἴωθεν ἐπιγίνεσθαι πάθη, τίνα
δὲ ἐφ' ἑκάστοις αὐτῶν ἰάματα. κεκλήσθω δὲ ἡμῖν συμφορεὺς τοῦ
λόγου τοῦδε, ποσειδῶν τε ἵππειος, καὶ ὁ τοῦ τῶν ἀνθρώπων
γένους σωτὴρ ἀσκληπιός, ᾧ πάντως που καὶ ἵππων μέλει. εἰ δ' ἔ-
τι χείρων ὁ τοῦ κενταύρου, καὶ τῶν ἐν πηλίῳ διατριβῶν ἀξίως
μεμνῆσθαι. εἰ μὲν οὖν, ἵππον φασὶν ἐς πεδίον προκαλεῖν, ἔ-
τι δεῖ τῆς προοιμίαν ἀφ' ἑστίας λαβεῖν πρὸς τοῦδε τοῦ λόγου τῆς
γραφήν. ἐγὼ δὲ εἰ μὲν ἕτερος ἦν ὁ κινήσας ἐπὶ ταῦτα, πολλὰς
ἠναγκάσθην ἂν ἴσως συγγράψαι βίβλους, περί τε φύσεως
ἵππων διεξιὼν, μίξεώς τε καὶ κυήσεως αὐτῶν, ἔτι τε ἀνατρο-
φῆς καὶ χωρίων καὶ θέσεως, ἃ καλλίστην καὶ ὑγιεινοτάτην αὐτοῖς
παρέχειν εἴωθε νομὴν καὶ δίαιταν, καὶ πρός γε τούτων ὅπως ἄν τις
γνωματεύσειε τὸν ἄριστον ἵππον, καὶ παρασκευάσειε μὴ δυ-
σάγωγον εἶναι. μὴ δὲ δύστομον καὶ δυσχάργαλον, ἀλλὰ ψάλλι-
ον ἑτοίμως δέξασθαι, καὶ τὸν ἀναβάτην μὴ χαλεπῶς ἐνεγκεῖν,
καὶ ταῖς τῶν ἐποχουμένων ὁρμαῖς ὑπακούειν, πρὸς ἅπαν
ὃ βούλονται ταῦτα πάντα διεξῄειν ἄν, εἰ πρὸς ἄλλον ἦν. ἐπεὶ
δὲ καὶ λόγων οὐκ ἀμελέτητος εἶ, καὶ τὰ περὶ τὴν ἱπποτροφίαν
ἐκ προγόνων παρειληφὼς σπουδάσματα τυγχάνεις, τά τε
σίμωνος ἀκούεις τοῦ παλαιοῦ τῆς ἱππασίας αὐτοῦ τρό-
πους ἐν τῷ παρ' ἀθηναίοις ἐλευσινίῳ χαράξαντος, καὶ σημειώ-
σαντος ἐν τοῖς σχήμασι, τόν τε περὶ τῆς ἱππικῆς ξενοφῶντι τῷ
γρύλλου συγγεγραμμένον διανέγνωκας λόγον. τούτου χά-
ριν ἀπόχρη σημειῶσαι τὰ περὶ τῆς τῶν ἵππων θεραπείας καιρι-
ώτατα. οἱ μὲν οὖν τὰς ἐπὶ τοῖς τῶν ἀνθρώπων σώμασι θεραπεί-
ας ἀκριβέστερον συντεταγμένοι παῖδες ἰατρῶν, φασὶ τοῦ καὶ τῆς
χρόαν, ἢ πηλικότητα ἑκάστου χρῆναι τῶν θεραπευομένων ἐφο-
ρᾶν, ὡς μὴ πάντων μίαν, καὶ τὴν αὐτὴν ἀπαιτούντων ἐπι-
κουρίαν, ἀλλὰ τοὺς μὲν ἄγαν λευκοὺς, καὶ σκύθεσιν ἐμφερεῖς,
καὶ νὴ δία πίονας. τοὺς δὲ ἄκρως μέλανας οἷον αἰθίοπας, τοὺς
τε λεπτοὺς ἑτέρας θεραπείας ἐπιζητοῦντας τρόπον, κατὰ τὸ ὂν
ἐν αὐτοῖς χυμῶν ἐλλιπὲς ἢ περιττεῦον. οἱ δὲ περὶ τὴν τῶν ἵπ-
πων ἴασιν εἰσενεγκάμενοι σπουδὴν, οὐκ εἰς τοσοῦτον περιττό-

 τητος

δὲ δοκῇ βέλτιον ἔχειν, προάγειν αὐτὸν δεῖ ἐπὶ τὴν νομὴν, ἐὰν ᾖ ὁ καιρός. εἰ δ' οὐκ ἔστι, παραβάλλειν χόρτον ξηρὸν κατ' ὀλίγον ἐκ προσαγωγῆς, μελικράτῳ ἐρραντισμένῳ, καὶ τὰς κριθὰς πτισάνην ποιοῦντα, καὶ ταύτας δὲ ὡσαύτως μὴ πολλάκις ἐν ἀρχῇ διδόναι. πολλάκις δὲ μὴ πυρέσσων ἐστὶν, ὅτε καταρρέπουσαν ἔχει τὴν κεφαλὴν, καὶ τὰ σκέλη προβάλλει ὡσαύτως, καὶ ἀναπεσὼν, πλατύνεται. καὶ τοῦτον δὲ ἐπιγνώσῃ προσφερομένων τῶν κριθῶν, ἢ καὶ ἑτέρου τινὸς τῶν βρωμάτων. ἐὰν γὰρ τὸ προσφερόμενον ᾖ τρώγων, ἀπύρετός ἐστιν, μόνον δὲ κόπον ἔχει. ὁ δὲ πυρέσσων, οὐδὲν προσίεται τούτων, ἀλλ' ἔστιν ἀνόρεκτος καὶ σκυθρωπὸς, ἐπιζητῶν μόνον τὸ πόμα, μηδέποτε τοῦ τοιούτου τὰς περὶ νεῦρα φλέβας ἐξαιματίσῃς. συμβαίνει γὰρ συνεσπασμένον γενέσθαι, ῥίπτει τε ἑαυτὸν, καὶ διεγείρεσθαι οὐ δύναται. ἐπιτείνεται γὰρ τὸ πάθος καὶ προσγίνεται διαφωνῆσαι τῆς ἀσιτίας μενούσης. ὁ δὲ πυρέσσων ἀπὸ τῆς ἀρχῆς μέχρι τριῶν ἡμερῶν ὑπομένει. τὰς δὲ τούτων πλείονας οὐ περιγίνεται. οἱ δὲ τῶν ὤτων ἁπτόμενοι, καὶ πρὸς τῇ πλευρᾷ προστιθέντες τὴν χεῖρα παρὰ τὸν ἀγκῶνα τοῦ ὤμου, λέγουσι πυρέσσειν, οὐκ ἀληθεύουσιν οὗτοι. οὐδὲ μία γὰρ ἀπόδειξίς ἐστι πυρετοῦ διὰ τοῦτο. οὐδὲ δεῖ τοῦ ἀπὸ κόπου σημεῖα φέροντος αἷμα ἀφαιρεῖν. προσκαθαιροῦντες γὰρ τὴν δύναμιν δυσχερῶς ἀδικήσομεν. τὸν δὲ πυρέσσοντα ἀναγκαῖον φλεβοτομεῖν ἐκ τῶν εἰρημένων τόπων, διὰ τὸ κρατεῖσθαι τὴν κεφαλὴν ὑπὸ τοῦ ἀρρωστήματος, καὶ δυσάλωτον εἶναι.

ἹΕΡΟΚΛΈΟΥΣ ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ

ΠΡΟΟΙΜΙΟΝ.

Ἀλλ' εἰ καὶ κατακούειν ἡμᾶς ἑτέρων τὰ νῦν ἐχρῆν, ἔν τε δικαστηρίοις παρέχειν χρείαν τοῖς δεομένοις, καὶ σπουδὴν περὶ ταύτας ποιεῖσθαι τὰς διατριβὰς, οὐκ ἀτιμαστέον γε ὅμως τὴν σὴν ἀξίωσιν ἄριστε Βάσσε. ἡδὺ γὰρ ἀτεχνῶς φορτίον, καὶ κάματος δυσκάματος φησὶν Εὐριπίδης, ὑπό τινι φίλῳ προστάττοντι, καὶ μάλιστα σοὶ δι' ὃν αἱροίμην ἂν, ἵνα παιδιᾶς τολμήσωμεν εἰπεῖν τρόπον, καὶ λιποτάκτης ἐπὶ καιροῦ τινος τῆς περὶ τοὺς δικάζοντας γενέσθαι

ΑΨΥΡΤΟΥ

ΠΕΡῚ ΠΥΡΕΤΟΥ ἽΠΠΟΥ, ΚΕΦΆΛΑΙΟΝ ΠΡΩ͂ΤΟΝ.

Στρατευσάμενος ἐν τοῖς τάγμασι τοῖς ἐπὶ τοῦ ἴστρου ποταμοῦ, ἔγνων τὰ συμβαίνοντα τοῖς ἵπποις, ἐν οἷς καὶ διαφωνοῦσιν. ἀναταξάμενος οὖν ταῦτα, καὶ τὰ πρὸς αὐτὰ βοηθήματα προσφωνῶ σοι φίλτατε ἀσκληπιάδη τοῦτο τὸ βιβλίον, ὄντι πολίτῃ καὶ ἰατρῷ μεγίστῳ. ἐν ᾧ μὴ ἐπιζητήσῃς λογιότητα, ἀλλὰ τὴν ἐκ τῆς πείρας φυσικὴν ἐμπειρίαν ἐπίγνωθι. λέγω δὲ πρῶτον περὶ τοῦ πυρέττοντος ὡς ἐπιγνωσθήσεται ἐν τοῖς σημείοις τούτοις, ἔχει τὴν κεφαλὴν καταρρέπουσαν ἐπὶ τὴν γῆν, ἀνανεῦσαι μὴ δυνάμενος, καὶ τοὺς ὀφθαλμοὺς ὠδηκότας καὶ δυσδιανοίκτους, ἔσθ᾽ ὅτε καὶ δακρύοντας, χείλη κεχαλασμένα, καὶ πᾶν τὸ σῶμα ὁμοίως, καὶ τοὺς διδύμους κεχαλασμένους, θερμός τε ὅλος γίνεται τῷ σώματι, ἥ τε ἀναπνοὴ ὡσαύτως θερμὴ καὶ βαρεῖα, καὶ τὰ σκέλη προβάλλεται, ἑλκόμενός τε παρὰ τοῦ ἀγωγέως, περιπατεῖν οὐ δύναται. ὁμοίως οὖν δὲ ἐλαυνόμενος, ἀλλὰ κατὰ μικρὸν ἐπιβαίνει περιφερόμενος τῷ σώματι, καὶ κλίνεται κατὰ πλάτος, κυλίεσθαί τε οὐ δύναται. τὰ μὲν οὖν παρεπόμενα ταῦτα. συμβαίνει δὲ ἤτοι ὅταν ᾖ ὑπέρτονος τῷ κόπῳ γεγονὼς ἐκ τοῦ ἐλασμοῦ, ἢ καὶ δρόμου συντόνου. γίνεται δὲ καὶ διὰ ψύχους ὑπερβολὴν ἢ καύματος. ἔσθ᾽ ὅτε δὲ καὶ δι᾽ ὠμότητα τῶν σιτίων, ὃ μάλιστα συμβαίνει, ὅταν τι προσλάβηται τῶν νέων καρπῶν καὶ σιτίων, καὶ δυσανάδοτοι γάρ εἰσι καὶ δύσπεπτοι. θεραπεύεται δὲ οὕτως, αἵματος ἀφαιρέσει ἐκ τῶν κροτάφων, ἢ τοῦ προσώπου, καὶ ἀνατάσει ἀπὸ πάσης τροφῆς τῇ πρώτῃ ἡμέρᾳ, μόνου τοῦ πόματος ἤτοι μικρὸν διδομένου, περιπάτοις τε ὀλίγοις καὶ πραέσι. χειμῶνος δὲ ἐσκεπάσθω, καὶ ἡ στάσις ἔσω θερμή. ὅταν

rabie. col. 243.

Κεφάλ. ργ. περὶ ἐπιγονόνων, καὶ διθύρων πρὸς ζυγόν. de inſititijs & bigeneris qui debent ad iugū deſtinari. c. 246.

Κεφάλ. ρδ. περὶ ῥεύματος τ ἐν κεφαλῇ. de defluxionibus à capite. col. 247.

Κεφάλ. ρε. περὶ ἐπιγνώσεως εὐπόδων καὶ μαλακοπόδων. de notis eorum qui pedibus ualent, aut pedum mollitie præditi ſunt. col. 252.

Κεφάλ. ρϛ. περὶ ἱδροῦντος ἵππου δι' οὐδεμίας αἰτίας. de equo qui nulla oblata ſuſpicione prorumpit in ſudorem. col. 256.

Κεφάλ. ρζ. περὶ τ ἀπὸ πέδης ἢ δεσμῶν τινὸς πιλασμένων. de ijs qui compedibus aut uinculis colliſi uitiãtur. col. 256.

Κεφάλ. ρη. περὶ τῶν ὑπὸ ψύχους ἀδικημένων. de ijs qui perfrictionis iniuriam ſenſerunt. col. 257.

Κεφάλ. ρθ. περὶ σφακελισμοῦ καὶ ἐπιληψίας. de ſideratione & comitiali morbo. col. 258.

Κεφάλ. ρι. περὶ τ κατ' ὄνυχα πατουμένων. de ijs qui cornua calcando proterunt. col. 258.

Κεφάλ. ρια. περὶ ῥεύματος ἑλκῶν καὶ πρὸς τοὺς ὑπὸ συὸς πληγέντας. de defluxionibus ulcerum, & ijs quos aper dente percuſſit. col. 258.

Κεφάλ. ριβ. πρὸς τὰ ἐν βουβῶνι σπάσματα. ſi q̃d in inguine ſit uulſū. c. 259.

Κεφάλ. ριγ. πρὸς τὰ ἐπὶ τ στεφάνης σκληρώματα, ἃ καλοῦσι πώρους. de omnibus coronæ duritijs, quæ tophacei calli nominantur. col. 259.

Κεφάλ. ριδ. περὶ τ πῶς δεῖ καθαίρειν τὰς ἐν ταῖς ἀγέλαις. qua ratione pecudibus armentitijs alui deiectionem moliri cōueniat. col. 260.

Κεφάλ. ριε. περὶ εἴδους ἵππων ἀφορισμοί. de ſpecie equorū oracula. c. 261.

Κεφάλ. ριϛ. περὶ ἀσκήσεως ἵππου στρατιωτικοῦ, καὶ περὶ πωλοδαμνίας. de exercitatione militaris equi, & domitura pulli. col. 263.

Κεφ. ριζ. περὶ στρέμματος ἐν ποδὶ τ μονύχων, καὶ αὐξήσεως ὁπλῆς καὶ τόπων πρὸς τὸ κοιλάζειν ἐπιτήδειον. de luxatione in pedibus eorū qui ungulā indiuiſam habent, item de cornus incremento. col. 263.

Κεφ. ριη. περὶ λέπρας ἰάσεως. lepræ curatio. col. 265.

Κεφάλ. ριθ. περὶ σταφυλίνου. de paſtinaca beſtiola. col. 266.

Κεφάλ. ρκ. περὶ ἀσιτίας ἵππων, καὶ ὑποζυγίων. de inedia laborãtibus & faſtidioſis iumentis. col. 266.

Κεφάλ. ρκα. περὶ κύστεως μετὰ κινήσεως. de conuerſione ueſicæ. col. 267.

Κεφάλ. ρκβ. περὶ ῥαγάδων. de rimis, quas uocant rhagades. col. 267.

Κεφάλ. ρκγ. πρὸς τὸ ποιῆσαι ἵππῳ προβολήν. ungulæ ꝑductionem moliri. col. 267.

Κεφ. ρκδ. πρὸς πᾶν κτῆνος νοσοῦν, ἢ λιμώξαν χρεία τῇ ἀγωγῇ ταύτῃ. qua ægrotanti pecori, aut fame confecto, ratione uictus ſit opus. c. 268.

Κεφάλ. ρκε. πρὸς παγοπληξίαν. ambuſtis glacie. col. 268.

Κεφάλ. ρκϛ. περὶ εἰλεώδους. de ileoſis. col. 268.

Κεφ. ρκζ. περὶ συκαμίνου. de tuberculo in mori ſpeciem concreto. c. 269.

Κεφάλ. ρκη. περὶ σύριγγος, καὶ ἐγχυματισμῶν. de fiſtulis, & compoſitis infuſionibus. col. 270.

Κεφάλ. ρκθ. περὶ μαλαγμάτων. de uarijs malagmatum ſpeciebus. col..

ijs quibus aliquid interne con... ſum eſt. col. 180.

Κεφάλ. ξζ. περὶ βουλιμιῶντος. de ijs qui intenſa fame cruciãtur. col. 182.

Κεφάλ. ξη. περὶ τῶν ἰσχναινομένων δι᾽ ἄδηλον αἰτίαν. de ijs qui cæca ratione extenuãtur, & ſtrigoſiores fiunt. col. 183. (186.

Κεφάλ. ξθ. περὶ ψώρας. de ſcabie. col.

Κεφάλ. ο. περὶ ὄρχεων φλεγμονῆς. de teſtium inflammationibus. col. 192.

Κεφάλ. οα. περὶ τραύματος ἐν κοίλοις τόποις. de uulnere cauis partibus adacto. col. 194.

Κεφάλ. οβ. περὶ τοῦ κατὰ κρημνοῦ, ἢ εἰς τάφρον ἐμπεπτωκότος. de ijs qui à crepidinibus in foueã deuoluuntur. col. 194.

Κεφάλ. ογ. περὶ ἵππου λακτιστῆρος. de cohibendis equorum calcitratibus. col. 196.

Κεφάλ. οδ. περὶ κατεαγμάτων. de fractis. col. 197.

Κεφάλ. οε. περὶ χολέρας ὑγρᾶς καὶ ξηρᾶς. de cholera humida & ſicca. c. 200.

Κεφάλ. ος. περὶ καρκινώματος. de carcinomate. col. 204.

Κεφάλ. οζ. περὶ μελικηρίδων. de melicerid bus. col. 205.

Κεφάλ. οη. περὶ σκόλοπος. de aculeis qui intus hæſerunt extrahendis. col. 209.

Κεφάλ. οθ. περὶ ἀποστήματος. de abſceſſu. col. 210.

Κεφάλ. π. πρὸς καρίδας. ad ſquillares furunculos. col. 210.

Κεφάλ. πα. περὶ διακαύσεως. qua ratione experta ignẽ curãda. col. 210.

Κεφάλ. πβ. περὶ συκῆς, καὶ μυρμηκιῶν. ἃ καλοῦνται οἶμαι ὅτι κατὰ τὴν στεφάνην γίνονται. de mariſca ficóq;, & formicãtibus uerrucis, quæ in pedis corona naſcuntur. col. 211.

Κεφάλ. πδ. περὶ νευριτικῶν. de neruicis. col. 213.

Κεφάλ. πε. περὶ τὰ κατὰ νεῦρον τραύματα. ad neruorũ uulnera. col. 214.

Κεφάλ. πς. περὶ σκορπιοπλήκτων. de ictis à ſcorpionibus, ſerpẽtibus, & alijs uenenatis beſtijs. col. 215. & 217.

Κεφάλ. πζ. περὶ δήγματος μυγαλῆς. ad morſum muris aranei. col. 220.

Κεφάλ. πη. περὶ βδελλῶν. de hirudinibus. col. 222.

Κεφάλ. πθ. περὶ ὀρνιθίας. ſi ad præſepia gallina prorepat. col. 223.

Κεφάλ. ϟ. περὶ κράμβης ἀγρίας. de ſylueſtri braſſica cum fœno depaſta. col. 224.

Κεφάλ. ϟα. περὶ μυοφόνου. de aconito. col. 225. (225.

Κεφάλ. ϟβ. περὶ κωνείου. de cicuta. col.

Κεφάλ. ϟγ. περὶ καμπῶν. de erucis. c. 225.

Κεφάλ. ϟδ. περὶ δασύτητος. ad hirſutos equos remedia. col. 225.

Κεφάλ. ϟε. περὶ ἀγρίων φθειρῶν. de pediculoſis animalibus. col. 226.

Κεφάλ. ϟς. περὶ ὀδόντων ἐκφύσεως. de dentitione. col. 226.

Κεφάλ. ϟζ. περὶ τοῦ πῶς δεῖ καίειν, καὶ πότε. de ratione urendi. col. 228.

Κεφάλ. ϟη. πῶς δεῖ χρασίζειν. quomodo ueterina conueniat farragine recreari. col. 234.

Κεφάλ. ϟθ. περὶ πλησμονῆς καὶ ὠμότητ... de oppletione & cruditate. c. 23...

Κεφάλ. ρ. περὶ ἀνορχισμοῦ. de ratione caſtrandi. col. 238.

Κεφάλ. ρα. περὶ θλάσματος. de fractis col. 240.

Κεφάλ. ρβ. περὶ μανίας καὶ λύσσης. de furore &

de ſtillicidio, & ſuppreſſione lotij. col. 110.
Κεφάλ. λδ. περὶ τετανικοῦ, καὶ ὀπισθοτονικοῦ. de rigore neruorum, & opiſthotono. col. 119.
Κεφάλ. λε. περὶ διαῤῥοίας. de profluuio uentris. col. 129.
Κεφάλ. λϛ. περὶ βοηθημάτων ἐντέρου ἐπιστροφῆς. aduerſus conuerſionem inteſtini remedia. col. 131.
Κεφάλ. λζ. περὶ χορδαψοῦ. de tenuioris inteſtini morbo. col. 133.
Κεφάλ. λη. περὶ ἰσχύονος καὶ ὑδέρου. de aqua inter cutem. col. 134.
Κεφάλ. λθ. περὶ δυσεντερίας. de dyſenteria. col. 135.
Κεφάλ. μ. περὶ σπληνός. de liene. c. 140.
Κεφάλ. μα. περὶ τερηδόνων. de teredinibus. col. 142.
Κεφάλ. μβ. περὶ αἵματος διὰ τῆς ἕδρας ἐκφερομένου. de ſanguine qui ex ano fertur. col. 143.
Κεφάλ. μγ. περὶ ἐμφράγματος. de obſtructionibus. col. 146.
Κεφάλ. μδ. περὶ αἱμοῤῥοίας. de ſanguinis profuſione. col. 147.
Κεφάλ. με. περὶ στρόφου πρόγνωσις καὶ ἴασις. de torminibus præſagium, & remedia. col. 148.
Κεφάλ. μϛ. περὶ λαγονεμφυσήσεως. de iliorũ inflatione. col. 150.
Κεφάλ. μζ. περὶ στήθους. de pectore. col. (152.
Κεφάλ. μη. περὶ αἰδοίου προπτώσεως. de genitalis procidentia. col. 153.
Κεφάλ. μθ. περὶ ὀρχίων φλεγμονῆς καὶ οἰδήσεως. de inflãmatione teſtium & tumore. col. 154.
Κεφάλ. ν. περὶ ἐντεροπτώσεως. de inteſtinorum prolapſu. col. 156.
Κεφάλ. να. περὶ ῥευματισμοῦ ἐν γόνατι. de genuũ defluxionibus. col. 156.
Κεφάλ. νβ. περὶ ῥεύματος ἐν ποσὶν, ἤτοι χιράματος. ad ſuffraginoſos equos. col. 158.
Κεφάλ. νγ. περὶ μαρμάρου. de marmore, hoc eſt tuberculo iuxta ungulæ exortũ, quam uocant coronã. c. 161.
Κεφάλ. νδ. περὶ ποδάγρας. de podagra. col. 164.
Κεφάλ. νε. περὶ φθορᾶς τριχῶν. de pilorũ marcore. col. 167.
Κεφάλ. νϛ. περὶ ἵππων τικόντων. de ſoriolis equis, & ſtercore liquido laborantibus. col. 169.
Κεφάλ. νζ. περὶ κερκίδος. de radio. c. 170.
Κεφάλ. νη. περὶ ἑρπηστοῦ. de ſerpẽtibus. ulceribus. col. 170.
Κεφάλ. νθ. περὶ ὑστριχίδων. de pilari rigore. col. 171.

LIBRO SECVNDO.

Ἱεροκλέους προοίμιον. Hieroclis præfatio. col. 172.
Κεφάλ. ξ. περὶ στόματος ἡλκωμένου. de ulcerato ore. col. 173.
Κεφάλ. ξα. περὶ ἀφθῶν. de ulceribus oris manãtibus, quas uocant aphthas. col. 174.
Κεφάλ. ξβ. περὶ τῶν ἐξ ὁδοῦ, ἢ δρόμου κεκοπωμένων, καὶ περὶ τῶν ἐλκομένων ἐκ τῶν λαγόνων. de ijs qui uia aut curſu fatigati, aut ſpiritu diſtẽti ſunt, aut deiectione uexati. col. 175.
Κεφάλ. ξγ. περὶ ἀρτηρίας ἡλκωθείσης, ἤτοι ῥαγείσης. de ulcerata arteria, aut rupta. col. 177.
Κεφάλ. ξδ. περὶ τῶν ἀφ' ὁδοῦ κεκαυμένων. de exæſtuatione à uia. col. 178.
Κεφάλ. ξε. περὶ τῶν ὑπὸ κονίας κεκαυμένων. de combuſtis à calce. col. 179.
Κεφάλ. ξϛ. περὶ τῶν τὰ ἰγνύας ἐσπασμένων. de

CAPITVM REI VETERINARIAE INDEX.

Κεφάλ. α. περὶ πυρετοῦ. de ſebre equi. columna 1.

Κεφάλ. β. περὶ μάλεως. de malide. c. 10.

Κεφάλ. γ. περὶ ἐλεφαντιῶντος. de elephantia. col. 21.

Κεφάλ. δ. πρὸς λοιμὸν. ad labem peſtiferam remedia. col. 23.

Κεφάλ. ε. περὶ πνεύμονος. de pulmone col. 27.

Κεφάλ. ϛ. περὶ πνευμοῤῥάγος. de rupto pulmone. col. 29.

Κεφάλ. ζ. περὶ πνευμονίας ἤτοι βομβῶν. de pulmonarijs & uulſis, morbo ſcilic. iam inueterato & ſuppuratione nata. col. 30.

Κεφάλ. η. περὶ κριθιάσεως. de hordeatione. col. 33.

Κεφάλ. θ. περὶ φλεβοτομίας. de ſanguinis miſſione. col. 37.

Κεφάλ. ι. ἡ ἀρίστη ἡ φλεβοτομία τοῖς ἵπποις. ſi optima ſanguinis miſſio equis, ſi quando ab internis feminibus ſanguis ſit euocãdus. col. 38.

Κεφάλ. ια. περὶ ὀφθαλμῶν λευκώματος. de albuginibus, & cæteris oculorum morbis. 43.

Κεφάλ. ιβ. σύνθεσις κολλυρίων ἐπὶ λευκωμάτων. compoſitio collyrij aduerſus albugines. col. 50.

Κεφάλ. ιγ. περὶ ἑτεροφθάλμων, καὶ ἀλφορύγχων. de ijs qui diuerſis conſtant oculis, & albo rictus colore noſcũtur. col. 53. (co. 53.

Κεφάλ. ιδ. περὶ ὀχείας. de admiſſura.

Κεφάλ. ιε. περὶ κυούσης καὶ ἐμβρύου διαφθορᾶς. de perferendo uentre, & enecando partu. col. 58.

Κεφάλ. ιϛ. περὶ παρωτίδος. de parotidibus, hoc eſt de tumore iuxta aurem duritiem præferẽte. col. 60.

Κεφάλ. ιζ. περὶ ἑλκους ἐν ὠτίῳ. de ulceribus auricularum. col. 62.

Κεφάλ. ιη. περὶ παρισθμίων. de tonſillis col. 63.

Κεφάλ. ιθ. περὶ κυνάγχης. de angina. co. 64.

Κεφάλ. κ. περὶ χοιράδων θλίψεως. de rũpendis ſtrumis. col. 65.

Κεφάλ. κα. περὶ πολύποδος ἐν τῇ ῥινὶ. de polypo narium. col. 70.

Κεφάλ. κβ. περὶ βηχὸς. de tuſſi. col. 71.

Κεφάλ. κγ. περὶ αὐχένος πεφυσημένου καὶ παρατριβέντος. ad ceruicis tumorem, & attritum. col. 80.

Κεφάλ. κδ. περὶ παραγωγῆς τραχήλου. de peruerſione ceruicis. col. 80.

Κεφάλ. κε. πρὸς πύρωμα. ad ignem ſacrum, ſeu puſulam. col. 82.

Κεφάλ. κϛ. περὶ ὤμου παθόντος. ad præfractos armos & uitiatos. co. 84.

Κεφάλ. κζ. περὶ ὀρθοπνοίας. de orthopnœa, hoc eſt, cũ non niſi ſubrecta ceruice ſpiritus trahitur. col. 94.

Κεφάλ. κη. πρὸς σηπεδόνας τὰς ἐν τῇ γνάθῳ. ad ulcera putrida maxillarũ. col. 97.

Κεφάλ. κθ. περὶ καρδιακοῦ. de cardiaco morbo. col. 98.

Κεφάλ. λ. περὶ νεφρίτιδος de nephritide, hoc eſt cum equus poſteriore parte tractim pgreditur, & uacillans inter incedendum parietes ambit. col. 100.

Κεφάλ. λα. περὶ κοιλίας ἀλγούσης. de uentris dolore. col. 105.

Κεφάλ. λβ. περὶ τοῦ ἥπαρ ἀλγοῦντος. de iecineris dolore. col. 108.

Κεφάλ. λγ. περὶ δυσουρίας, καὶ κοιλίας ἀλγήματος, καὶ στραγγουρίας, καὶ ἰσχουρίας, de urinæ difficultate, dolore, item

BIBLIOTECA NAZIONALE VITT. EMANUELE
12
22 F
1

VETERINARIAE AVTHORES.

Apſyrtus.
Hierocles.
Theomneſtus.
Pelagonius.
Anatolius.
Tiberius.
Eumelus.
Archedemus.
Hippocrates.
Æmilius Hiſpanus.
Litorius Beneuentanus.
Himerius.
Africanus.
Didimus.
Diophanes.
Pamphilus, &
Magon Carthagininienſis.

Collegij Romani Catalogo inscriptus.

ΤΩ͂Ν ἹΠΠΙΑΤΡΙΚΩ͂Ν
ΒΙΒΛΊΑ ΔΎΩ.

VETERINARIÆ MEDICINÆ LIBRI DVO,

à Ioanne Ruellio Sueſſionenſi olim quidem latinitate donati, nunc uero ijdem ſua, hoc eſt Græca, lingua primum in lucem æditi.



BASILEAE, APVD IOAN. VALDERVM.

M. D. XXXVII.

B-5.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

BIBLIOTECA NAZIONALE VITT. EMANUELE
12
22 F
1 11